193
Вил
Экз. 1

С. Г. ВИЛИНСКІЙ.

ЖИТІЕ
св. Василія Новаго

въ русской литературѣ.

ЧАСТЬ II.

ТЕКСТЫ ЖИТІЯ.

ОДЕССА.
Типографія „Техникъ", Екатерининская, 58.
1911.

РУ
493
ЭЦ ит

С. Г. ВИЛИНСКІЙ.

ЖИТІЕ
св. Василія Новаго
въ русской литературѣ.

ЧАСТЬ II.

ТЕКСТЫ ЖИТІЯ.

ОДЕССА.
Типографія „Техникъ", Екатерининская, 58.
1911.

Отдѣльный оттискъ изъ Записокъ VII вып. Историко-Филологическаго Факультета Императорскаго Новороссійскаго Университета.



221685

Считаю долгомъ выразить глубокую благодарность: профессору Имп. Новороссійскаго Университета С. Д. Пападимитріу, любезно взявшему на себя нелегкій трудъ провѣрки корректуръ греческаго текста и тѣмъ оказавшему мнѣ неоцѣнимую помощь;—библіотекарю Русскаго Аѳонскаго Пантелеймоновскаго монастыря іеромонаху от Матѳею, благодаря содѣйствію котораго мнѣ удалось получить Иверскій и Пантелеймоновскій списки Житія;—библіотекарю Имп Публичной Библіотеки Вл Вл Майкову, который оказалъ мнѣ содѣйствіе въ полученіи копіи текста Житія, помѣщеннаго въ Макарьевскихъ Минеяхъ, и свѣрилъ эту копію съ оригиналомъ; настоятелю Русскаго Аѳонскаго Пантелеймоновскаго монастыря архимандриту от. Мисаилу—за тѣ удобства, какія были мнѣ предоставлены во время занятій въ монастырѣ;—библіотекарю Московской Синодальной Библіотеки Н. П Попову и библіотекарю Имп. Новороссійскаго Университета П. С. Шестерикову за облегченіе возможности заниматься рукописями Искренне признателенъ всѣмъ имъ и прошу ихъ принять мое сердечное спасибо за оказанное содѣйствіе и помощь въ моихъ занятіяхъ.

С. Виленскій.

Одесса, 17 іюня 1910 г.

Вторая греческая редакція.

Сп. Аѳонскаго Иверскаго монастыря № 478 (Ламбросъ, 4598), XIII вѣка, перг., in 8°.

Βίος καὶ πολιτεία [1]— καὶ μερικὴ θαυμάτων διήγησις—[1] τοῦ ὁσίου[2] πατρὸς ἡμῶν Βασιλείου τοῦ Νέου[3], [4]— συγγραφεὶς παρὰ Γρηγορίου τοῦ μαθητοῦ αὐτοῦ —[4].

Τῆς ἀκαταλήπτου Θεοῦ περὶ τὸ βρότειον γένος ὑπεραγάθου φιλανθρωπίας καὶ ἀγαθότητος σοφῶς καὶ βαθέως οἰκονομούσης καὶ φανερούσης πάντα τὰ πρὸς σωτηρίαν ψυχῆς ὁδηγοῦντα καὶ εἰς καταφρόνησιν μὲν τῶν γηίνων καὶ ρεόντων, ἔφεσιν δὲ τῶν αἰωνίων καὶ μακαρίων ἀγαθῶν ἡμᾶς ἐνάγοντα, κατὰ διαφόρους καιρούς διὰ τῶν οἰκείων αὐτοῦ θεραπόντων, ἀνέδειξεν ἐν τοῖς ἐσχάτοις τούτοις καιροῖς παρὰ τῇδε τῇ βασιλίδι τῶν πόλεων καὶ νέᾳ Ρώμῃ, τῆς Κωνσταντίνου φημὶ, καὶ τὸν νῦν μὲν εἰς ὑπόθεσιν λόγου προτεθειμένον θεοφόρον πατέρα ἡμῶν καὶ μέγαν ἐν ἀσκηταῖς[5] καὶ περιβόητον ἐν θαύμασιν ὁσιώτατον Βασίλειον, ὅς ὅθεν τε ὥρμητο καὶ οἵων ἔφυ τῶν γεννητόρων, οὔτε αὐτὸς ἔτι τῷ βίῳ περιὼν δῆλον τινί πεποιήκεν. ὅτου χάριν μόνος οἶδεν ὁ τοῦτον γνωρίσας Κύριος, οὐδ' ἡμῖν ἄλλος τις τὰ πρὸ αὐτοῦ ἢ μετ' αὐτὸν παρέδωκε. πλὴν ὅμως τὰ τοῖς καιροῖς τῆς βασιλείας τῶν υἱῶν τοῦ μεγάλου βασιλεώς κυροῦ Βασιλείου τοῦ Μακεδόνος, Λέοντος φημὶ καὶ Ἀλεξάνδρου· τῷ δεκάτῳ[6] τῆς βασιλείας

Варіанты изъ Синодальнаго списка № 250 (XVI вѣка)

[1] 1—1 нѣтъ.

[2] доб. καὶ θεοφόρου.

[3] καὶ ὀπτασίας ὁ ἡγησις πανυοφέλιμος.

[4] 4—4 нѣтъ.

[5] ἀρεταῖς.

[6] доб. ἔτει.

αὐτῶν ἀπεστάλησαν μαγιστριανοί τινες εἰς τὴν Ἀσιάτιδα χώραν, προστάξει βασιλικῇ περί τινων ὑποθέσεων, οἳ καὶ κατέλαβον διερχόμενοι ἐν ὄρει τινὶ δυσβάτῳ τὸν αὐτὸν ὁσιώτατον Βασίλειον καὶ δηλάτωρα τοῦτον τυγχάνειν ὑποτοπεύοντες, κατέσχον τε αὐτὸν ὀξέως αὖτοὺς φεύγοντα καὶ πρὸς τὴν βασιλεύουσαν δεομώτην ἐκεῖθεν εἰσήγαγον. ἐμφανισθέντες τοίνυν τῷ βασιλεῖ Λέοντι καὶ περὶ ὧν ἀπεστάλησαν ἀπολογούμενοι, δῆλα τούτῳ τὰ κατὰ τὸν ὅσιον πεποιήκασι· καὶ ὃς παρευθὺς προσέταξε τῷ παρακοιμωμένῳ αὐτοῦ Σαμωνᾷ τοὔνομα, καὶ ἐξ Ἀγαρηνῶν μὲν καταγομένῳ, τῷ των πατρικίων δὲ ἀξιώματι τῷ τότε τετιμημένῳ, καὶ τὰ μέγιστα παρ᾽ αὐτῷ δυναμένῳ, τὰ κατὰ τὸν ἅγιον ἐξετάσαι καὶ μαθεῖν, τίς τε ἐστί καὶ ὅθεν ὥρμηται καὶ οἷον ἔχει τὸ ἐπιτήδευμα. καὶ ὁ Σαμωνᾶς προκαθίσας ἐν τῷ λεγομένῳ νέῳ οἴκῳ καὶ τὸν ἅγιον μετ᾽ ἐκπλήξεως καὶ φαντασίας παραστησάμενος, προσεδόκα προσκυνηθῆναι ὑπ᾽ αὐτοῦ, κσθώς ἐστιν ἔθος ποιεῖν πάντας τοὺς πρὸς ἄρχοντας καὶ δυνάστας εἰσαγομένους καὶ τὴν προσήκουσαν καὶ αὐτῷ ἀπονεμηθῆναι παρὰ τοῦ ὁσίου τιμήν ὡς δὲ εἶδεν τοῦτον ἀδεῶς τε εἰσεληλυθότα καὶ ἀκλινῶς ἱστάμενον καὶ μηδὲ κἂν ψιλῶς αὐτῷ προσαγορεύσαντα, δεινοπαθήσας ὁ Σαμωνᾶς ἐπὶ τούτῳ φησὶ [1]—μετ᾽ γερόντιον—[1], τίς εἶ καὶ ὅθεν ὥρμησαι κοὶ τί σοι τὸ ἐπιτήδευμα καὶ ὄνομα ὁ δὲ ἅγιος ἀπόκρισιν οὐ δέδωκεν αὐτῷ. πρὸς ὃν αὖθις ὁ Σαμωνᾶς βλοσσυροτέρῳ ὄμματι ἀπιδών ἀπηγριωμένος φησί· λέξον ἡμῖν τάχιον, τίς εἶ σύ οἱ γὰρ ἀγαγοντές δε ὧδε ὡς ἐπί βουλον καὶ κατάσκοπον ἤγαγον· καὶ ὁ ἅγιος ἀφελῶς, ὡς καὶ μετὰ τῆς μακαρίας καὶ ἁγίας αὐτοῦ ἁπλότητος, σύ γὰρ τίς εἶ καὶ πόθεν πέφυκας φησί. καὶ ὁ Σαμωνᾶς τὸ γε νῦν ἔχον σὲ ἐπερωτῶμεν εἰπεῖν τίς εἶ καὶ πόθεν γέγονας, ἐπεὶ περὶ ἐμοῦ ὅστις δ᾽ ἄν καὶ εἰμὶ οὐ χρεία σοι μαθεῖν· εἰ δὲ βούλει τοῦτο μαθεῖν, ἄκουσον· ἐγώ εἰμι Σαμωνᾶς πατρίκιος καὶ παρακοιμώμενος τοῦ σήμερον κατέχοντος τὰ σκῆπτρα Ῥωμαίων αὐτοκράτορος. διήγησαι οὖν καὶ σύ τίς εἶ· λέγει οὖν ὁ μακάριος πρὸς αὐτόν· κἀγὼ ξένος εἰμί καὶ εἷς τῶν κατοικούντων ἐπὶ τῆς γῆς· καὶ ὁ Σαμωνᾶς,—οὐκ ἄρα καλῶς λέγουσιν ὡς ὁρᾶν ἔχω οἱ ἀγαγόντες σε, ὅτι κατάσκοπος εἶ καὶ ἦλθες κατασκοπῆσαι τὴν τῶν Ῥωμαίων ἀρχὴν καὶ πολιτείαν· ὁ δὲ ὅσιος οὐκ ἀπεκρίθη αὐτῷ πρὸς ταῦτα οὐδὲ ἕν ῥῆμα· θυμομαχήσας οὖν ὁ Σαμωνᾶς, προσέταξε τύπτεσθαι τοῦτον τοῖς βουνεύροις ἀνηλεῶς καὶ τοσοῦτον ταῖς ἀναριθμήτοις μάστιξι κατέκοψαν αὐτόν, ὡς ἡμίθνητον γενέσθαι καὶ φονώδη εἰς τὴν εἱρκτὴν ἀπαχθῆναι. ἔωθεν τοίνυν τοῦ Σαμωνᾶ πάλιν προκαθίσαντος καὶ τὸν

[1] μετὰ αὐστηρίας πρὸς αὐτόν· λέγε ἡμῖν ὦ δυστυχέστατον γερόντιον·

ἅγιον ἀχθῆναι τῆς φυλακῆς κελεύσαντος, τῶν θαυμασίων σοι Χριστὲ Βασιλεῦ, εὗρον αὐτὸν οἱ ἀπεσταλμένοι ἔξωθεν τῶν θυρῶν τῆς φυλακῆς ἀσφαλῶς οὐ τῶν κεκλεισμένων [1], ἱστάμενον καὶ ἀναμένοντα αὐτούς· παραλαβόντες τοιγαροῦν αὐτὸν σὺν θαύματι παρέστησαν αὐτὸν ἐπὶ τοῦ βήματος ἀπαγγείλαντες ταῦτα πάντα τῷ Σαμωνᾷ. ὡς δὲ καὶ πάλιν ὁ ἅγιος παραστὰς καὶ περὶ τῶν αὐτῶν ἐρωτώμενος τῆς αὐτῆς εἴχετο γνώμης καὶ τὸ παράπαν οὐδέν τι πλέον περὶ αὐτοῦ ἀπεφθέγγετο, εἰς ὀργὴν ἀκατάσχετον ἐκίνησε τὸν παράνομον· καὶ ὃς παραυτίκα ἐκέλευσεν ἐπὶ ὅλας ἑπτὰ ἡμέρας καθ' ἑκάστην χιλίας τοῦτον μάστιγας δέχεσθαι καθ' ὅλου τοῦ σώματος. ἀλλὰ καὶ τῶν ὡρισμένων τούτων ἑπτὰ ἡμερῶν διαγενομένων, καὶ τοῦ ἁγίου ἀνενδότως ὡς τὸ πρὶν ἔχοντος καὶ καρτερικῶς καὶ εὐψύχως πάντα τὰ ἐπαγόμενα φέροντος ἀχθῆναι τοῦτον αὖθις προσέταξεν ὁ Σαμῶνας εἰς ἐρώτησιν, καὶ πρὸς τὸν ὅσιον [2] ὀργίσας ἀπιδὼν ἀνόσιε πάντων ἀνθρώπων, φησί, ἕως πότε κρύπτῃς τὸν δόλον ἐν τῇ καρδίᾳ σου καὶ ὁ μακάριος καὶ θεοφόρος πατὴρ ἡμῶν, τῇ συνήθει ἁγίᾳ ἁπλότητι αὐτοῦ χρώμενος [3], τὰ αὐτοῦ διήλεγχεν ἀνοσιουργήματα οὑτωσί πως εἰπών· οἱ τὰ τῶν Σοδόμων ἔργα ἐν τῷ λεληθότι πράσσοντες, ὥσπερ σὺ, οὗτοι ἀνόσιοι δικαίως καλεῖσθαι ὀφείλουσι καὶ ἐναγεῖς· καταισχυνθεὶς οὖν ἐπὶ τούτοις καὶ εἰς θυμὸν καὶ μανίαν ἀκατάσχετον ὁ Σαμωνᾶς ἐξαφθείς, προσέταξε περιαγκωνισθέντα τοῦτον καθόλου τοῦ σώματος στρεβλωθέντα ἐπὶ δοκοῦ ὑψόθεν ἀναρτηθῆναι ἐπὶ τρισὶν ἡμέραις, εἶτα θηρίοις ἐκδοθῆναι βοράν. τούτων οὖν γενομένων κατὰ τὸ τοῦ μυσαροῦ πρόσταγμα Σαμωνᾶ καὶ τοῦ ἁγίου ἀβλαβῶς ἐκ πάντων Χριστοῦ χάριτι διαφυλαχθέντος, γοητείαν οὐ θεοσημείαν ὁ ἀφρονέστατος Σαμωνᾶς ἀπεκάλει ταῦτα καὶ δαιμόνων τεθρείαν, καὶ προσέταξεν ὁ τῆς Ἄγαρ ἀπόγονος τῷ βυθῷ τῆς θαλάσσης τὸν ἅγιον δεσμοῖς καὶ στρέβλαις πάντοθεν πεπεδημένον ἐναπορριφῆναι καὶ ποντοφόρητον γενέσθαι τὸ πανοσιώτατον καὶ ἅγιον σῶμα αὐτοῦ, ὡς ἂν μηδέ τῆς νενομισμένης ὁσίας ταφῆς τυχεῖν [4], παρά του τῶν εὐσεβῶν καὶ φιλαρέτων ἀνδρῶν. ὃ δὴ καὶ γέγονε κατὰ τὸ τοῦ Σαμωνᾶ πρόσταγμα, καὶ τῷ τῆς Βαρβάρας λεγομένῳ ρεύματι ἐναπερρίφη. ἀλλ' ὁ τῶν φοβουμένων αὐτὸν Κύριος μήποτε ἀφιστάμενος οὐ μὴν οὐδὲ τοῦ θεράποντος αὐτοῦ καὶ ὁσίου πατρὸς ἡμῶν Βασιλείου συνόλως ἀπέστη, ἀλλὰ βοηθὸς καὶ ῥύστης αὐτοῦ ὢν καὶ ἀείποτε συμπαρὼν αὐτῷ, εὐδόκησε σῶον τοῦτον καὶ ἀβλαβῆ καὶ ἄνε-

1 κλειδομένων.
2 ἅγιον.
3 δοβ. ἐπὶ πάντων.
4 τύχο.

τον ἐκ τῶν δεσμῶν ὑπὸ δύο δελφίνων εἰς τὴν τοῦ Ἑβδόμου ἤπειρον ἐξενεχθῆναι. κἀκεῖθεν ἄχρι τῆς Χρυσῆς λεγομένης πόρτας τοῖς οἰκείοις ποσὶ χρώμενος ἐπανελθεῖν καὶ μικρόν τι πρὸς τῇ εἰσόδῳ καθίσας καὶ διαναπαύσασθαι· καὶ ὅς αὐτοῦ που καθήμενος, ὁρᾷ τινα ὀδίτην πλησίον αὐτοῦ ἀνακείμενον καὶ ὑπὸ ῥίγους χαλεπωτάτου σφοδρῶς κλονούμενον· καὶ σπλαγχνισθεὶς χεῖρά τε αὐτῷ ἐπέθηκε καὶ δι' εὐχῆς ὑγιῆ τοῦτον παραχρῆμα ἀπεκατέστησεν. ὁ δὲ ἰαθεὶς, ὄνομα δὲ τούτῳ Ἰωάννης, παρεκάλεσε τὸν ἅγιον εἰς τὴν οἰκίαν αὐτοῦ σὺν αὐτῷ ἀφικέσθαι, καὶ εὐθὺς μηδέν μελήσας ἠκολούθησεν αὐτῷ. καταλαβόντες οὖν ἅμα εἰς τὴν τοῦ ἰασθέντος οἰκείαν καὶ τροφῆς μεταλαβόντες ηὐχαρίστησαν τῷ Θεῷ πανοικί. λόγων οὖν μεταξύ κινηθέντων, διηγήσατο αὐτοῖς ὁ ἅγιος πάντα τὰ συμβεβηκότα αὐτῷ ὅσα τε ὑπέμεινε καὶ παρὰ τοῦ Σαμωνᾶ πάθη, καὶ ὅπως ὑπὸ θεοῦ τῆς θαλάσσης σέσωστο παραδόξως. καὶ πολλὰ δυσωπηθεὶς ὑπ' αὐτῶν, ἔμεινε τοῦ λοιποῦ ἐν τῇ οἰκίᾳ αὐτῶν συνδιάγων αὐτοῖς. ἐντὸς οὖν ὀλίγων ἡμερῶν τῆς περὶ τὸν ἅγιον φήμης πανταχόθεν διαθεούσης, ἤρξαντό τινες τῶν φιλαρέτων ἀνδρῶν πρὸς αὐτὸν φοιτᾶν καὶ [1] ψυχῆς ἐπαπολαύοντες δαψιλοῦς ὠφελείας· ἔφερον καὶ τοὺς ἀῤῥώστους αὐτῶν πρὸς αὐτόν, καὶ τῇ ἐπιθέσει τῶν ὁσίων αὐτοῦ χειρῶν διὰ τῆς ἐνοικούσης αὐτῷ θείας χάριτος, ἰᾶτο πάντας τοὺς οἱωδήποτε νοσήματι κατεχομένους οὐ μόνον δὲ τῶν σωματικῶν αὐτοὺς νοσημάτων ἀπήλλαττεν εὐχῇ μόνῃ καὶ τῇ ἐπιθέσει τῶν οἰκείων χειρῶν, ἀλλὰ δὴ καὶ τῶν ψυχικῶν δι' ἅπερ ὡς ἐπίπαν καὶ τὰ σωματικὰ ταῦτα εἰώθει παραγίνεσθαι· τοσοῦτον δὲ προσῆν αὐτῷ ἡ δαψίλεια τοῦ ἁγίου Πνεύματος, ὡς μὴ μόνον τοὺς οἱωδήποτε πάθει ψυχικῷ κατισχυμένους, ἢ κατορθώμασιν ἀρετῶν φαιδρυνομένους, καθαρῶς [2] διαγινώσκειν ταῖς ψυχικαῖς αὐτῶν καταστάσεσιν ἐνορῶντι τοῖς τῆς διανοίας αὐτοῦ καθαροῖς ὄμμασιν ἀπὸ μόνης τῆς πρὸς αὐτὸν προσελεύσεως καὶ ὁμιλίας, ἀλλὰ καὶ προλέγειν τὰ πόρρω καὶ μέλλοντα ὡς ἐνεστῶτα καὶ τὰ ἑκάστου διαβούλια εἰδέναι καὶ παρρησίᾳ ἀπαγγέλειν τούτοις αὐτά.

Χρόνου οὖν ἱκανοῦ παρῳχηκότος καὶ πολλαῖς θαυμάτων καὶ σημείων ἐξαισίων ἐπιδείξεσιν ἐν Κωνσταντινουπόλει τοῦ τοιοῦδε θεοφόρου πατρὸς ἡμῶν ἀναγνωρισθέντος ἐκάλουν μὲν αὐτὸν ἐπὶ τὰς οἰκείας καταπαύσεις καὶ ἄλλοι πολλοὶ τῶν ἐπιφανῶν καὶ μεγάλα τῷ τότε καιρῷ δυναμένων ἐπὶ τῷ διαναπαῦσαι, καὶ τὴν παρ' αὐτοῦ εὐλογίαν ἐκ γειτόνων ἔχειν. ὑπήκουσε δέ τούτων οὐδενί, οὐδαμῶς. ἀλλ' ἦν παρὰ τῇ οἰκίᾳ τοῖς πρῶτον ὑποδεξαμένοις αὐτὸν καὶ ἁλῶν καὶ ξενίας φι-

[1] ψυχικῆς.

[2] нѣтъ.

λοφρόνως καὶ εὐχαρίστως μεταδοῦσιν αὐτῷ, φημί δὴ τῷ ἀπὸ τοι ῥίγους ἰαθέντι Ἰωάννῃ καὶ τῇ συμβίῳ αὐτοῦ. ἐπεὶ δὲ τῶν χρεῶν λειτουργῆσαι καὶ ἀμφοτέροις τούτοις συμβέβηκε, Κωνσταντῖνός τις ὄνομα πριμμικύριος τῶν ἐθνικῶν τυγχάνων καὶ παῖς πνευματικὸς τοῦ ὁσίου γεγενημένος, πίστιν ἔχων ὑπερβάλλουσαν καὶ ἔρωτα διάπυρον πρὸς τὸν ἅγιον, πολλὰ μετὰ δακρύων ἐκλιπαρήσας ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀφορίσαι τῷ ὁσίῳ μέρος τῆς οἰκίας, αὐτοῦ τὸ ἐπιτηδειότατον προς ἡσυχίαν αὐτοῦ καὶ ἀπερίκοπον ποιήσας ἀνελλιπῆ καὶ πᾶσαν τὴν σωματικὴν χρείαν αὐτοῦ δοὺς αὐτῷ εἰς ὑπηρεσίαν ἣν ἔσχε [1] πάνυ σεμνὴν καὶ φιλάρετον οὖσαν καὶ ἐπιτηδείαν εἰς διακονίαν τοῦ θεοφόρου πατρὸς ἡμῶν, ὄνομα αὐτῇ Θεοδώρα, ἥτις οὐ μόνον καθαρῶς καὶ θεαρέστως ὑπηρέτει αὐτῷ, ἀλλὰ καὶ τοῖς πρὸ αὐτὸν παρακαλοῦσιν ὠφελείας χάριν μεσῖτις ἀγαθὴ ἐδείκνυτο καὶ ὁδηγὸς τοῦ κρείττονος ἐγνωρίζετο καὶ πάντας ἀσμένως καὶ ἱλαρῶς ἀπεδέχετο, ἥτις καμέ ἡ ἀοίδιμος πρὸς τὸν Ὅσιον διεπρεσβεύσατο καὶ κατὰ μόνας εἰσήγαγε, καὶ γνώριμόν με τούτῳ ἡ ἀείμνηστος τέθεικε. τοῦ γὰρ προυπάρχοντός μου πνευματικοῦ πατρὸς τὸν βιόν ἀπολιπόντος καί μου ἕτερον ἀντ' ἐκείνου εὑρεῖν εὐθύμως καὶ δικαίως ἐπιζητοῦντος, ὁ Θεὸς ὁ ἅγιος καὶ ἀγαθός δι' αὐτῆς τὸν θεοφόρον τοῦτόν μοι πατέρα ἐφανέρωσεν, ὃν σχεδὸν οἱ τὴν βασιλεύουσαν πόλιν οἰκοῦντες διὰ τὰ παρ' αὐτοῦ ὁσημέραι γινόμενα θαύματα καὶ ἐξαίσια καὶ τὰς ἀκραιφνεῖς καὶ θεοειδεῖς διομάσεις, ὡς ἕνα τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων ὑπερεσέβοντο καὶ μεγάλως ἐκθειάζοντες ἐτίμων αὐτόν. τινές δὲ τῶν πολλῶν οἱ θερμότεροι καὶ ἁπλοϊκότεροι τὸν ἅγιον Ἰωάννην τὸν θεολόγον καὶ ἠγαπημένον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μαθητὴν [2]— εἶναι τοῦτον ὑπηγόρευον. καὶ φήμη ἐκράτει —[2] τοῦτον ἐκεῖνον ἀληθῶς εἶναι καὶ τῇ Κωνσταντινουπόλει ἐπιδεδημηκέναι. οὐ τοῖς πᾶσι δέ ἐπίσης ὡμίλει καὶ οἷος ἦν ἑαυτὸν ἀπεδείκνυ, ἀλλὰ σπανίως καὶ ὀλίγοις τισὶ τῶν γνησίων καὶ ἐναρέτων τέκνων αὐτοῦ πνευματικὸν ἅμα ἐμοί, οἷς δηλόν ὅτι μάλιστα τῶν ἄλλων ἠγάπα καὶ δυνατοὺς πρὸς τοῦτο ἔκρινε. τὰ γὰρ πλεῖστα ἐν τοῖς ὄχλοις δι' αἰνιγμάτων καὶ λανθανόντως ἀπεφθέγγετο, ἄκρως σοφὸς καὶ ἐπιστήμων ἐν λόγων δεινότητι ὑπάρχων καὶ διακρίσεως πάσης ἀνάπλεως, ἀκριβῶς εὐδώς μέτρα καὶ καιροὺς λόγου καὶ σιωπῆς. πολλάκις δὲ ἐπί τισι καὶ μωροποιίαν διὰ λόγων μέντοι μόνον ὑπεκρίνετο καὶ ἀνοηταίνειν ἐδόκει, ὁ θείας καὶ ἀνθρωπίνης σοφίας τῷ ὄντι

---

[1] доб ἀπὸ τῶν δουλίδων αὐτοῦ γηραιάν τινα

[2] нѣтъ.

ἀνάπλεως. τοῦτο δὲ ὡς ἐπίπαν ἐποίει, ἐπὶ τῶν χλευαστικῶς πειρωμένων δοξάζειν καὶ μεγαλύνειν αὐτόν.

Ἐν τούτοις οὖν ὄντος τοῦ θεοφόρου πατρὸς ἡμῶν καὶ μεγάλοις τέρασι καὶ σημείοις ἐν τῇ τοῦ πριμμικυρίου τῶν ἐθνικῶν Κωνσταντίνου οἰκίᾳ διαλάμποντος, κἀμοῦ συχνοτέρως πρὸς τοὺς ἁγίους αὐτοῦ πόδας ἐρχομένου [1]— καὶ αὐτοὺς προσπτυσσομένου —[1], καὶ τῆς διδαχῆς καὶ τῶν ἁγίων εὐχῶν αὐτοῦ εἰς κόρον καταπολαύοντος, γέγονέ μοί τις οἰκείωσις καὶ συνήθεια καὶ παρρησία πρὸς αὐτὸν ὑπὲρ πάντας σχεδὸν τοὺς πνευματικοὺς παῖδας αὐτοῦ. καὶ οὐ μόνον ὑπ᾽ αὐτοῦ χαριέντως προσεδεχόμην καὶ μεθ᾽ ἱλαροῦ μειδιάματος τοῦ ἐπιφαινομένου ἐν τῷ φωτοειδεῖ αὐτοῦ προσώπῳ ἐπὶ ταῖς τῶν πρὸς αὐτὸν παραβαλλόντων ἐντεύξεσι καὶ τοῖς ἐν ἁγίῳ φιλήματι ἀσπασμοῖς, ἀλλὰ δὴ καὶ ὑπὸ τῆς ἐξυπηρετούσης αὐτῷ τιμίας γραός, φημὶ δὴ τῆς ἀπὸ δουλίδων Θεοδώρας μεγάλως ἠγαπώμην καὶ προσηνῶς προσεδεχόμην ὁρώσης τὸν ἅγιον, ὁποίαν διάθεσιν καὶ προσπάθειαν πρός με ἐκέκτητο.

Τῷ γοῦν καιρῷ τούτῳ συνέβη τὸν βίον καταλῦσαι τὴν ἀείμνηστον ταύτην, ἥτις πολλὰ τῷ ἁγίῳ ἡμῶν πατρὶ ἐξυπηρέτησεν, ἐτῶν πλήρης γεγονυῖα καὶ προβεβηκυῖα ἤδη ἐν ταῖς ἡμέραις αὐταῖς. πάνυ γὰρ ἐπὶ τῇ στερήσει αὐτῆς πάντες ἐστύγνασαν, ὅσοι πνευματικῆς ἀγάπης σχέσιν πρὸς τὸν ἅγιον ἐκέκτηντο. ἐπεὶ δὴ εἶχον αὐτὴν μεσίτην πρὸς τὸν ἅγιον ἑτοιμότατον καθ᾽ ὅτι καὶ ἱλαρῶς πάντας ἀπεδέχετο καὶ μετ᾽ εὐμενείας προτρεπομένη πάντας εἰς τὸ ἀγαθόν ἑκάστοτε (πραότατον γὰρ ἦν τὸ γύναιον καὶ εὐσυμπάθητον) ἀκεραιότητι γνώμης καὶ ἁπλάστοις ἤθεσι τοὺς πάντας θεραπεύουσα. ὡς οὖν ἔμαθον τὴν ταύτης τελευτὴν λογισμὸν ἔσχον πρὸς ἐμαυτὸν καὶ ἔστρεφον κατὰ διάνοιαν, ἆρα τίνων ἐπιτυχὴς αὕτη κατὰ τὸν αἰῶνα ἐκεῖνον ἐγένετο, ἆρα δεξιῶν ἢ ἀριστερῶν, καὶ εἰ ἀπόνατό τι τῆς τοῦ δικαίου διακονίας καὶ καθαρᾶς λειτουργίας αὐτῆς. καὶ ταῦτα κατὰ διάνοιαν στρέφων, ἐπορεύθην πρὸς τὸν Ὅσιον καὶ ἐδεήθην αὐτοῦ μάλα θερμῶς, ὥστε ἀκοῦσαί μέ τι περὶ αὐτῆς. ὁ δὲ, τὰ πρῶτα μέν, παντάπασιν ἀνεβάλλετο, ὡς δὲ ἐνεκείμην δεόμενος καὶ ἐνοχλῶν αὐτῷ περὶ τούτου, μιᾷ τῶν ἡμερῶν πρός με μειδιῶντι προσώπῳ, φησίν· βούλει ἐπ᾽ ἀληθείας θεάσασθαι τὴν Θεοδώραν, ἐμοῦ δὲ εἰρηκότος, ποῦ δὲ καὶ θεάσομαι αὐτήν, πάτερ ἅγιε, ἅπαξ ἤδη μεταναστευσάσης [2] ἀπὸ τῶν προσκαίρων ἐπὶ τὰ αἰώνια. καὶ φησί· ὄψει αὐτὴν ἤδη ὡς ἐκτήσω καὶ τὸν πολύσκυλτόν σου λογισμόν πληροφορήσεις· ἐμοῦ δὲ θαυμάζοντος καὶ διανοουμένου

[1] нѣтъ.

[2] доб. αὐτῆς.

τὸ πῶς ἢ καὶ ποῦ ἄρα θεάσομαι αὐτήν, πάνυ γὰρ ἐνόχλει μοι τοῦτο τὸ πρᾶγμα[1]. τῇ νυκτὶ ἐκείνῃ ὡς ἔθος ἐπὶ τῆς κλίνης μου καθευδήσας, ὁρῶ νεανίαν τινά λέγοντά μοι· ἀνάστα φησὶ δηλοῖ σοι ὁ Ὅσιος πατὴρ ἐλθὲ τὸ τάχος, ἐπεὶ πορευθῆναι μέλλει ἐν οἷς ἡ Θεοδώρα διατρίβει, εἴ πως δὴ ἐπιποθεῖς τὸ θεάσασθαι αὐτήν. ἐμοῦ δὲ πρὸς τὴν τοιαύτην ἀγγελίαν ὀξέως ἀναπηδήσαντος, τεθέαταί μοι καθ' ὅτι παρεγενόμην πρὸς τὸν Ὅσιον ἔνθα κατῴκει καὶ οὐχ εὗρον αὐτόν. πυθομένου τέ μου περὶ αὐτοῦ, εἰρήκεισάν μοι τινὲς τῶν ἐκεῖ λέγοντες· ἀπῆλθε θεάσασθαι τὴν ποτὲ ὑπηρέτιν αὐτοῦ γενομένην Θεοδώραν. ἐμοῦ δέ πρὸς ταῦτα ἀθυμοῦντος ὅτι οὐ κατέλαβον αὐτόν, ἵνα σὺν αὐτῷ ἀπέλθω, τὶς τῶν ἐκεῖ ὑπέδειξέ μοι δῆθεν τὴν ὁδὸν δι' ἧς καὶ πορευθῶ καὶ καταντήσω τοῖς ἐκεῖ· πορεύμενος οὖν, ἐδόκουν ἐκείνην βαδίζειν τὴν ὁδὸν τὴν ἄγουσαν ἐπὶ τὸν θεῖον ναὸν τῶν Βλαχερνῶν τῆς ἁγίας Θεοτόκου, καὶ εὑρέθην αἴφνης εἴς τι ἀνωφερὲς διαβατήριον λίαν στενώτατον, καὶ τοῦτο σὺν φόβῳ καὶ ἀγωνίᾳ παρελθὼν προσήγγισα πυλῶνι ἀσφαλῶς κεκλεισμένῳ, καὶ διά τινος ὀπῆς ἀτενίσας τοῖς ἔνδον εἶπως ἴδοιμι τῶν γνωρίμων τινὰ καὶ ἀνοίξει μοι. καὶ ὁρῶ δύο γύναια λίαν ὡραῖα καὶ σεμνὰ καθεζόμενα ἐπὶ τῶν ἀναβαθμῶν τῆς κλίμακος καὶ πρὸς ἀλλήλας διαλεγόμενα· φωνῶ οὖν διὰ τῆς ὀπῆς τῇ μιᾷ τούτων, καὶ ἠρώτησα αὐτήν κυρία μου ἀδελφή, τίνος ἄρα ὁ οἶκος οὗτος ἐστί καὶ ἀπεκρίθη μοι οὗτος ὁ οἶκος τοῦ Ὁσίου Πατρὸς ἡμῶν Βασιλείου ἐστί, καὶ ἦκε πρὸ μικροῦ διαστήματος[2], χάριν ἐπισκεψέως τῶν ἰδίων αὐτοῦ τέκνων· περιχαρὴς οὖν πρὸς τὴν ἀγγελίαν ταύτην γενόμενος, εἶπον πρὸς αὐτήν· κυρία μου, ἄνοιξόν μοι ἵνα εἰσέλθω, ἐπεὶ κἀγὼ παῖς αὐτοῦ εἰμί καὶ ἀνάξιος εἰμί. καὶ σὺν αὐτῷ ἠρχόμην ἐνταῦθα ἔφη μοι ἐκείνη. οὐδαμῶς σὺ ἐν ἄλλοτε ἐλήλυθας ὧδε, καὶ πῶς ὑπηνοίξω σοι τὰς θύρας ἀγνώστῳ ὑπάρχοντι. ἄπιθι γὰρ ἐντεῦθεν ἄνευ γοῦν προστάξεως εἴτε ὑπομνήσεως τῆς κυρᾶς Θεοδώρας, οὐδεὶς ἐνταῦθα εἰσέρχεται· ἐμοῦ δὲ πρὸς ταῦθα θαρσοποιηθέντος καὶ ἰσχυρῶς θυροκροτοῦντος καὶ μεγάλως κράζοντος ἡ Θεοδώρα τῆς ὀχλήσεως ἀκουσαμένη, προσήγγισε τῷ πυλῶνι ὥστε διὰ τῆς ὀπῆς κατασκοπῆσαι καὶ ἰδεῖν τὸν τῆς ὀχλήσεως αἴτιον καὶ ἰδοῦσα καὶ ἀναγνωρίσας με, ὀξυτέρᾳ φωνῇ ἐβόα ταῖς γυναιξίν· ἀνοίξατε, ἀνοίξατε τάχιον, ὁ γὰρ ἀγαπητὸς υἱός τοῦ κυρίου μου ὁ κύρης Γρηγόριος ἐστὶν οὗτος· καὶ παρευθὺς τῶν θυρῶν ἀνεῳχθεισῶν μοι, εἰσῆλθον ἔνδον καὶ περιπλακεῖσά με ἡ κυρία μου καὶ ἀμμᾶς Θεοδώρα, κατησπάζετο, περιεπτύσσετο, περιεπλέκετο, προσεδέχετο, γνησίως ἐπευ-

[1] доб. καὶ ἐπόθουν ἰδεῖν αὐτήν. ἄρχεται ἡ ὀπτασία.

[2] доб. ἐνθάδε.

φραίνετο, καὶ φησὶ πρός με. κύριέ μου Γρηγόριε, τίς σε τοῖς ὧδε ἀπεκατέστησε. μὴν ἀπέθανες καὶ ἀπὸ τοῦ ματαίου ἐκείνου κόσμου ἠλευθερώθης, καὶ πρὸς τὴν ἀνέσπερον ταύτην διαγωγὴν καὶ μακαρίαν μονὴν κατήντησας. ἐμοῦ δέ πρὸς ταῦτα ξενιζομένου καὶ ὅλως ἀγνοοῦντος τὰ λεγόμενα παρ᾽ αὐτῆς. οὐ γὰρ ἐδόκουν ἐν ἐκστάσει εἶναι καὶ νοερῶς ὁρᾶν τὰ γενόμενα, ἀλλ᾽ ὡς ὕπαρ καὶ ἐν ἀληθείᾳ. καὶ λέγω πρός αὐτήν· κυρία μου ἀμμᾶς, ἐγὼ ἀκμὴν οὐκ ἐτελεύτησα, ἀλλὰ τῇ εὐχῇ καὶ τῇ ἀντιλήψει τοῦ Ὁσίου Πατρὸς ἡμῶν ἔτι ἐν τῷ βίῳ παροδεύω, σοῦ τε χάριν ἐλήλυθα καὶ τοῖς ἐνθάδε παραγέγονα, ὅπως ἴδω σου τὸ τίμιον πρόσωπον, καὶ μάθω ἐν ποίῳ κλήρῳ καὶ τόπῳ κατήντησας. λέγε οὖν μοι κυρία μου φιλαλήθως· πῶς ἔχεις καὶ πῶς τὴν τοῦ θανάτου βίαν ὑπεξῆλθες πῶς τὰ πνεύματα τῆς πονηρίας ἐν τῷ ἀέρι παρῆλθες, πῶς διέδρας τὴν ἐκείνων κακομήχανον κακουργίαν, ἐπίσταμαι γὰρ ἀκριβῶς τὰ αὐτῶν μέλλων πρὸ μικροῦ καταλύειν τὸν βίον.

Ἡδὲ ἔδοξεν ἀποκρίνασθαι μοι καὶ φησίν ὦ τέκνον μου ἠγαπημένον κύρε Γρηγόριε, τί σοι ἔχω εἰπεῖν περὶ τῶν τοιούτων, ἰλλιγγιᾷ μου ἡ ψυχὴ καὶ πρὸς μόνην τὴν ἐκείνων ἀνάμνησιν, περιδεής καὶ κατώδυνος, καὶ οἷον ἄφωνος καὶ νενεκρωμένη ἀποκαθίσταται καὶ οὐ τολμῶ κἂν ψιλῶς ταῦτα ἀναζωγραφῆσαι τῇ διανοίᾳ, ὅμως ἐπεὶ τὸν ἅπαξ ἀποθανόντα, καὶ πρὸς τὴν χώραν τῶν ζώντων καταντήσαντα, οὐδὲν τούτων τοῦ λοιποῦ καταπτήσσειν εἴωθεν, λέξω σοι κἀγώ τὰ πάντα ὅση δύναμις.

Τὸ μὲν κατ᾽ ἐμέ, τέκνον φίλτατον Γρηγόριε, καὶ τὰς ἐμὰς πράξεις, πάντα δεινά μοι καὶ χαλεπὰ συνηντήκασι. τῇ δὲ ἀντιλήψει τοῦ Ὁσίου ἡμῶν Πατρὸς καὶ τῇ τῶν ἁγίων αὐτοῦ εὐχῶν συνεργείᾳ, τὰ βαρέα μοι ἐλαφρά συνήντησαν καὶ τὰ δύσκολα εὔκολα καὶ τὰ σκολιὰ εὐθέα· καὶ ἁπλῶς ἐκείνου ἐπιστήσαντος τοῖς συμβεβηκόσι μοι, τὰ δυσχερῆ πάντα εἰς ἀγαθὸν ἔληξαν καὶ χάρις τῷ ἐλεήσαντι ἡμᾶς.

Ὅταν γὰρ ἦλθον εἰς τὸ χωρισθῆναι τοῦ σώματος καὶ τελευτῆσαι πῶς σοι ὑπαγορεύσω τέκνον τοῦ θανάτου τὸν πόνον, ποίαν ἀνάγκην κέκτηται, [1]— ποταπὴν βίαν, πηλίκην δριμύτητα —[1], ἐξ ἀπείρου ὀδύνης καὶ στενώσεως λυγρᾶς μέχρις ὅτου ἐξέλθοι ἡ ψυχὴ ἐκ τοῦ σκηνώματος, τηλικοῦτος πόνος πιέζει τὸν τελευτῶντα, οἷον ὁπόταν τις βάλῃ γυμνώσας, ὅλον τὸ σῶμα αὐτοῦ ἐπ᾽ ἀνθράκων πυρὸς[2] ἐστρωμένων ἐπὶ τῆς γῆς καὶ ἐκ τῶν καθ᾽ ἕν τιτρώσκεται τῇ δριμείᾳ πυρκαιᾷ καὶ πικρῶς φέρει καὶ οὕτω λοιπὸν τηκόμενος διαλύεται καὶ ἀπολέγεται τὴν ψυχήν. τοιοῦτος ἐστὶν ὁ θάνατος πικρός, ὦ τέκνον, καὶ μᾶλλον τῶν

[1—1] нѣтъ.

[2] доб. εἰς πλῆθος.

ομοίων ἐμοὶ ἁμαρτωλῶν, καὶ μάρτυς Κύριος. περὶ δὲ τῶν δικαίων ὁποῖος ἵνα χρηματίζει οὐκ ἐπίσταμαι. ἐγὼ γὰρ ἡ ἀθλία τῶν ἁμαρτιῶν πως ἐργαστήριον ἐχρημάτισα.

Ὅταν οὖν ἐψυχορράγουν ἑώρων καθαρῶς πλήθη αἰθιόπων περικύκλῳ τῆς κλίνης μου ὀχλοποιούντων, θορυβουμένων, δόλους καὶ ματαιότητας καὶ ἀθέους συμβιβασμοὺς εἰσπράττοντας, ὠρυομένους ὡς κύνας καὶ λύκους ἀπηγριωμένους ὡς θάλασσα πικρὰ βομβάζοντας, λυσσωδοῦντας, στριγγίζοντας ὡς χοίρους, ὑλακτοῦντας ἐρευνῶντας τὰ ἔργα μου χάριτας μεταχαρίζοντας, διαστρέφοντας χλευαστικῶς τὰ μελανὰ καὶ ζοφώδη καὶ σκοτεινὰ αὐτῶν καὶ ρυπαρὰ πρόσωπα, ὧν ἡ θεωρία καὶ μόνη ὡς ἓν βαρεῖα καὶ πικρά. κρεῖσσον ἦν ἵνα ζῶν τις καὶ κράζων εἰς αὐτὴν ἐμπέσῃ τὴν τοῦ πυρὸς γέενναν, ἢ ἵνα τοιαῦτα ἀκούῃ καὶ ὁρᾷ. τούτοις οὖν τοῖς χαλεποῖς ἀηδιζομένοις μου, οὐκ ἤρκει μοι ἡ τοῦ θανάτου ἀφόρητος πικρία καὶ ὀδύνη, ἀλλ᾽ εἶχον σὺν αὐτῇ καὶ τὴν τοιαύτην ἀηδίαν καὶ συμφορόν τί οὖν γίνεται; ἀποστρεφομένης μου ἔνθεν κἀκεῖθεν τὰς βδελυρὰς αὐτῶν θεωρίας καὶ ἀλλαχόσε τὸ νοερόν πεταζούσης ὄμμα, οὐχ ὑπέφερον γὰρ ὅλως βλέπειν ἢ ἀκούειν τῶν μιαρῶν ἐκείνων τὰ θρυλλήματα, ὁρῶ ὡς ἐκ τοῦ παραδόξου δύο τινὰς νεανίσκους ὡραίους ἄρτι εἰσεληλυθότας πρός με, χρυσαῖς θριξὶ γεγαννυμένοις τὰς κορυφάς, λευκοὺς ὡσεὶ χιών, γλυκυτάτους ἄγαν εἰς τὸ ὁρᾶσθαι περιβεβλημένους ἐσθῆτας ἀστραπτούσας, ἔστησαν οὖν εἰς τὰ δεξιὰ τῆς κλίνης ἐν ᾗ κατεκείμην πλησίον μου, μυστηριωδῶς τε πρὸς ἀλλήλους διαλεγόμενοι. λέγει οὖν θάτερος αὐτῶν τοῖς μεμελανυμένοις καὶ ἐζοφωμένοις ἐκείνοις αὐστηρὰ καὶ ἡδυτάτῃ φθογγῇ· ἀθέμιτοι καὶ ἀμαυροὶ καὶ σκοτεινοὶ καὶ ἐπάρατοι καὶ δυσμενέστατοι, δι᾽ ἣν αἰτίαν ἔθος ἔχετε πονηρότατοι προτρέχειν ἐπὶ παντὸς ἀνθρώπου τὸν βίον ἐκλείποντος καὶ ἐκταράττειν αὐτὸν καὶ θορυβεῖν, φλυαροῦντες καὶ ἀλαλάζοντες καὶ δεινῶς θορυβούμενοι ὦ λοιμοὶ ἀπηγριωμένοι καὶ ἀναιδέστατοι μὴ πολλὰ εὐφραίνεσθε, ὧδε γὰρ τιποτοῦν οὐ λαγχάνει ὑμῖν. οὐκ ἔστιν ὑμῖν ἐνταῦθα μερὶς οὐδὲ κλῆρος. μόνον γὰρ καὶ συνδεδραμήκατε καὶ ἀπελεύσεσθε διακενῆς. ταῦτα καὶ τὰ τούτοις ὅμοια τοῦ φωτοειδοῦς ἐκείνου καὶ ὡραιοτάτου νεανίου μελιρρύτως κελαδοῦντος, καὶ πρὸς τοὺς ἀμαυροὺς ἐκείνους καὶ σκοτεινοὺς λέγοντος, ἐκεῖνοι εἴτι δ᾽ ἄν καὶ ἔπραξα ἐκ νεότητός μου ἢ ἐν ἔργῳ ἢ λόγῳ πάντα εἰς μέσον ἔφερον καὶ φοὰς ἠφίουν ὡς παράφοροι τινὲς καὶ ἐξεστηκότες,—οὐδὲν κεκτήμεθα λέγοντες καὶ τάδε τὰ ἁμαρτήματα τίς εἰργάσατο ἀπὸ νεότητος. τούτων οὖν καὶ ἄλλων ὑπ᾽ αὐτῶν φληναφουμένων, περιέμενον τὸν θάνατον [1].

1 δοβ. οὗτος ἐστίν ὁ χάρος ὃν λέγουσι τινές

ηκεν οὖν αφνω κἀκεινος, καὶ ἦν τῇ ἰδέᾳ ποτὲ μὲν ὡς λέων ὠρυόμενος, ποτὲ δὲ ὡς νεανίσκος θρασὺς καὶ ἀνεσταλμένος βάρβαρος καὶ ξίφη παντοῖα βαστάζων, μαχαίρας καὶ δρεπάνας, πρίονας καὶ πελέκυς καὶ λαξευτήρια, ὀβελίσκους καὶ σκέπαρνα καὶ ἀξίνας καὶ ἔτερα πλεῖστα καὶ φοβερά, δι' ὧν μεθοδεύει τοὺς παμποικίλους τρόπους τοῦ ἑνὸς θανάτου ἐπὶ πάντας· θεασαμένη οὖν ἡ ταπεινή μου ψυχὴ τὸν τύραννον ἐκεῖνον φόβος καὶ τρόμος ἀκατάσχετος περιέλαβεν αὐτήν. λέγουσιν αὐτῷ οἱ νεανίσκοι οἱ ὡραῖοι ἐκεῖνοι, τί ἔστηκας; λῦσον τὰ δεσμὰ μέσως τε χρῆσαι. οὐ γὰρ ἔχει πολὺ βάρος ἁμαρτιῶν. πρόσελθε οὖν ἐν σμικροτάτῳ λαξευτηρίῳ ἐχρήσατό μοι τοῖς ποσίν, εἶτα καὶ ταῖς χερσὶν καὶ πᾶσάν μου ἁρμονίαν ἑλκύσας καὶ ἐξαρθρώσας τοὺς εἴκοσί μοι ὄνυχας, παραυτίκα ἐνεκρώθη ὅλον μου ἐκεῖνο τὸ μέρος τοῦ σώματος καὶ τοῦ λοιποῦ οὔτε χεῖρας εἶχον, οὔτε πόδας, οὔτε ἠδυνάμην πρὸς μικρὸν κινῆσαι τι τούτων, ἀπὸ τοῦ πικροτάτου πόνου [1], τέκνον. μετὰ δὲ τοῦτο προσελθὼν σκεπάρνῳ ἀπέτεμέ μου τὸν αὐχένα καὶ οὐκέτι ἠδυνάμην κινῆσαι μου τὴν κεφαλήν, ἀλλοτρίᾳ γὰρ μου ἐτύγχανεν. λοιπὸν οὖν κεράσας ποτήριον τό τί δὲ ἦν ἠγνόουν, δίδωσί μοι πιεῖν ἀπὸ χειρός, καὶ ὡς ἐπὶ Κυρίον τοσοῦτον ἦν πικρόν, ὦ τέκνον, καθότι ὤθησεν ἑαυτὴν ἡ ψυχὴ μου βίᾳ φρικιωδεστάτῃ καὶ ἀπέπτη τοῦ σώματος. οἵ τε νεανίσκοι ἐκεῖνοι οἱ ὡραῖοι ἐξελθούσης αὐτῆς τῷ ροίζῳ τοῦ φαινομένου μοι καταπετάσματος τῶν χλαινῶν αὐτῶν ὑπεδέξαντο αὐτήν. ἐν τῇ καρδίᾳ οὖν τοῦ ἀνθρώπου, ὦ τέκνον, τὸ πᾶν ἀνάκειται τῆς ψυχῆς, ἐν δὲ τῷ νοῒ τὸ πνεῦμα. ὡς δὲ ὑπεδέξαντό μοι ἐκεῖνοι, εὡρουν τὸ σκήνωμά μου ὅπου ἔκειτο ἄπνουν νενεκρωμένον, ἀκίνητον, ἀνενέργητον καὶ ἐξισταμένη ἐθαύμαζον ὡς ἂν εἴποις εἴ τις τὸ ἑαυτοῦ ἀποδυσάμενος ἱμάτιον ἵσταται καὶ κατανοεῖ αὐτό, καὶ θαμβουμένη ἔλεγον, βαβαὶ πόθεν ἠπιστάμην ἐγώ, ὅτι οὕτως τὰ κατὰ τὸν ἐλεεινὸν ἄνθρωπον ᾠκονόμηται. ὡς οὖν κατεῖχόν με οἱ ἄγγελοι, εὡρων καὶ ἰδού περιεκύκλωσαν αὐτοὺς ὅλοι οἱ ζοφώδεις ἐκεῖνοι, ἀπηγριωμένως καὶ ἐν ἀλαλαγμῷ φοβερῷ φάσκοντες πταίσματα ταύτης κεκτήμεθα πλεῖστα, ἀπολογήσασθε ἡμῖν περὶ αὐτῶν. καὶ δὴ ἠρεύνουν οἱ θεῖοι ἄγγελοι τὴν ἐργασίαν μου, καὶ εἴ τι ἀγαθὸν ἔπραξα, καὶ εἶπου εὗρον ἐν αὐτῇ ἔργον ἀγαθὸν καὶ γὰρ χάριτι Χριστοῦ εὕρισκον ἱκανά, τοῦτο ἐξελέγοντο, εἴποτε δέδωκα κλάσμα ἄρτου πεινῶντι ἐν Χριστῷ ἀδελφῷ, εἴ ποτε ἐπότισα οἱονδήτινα διψῶντα ποτήριον ψυχροῦ ὕδατος ἢ καὶ οἴνου, εἴποτε ἐβάδισα καὶ ἐπεσκεψάμην ἀσθενεῖς ἢ τοὺς ἐν φυλακῇ· εἴποτε ξένον ἐν τῇ κέλλῃ μου

[1] доб. μου.

απεδεξάμην καὶ ἐξένισα. εἴποτε ἔβαλον βήματα εἰς τὸ ἀπελθεῖν εἰς ἐκκλησίαν νύκτωρ καὶ προσεύξασθαι, εἴποτε ἔβαλον ἔλαιον εἰς κανδήλαν χάριν φωταψίας τῶν ἁγίων εἰκόνων, εἴποτε εἰρήνευσα μαχομένους, εἴποτε ἐξέχεον δάκρυον ἑστῶσα ἐν προσευχῇ, εἴποτε ὑβρίσθην καὶ ὑπέμεινα, εἴποτε ἔνιψα ἀδελφῶν πόδας τὴν πυρεύριζον ταπείνωσιν ἀσπαζομένη, εἴποτε λόγοις ἀγαθοῖς ἀστηρίκτοις ἐστήριξα καὶ ὀλιγοψύχου παρακλήσεως λόγον ἐδάνεισα, εἴποτε ἀπέστρεψα τινὰ ἀπὸ ἁμαρτίας τοῦ μὴ διαπράξασθαι ταύτην αὐτόν, εἴποτε ἐστέναξα ἐπὶ ἀλλοτρίᾳ συμφορᾷ καὶ συνελυπήθην τῷ κακῶς παθόντι ἢ δυστυχήσαντι ἢ συνήργησα τινί εἰς ἔργον πνευματικὸν καὶ ὠφέλιμον, εἴποτε προσεκύνησα Κυρίῳ τῷ Θεῷ διὰ γονυκλυσιῶν καὶ χαμευνιῶν καὶ νηστειῶν κακοπαθοῦσα καὶ τρύχουσά μου τὸ σῶμα εἰς τὸ ὑποτάξαι καὶ κατευνάσαι τὰ σκιρτήματα αὐτοῦ, καὶ μάλιστα ἐν ταῖς ἡμέραις τῆς ἁγίας τεσσαρακοστῆς, εἴποτε πιστεύουσα ἀπέστρεψα τὸ πρόσωπον μου ἀπὸ πάσης ματαίας θεωρίας, καὶ ἔκλεισά μου τὸ στόμα ἀπὸ πάσης ἀργολογίας καὶ λοιδορίας καὶ καταλαλιᾶς καὶ ψεύδους καὶ ἐπιορκίας, εἴποτέ τι δίκαιον ἔπραξα ἐν τῷ κόσμῳ τῷ ματαίῳ ἐκείνῳ, ἐκλεγόμενοί τε ἐστάθμιζον αὐτὰ μετὰ τῶν ὑπ' ἐμοῦ πεπλημμελημένων καὶ ἐκ τῶν καθ' ἕν ἐξωνοῦντο αὐτά. τούτων οὖν ἐν τούτοις ἀσχολουμένων, μεγάλως μοι οἱ αἰθίοπες ἐκεῖνοι κατεξαντίσταντο συμβάλλοντες τοῖς ἀγγέλοις τοῦ Θεοῦ καὶ πειρώμενοί με ἁφαρπάσαι ἀπὸ τῶν ἁγίων ἀγκαλῶν αὐτῶν καὶ εἰς πυθμένα ᾅδου καταγαγεῖν. ἐν ὅσῳ δὲ ταῦτα ἐτελεῖτο μεταξὺ αὐτῶν, προσέσχον καὶ ὁρῶ καὶ ἰδοὺ ἦκεν ὁ κύριός μου ὁ ἅγιος τοῦ Θεοῦ Βασίλειος, Πνεύματι Ἁγίῳ τοῖς ἐκεῖσε πεφοιτηκώς, καὶ φησὶ τοῖς ὡραίοις ἐκείνοις νεανίσκοις· κύριοί μου, αὕτη ἐμοί ἐπὶ πολὺ διηκόνησεν ἀναπαύσασά μου τὸ γῆρας, καὶ ἐδεήθην τοῦ Κυρίου περὶ αὐτῆς, καὶ ἐδωρήσατό μοι αὐτὴν ἡ ἀγαθότης Αὐτοῦ. δέξασθε δὲ ἐν τῷ τέως ταῦτα, ἅτινα ὡς ἐδόκει μοι ὑπῆρχον χρυσίου καθαροῦ ἀπόδεσμος ἱκανὸς ἐν βαλαντίῳ ἐναποκείμενος καὶ ὁπόταν τοῖς τελωνίοις τοῦ ἀέρος διέρχεσθαι ἐξωνεῖσθε δι' αὐτῶν τὰ μέλλοντα συναντᾶν αὐτῇ χρέη ἐκ τῶν τῆς πονηρίας πνευμάτων. ἐγὼ γὰρ τῇ τοῦ Χριστοῦ χάριτι κατὰ πάντα πλούσιος πάνυ τυγχάνω. ταῦτα δὲ ἐκ τοῦ περισσεύματος τῶν ἀπὸ κόπου καὶ ἱδρῶτος συλλεγέντων μοι ἀποχαρίζομαι αὐτῇ. καὶ οὕτως εἰρηκὼς καὶ τὸ δόμα τοῖς ἀγγέλοις παρασχών, ἀπιὼν ᾤχετο. οἱ γοῦν ἀμαυροὶ ἐκεῖνοι δαίμονες θεασάμενοι τὸ γεγονὸς ἀφωνίᾳ καὶ ἐκστάσει συνεχέθησαν καὶ ἐπὶ πολλὴν ὥραν ἐννεοὶ καὶ τεθορυβημένοι ὑπάρχοντες ὕστερον τῶν ἐλπίδων ἀστοχήσαντες, σὺν βοῇ καὶ ὀλολυγμῷ ἀφ' ἡμῶν ᾤχοντο καὶ ἐξ ὀφθαλμῶν ἡμῶν ἐγένοντο τούτων τοίνυν δραπετευσάντων, ἦκεν αὖθις

ο κύριός μου καὶ τοῦ Θεοῦ θεράπων Βασίλειος, ἐπικομιζόμενος μεθ ἑαυτοῦ κεράμια απειρα ἐλαίου πνευματικοῦ ἀνάπλεα ὑπάρχοντα βασταζόντων αὐτὰ νεανίσκων ὡραίων. ἐκέλευσεν οὖν ἀνοιχθῆναι ταῦτα καθ' ἕν καὶ ἐξέχεον πάντα οἱ ὡραῖοι ἐκεῖνοι ἐπάνω μου καὶ γεγένημαι πλήρης ἐλαίου καὶ εὐωδίας πνευματικῆς, καὶ ἐκαθαρίσθην ὅλη, καὶ γέγονε τὸ πρόσωπόν μου λίαν λαμπρὸν καὶ διειδές, καὶ κατενόουν ἐμαυτὴν ἀλλοιωθεῖσαν καὶ γενομένην λαμπρὰν σφόδρα καὶ φαιδράν καὶ εὐφροσύνης θείας ἐγενόμην ἀνάπλεως. ἔφη οὖν ὁ δηλωθεὶς κύριός μου καὶ μέγας Βασίλειος τοῖς ἐμέ ἀπάγειν βουλομένοις· Κύριοί μου, ὁπηνίκα πάντα τὰ κατήκοντα ἐπὶ τῇ ψυχῇ ταύτῃ τελέσητε, εἰς τὴν ἐμὴν ὑπὸ τοῦ Κυρίου προηυτρεπισμένην θείαν κατάπαυσιν ἀγαγόντες ἐκεῖσε αὐτὴν θησαυρίσατε. καὶ ταῦτα εἰρηκὼς διέστη ἀπὸ προσώπου τῶν ἐμοὶ ἐπιφερομένων.

ἄραντες τοιγαροῦν οἱ ὡραῖοι νεανίσκοι ἐκεῖνοι καὶ κουφίσαντες ἀπὸ τῆς γῆς τοὺς πυροειδεῖς πόδας αὐτῶν ὥσπερ νεφέλαι ὑπὸ ἀνέμων ἐλαυνόμεναι, ἢ πλοῖα ἁρμενίζοντα ἐπὶ νώτου τῆς θαλάσσης, οὕτως ἐκεῖνοι ἐπὶ τὰ ἄνω τήν πρὸς ἀνατολὰς ὁδὸν ἐπὶ τοῦ αἰθέρος κούφως ἐμὲ κατέχοντες ἐστέλλοντο [1].

α'. ὡς οὖν ἀνηρχόμεθα ἐπὶ τά πρόσω συναντῶμεν τὸ τηνικάδε τελώνιον ὅσπερ ἔλεγον εἶναι τῆς καταλαλιᾶς. ἦν τε ἐκεῖσε συναγωγὴ καὶ ἄθροισίς τις αἰθιόπων, καὶ εἷς τις ἐξάρχων ἀπ' αὐτῶν πονηρίᾳ πολλῇ προκαθεζόμενος, καὶ εὐθύς ἔστημεν, καὶ γε μάρτυς Κύριος, ὧν τινῶν ὡς ἄνθρωπος ἐν τῷ ματαίῳ βίῳ ἐκείνῳ οὖσα κατελάλησα, τέκνον Γρηγόριε, καὶ τὰ πρόσωπα καὶ τὴν ὥραν εἰς πρόσωπόν μου ἤλεγχον οἱ πονηρευόμενοι, πόθεν ταῦτα μαθόντες, οὐ μέντοι συνιέμην. πολλὰ δὲ καὶ ψευδῶς καὶ ἀπὸ ὑπονοίας κατηγόρουν καὶ ἀλλοίῳ σκοπῷ παρ' ἐμοῦ λαληθέντων, ἢ ἐξ ἀγάπης πνευματικῆς, ἢ σκοπῷ τοῦ διορθωθῆναι τὸν σφαλλόμενον ἀδελφόν, ἐκεῖνοι ὡς ἐμπαθῶς λαληθέντα παρ' ἐμοῦ κατὰ τῶν ἀδελφῶν εἰς τὸ μέσον προέφερον καὶ ἀπελογήσασθαι ἡμῖν ὑπὲρ τούτων πρός τοὺς ἁγίους Ἀγγέλους σφοδρῶς διετείνοντο· ἀπολογησαμένων οὖν αὐτῶν περὶ ὧν ἐπ' ἀληθείας μου κατηγόρουν, τὰ γὰρ ψεύδη ὡς ἀράχνη διελύοντο ἀπὸ τῆς παρασχεθείσης μοι δωρεᾶς δηλαδὴ τοῦ κυρίου μου, παρήλθομεν αὐτοὺς εὐθέως, καὶ ἔτι ἀνωτέρω προεβιβάσθημεν.

β'. Εἶτα συναντῶμεν ἕτερον τελώνιον ὅπερ ἐλέγετο τῆς λοιδορίας εἶναι. κἀκείνῳ ουν πάλιν τὰ παρόμοια τῷ προτέρῳ τελωνίῳ ἀπὸ τῶν τοῦ μακαρίου ἡμῶν Πατρὸς ἀπολογησάμενοι ἀνεύθυνοι καὶ ἀβλα-

[1] ΕΝΤΑΥΤΑ ΑΡΧΟΝΤΑΙ ΤΑ ΤΕΛΩΝΙΑ.

βεῖς εὐχαῖς ὁσίαις αὐτοῦ καὶ τούςδε διέβημεν. ἀνιόντων δὲ ἡμῶν ἐπὶ τὰ πρόσω ὡμίλουν πρὸς ἀλλήλους οἱ ἐμὲ διακομιζόμενοι λέγοντες· ὄντως μεγάλα ἡ ταπεινὴ αὕτη εὐηργέτηται ὑπὸ τοῦ θεράποντος Κυρίου Βασιλείου, ἐπεὶ βίαν μεγάλην ὑπεμείναμεν ἄν τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ ἀέρος τοῦδε διαπερῶντες.

γ΄. ὡς οὖν ταῦτα καθ' ἑαυτοὺς πορευόμενοι εἰσηγοῦντο, καταντῶμεν εἰς ἕτερον τελώνιον, ὅπερ ἦν τὸ τοῦ φθόνου. χάριτι δὲ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μηδὲν κεκτημένων τῶν ματαίων ἐκείνων κατηγορῆσαί μου, οὐδὲ γὰρ ἐμεμνήμην ὅτι ἐφθόνησά ποτέ τινι, ἄσμενοι καὶ τούςδε διέπτημεν. ἔτριζον δὲ κατ' ἐμοῦ τοὺς ὀδόντας οἱ ἀπηγριωμένοι ἐκεῖνοι καὶ ρυπαροπρόσωποι αἰθίοπες, ὥστε εἰκάζειν με ταύτῃ τῇ ὥρα κἀμὲ καὶ τοὺς ἐπιφερομένους με ὡσεὶ ζῶντας ἐν ὀργῇ ἵνα καταπίωσιν

δ΄. ἔτι γοῦν ἀνωτέρω προβιβαζομένων ἡμῶν, εἰς ὕψος γὰρ πολύ ἀνηρχόμεθα, συναντῶμεν ἕτερον τελώνιον ὅπερ ὑπῆρχε τοῦ ψεύδους. ἦσαν δὲ ἐν τούτῳ αἰθιόπες ἠθροισμένοι πολλοί, ὧν τὰ πρόσωπα μάταια καὶ βδελυρὰ λίαν· ὁ δὲ τούτων ἀρχιτελώνης ἀπηγριωμένος σφόδρα ἐν πολλῇ δολιότητι προκαθεζόμενος. ἰδόντες οὖν ἡμᾶς, ὀξέως ἐξῆλθον εἰς συνάντησιν ἡμῶν, καίτοι ἡμῶν πρότερον πρὸς αὐτοὺς αὐτομολησάντων. ἐθορυβοῦντο οὖν οἱ κατηραμένοι φέροντες ἅπαν ψεῦδος κατ' ἐμοῦ μετὰ καί τινων ἀποδείξεων, τά τε ὀνόματα καὶ τοὺς καιροὺς καὶ τόπους καὶ τὰς ὑποθέσεις καὶ τὰ πρόσωπα οἷς πολλάκις ὡς μία τῶν ἀφρόνων ἐλάλησα καὶ διαψευσαμένη οὐκ ἠλήθευσα· ποιήσαντες τοιγαροῦν τὸ ἱκανόν οἱ ἐμὲ καθοδηγοῦντες καὶ ἐνταῦθα παραπλησίως τοῖς ἄλλοις ἐξήλασάν με καὶ τούτοις τῇ πρεσβείᾳ καὶ δεήσει πάντως τοῦ τὴν ἐμὴν ἐλεεινότητα ἐλεήσαντος.

ε΄. ἔτι οὖν πορευομένων ἐπὶ τὰ ὕψη, καταντῶμεν εἰς ἕτερον τελώνιον πλειοτέραν ἄθροισιν αἰθιόπων κεκτημένον, ὅπερ ἐλέγετο εἶναι θυμοῦ καὶ ὀργῆς. ὁ δὲ ἐξάρχων τοῦ τοιούτου τελωνίου ἐκάθητο ἐπὶ θρόνου καθάπερ εἴδωλον θυμοῦ ἀκατασχέτου καὶ πικρίας ἔμπλεων μετὰ θυμοῦ οὖν καὶ ἀσήμου κραυγῆς τοῖς περὶ αὐτὸν ἐπέταττεν, κἀκεῖνοι πλήρεις ὄντες ὀργῆς ἀλλήλους τοῖς ὀδοῦσι κατήσθιον, ὡς κύνες ὠρυόμενοι λυσσῶντες καὶ ἄσημά τινα καὶ ἐξεστηκότα φθεγγόμενοι. ὡς οὖν κατήχθημεν καὶ πρὸς τοὺς λοιμοὺς τούτους διεστραμμένα ἡμῖν μετὰ χολῆς καὶ πικρίας φονικῶς ἐνορῶντες ἐζήταζον, καὶ προσέφερον οὐ μόνον ἃ ἐπ' ἀληθείας μετ' ὀργῆς καὶ θυμοῦ κατεπαιρομένη πρός τινα ἐλάλησα καὶ ἔπληξα, ἢ διὰ γλώττης ἢ διὰ χειρὸς συνείδησιν τινός, ἀλλὰ καὶ αὐτὰ τὰ διὰ βλέμματος εἰργασμένα μοι, καὶ ὅσα χάριν παιδεύσεως τὰ τέκνα μου ἀγαπῶσα τούτοις ἐπ' γατον, πολλῶ

κις μετὰ θυμοῦ τυπτήσασα ἢ καὶ ὀργῇ ληφθεῖσα ἐπικράνθην προς αὐτά· καὶ ταῦτα πάντα καταλεπτῶς ἐπήγγελλον οἱ πονηρευόμενοι· πρὸς δὲ καὶ ἐν οἷς ὠργίσθην καὶ μετ᾽ ἔχθρας καὶ μνησικακίας πρὸς τινα πικρανθεῖσα ἀπεπήδησα καὶ ὕβρισα καὶ ἠπειλησάμην, ὡς θάλασσα πικρὰ κυμαινομένη τοιουτοτρόπως ὀργιζόμενοι καθ᾽ ἡμῶν ἐφέροντο καὶ εἰς μέσον παρήγαγον τά τε ὀνόματα τῶν ἀνθρώπων, καὶ τοὺς καιρούς, καὶ αὐτὰ τὰ ῥήματα ἃ ὀργίλως ἐφθεγξάμην πρὸς οὓς ἠχθραινόμην, καὶ αὐτοὺς δὲ τοὺς ἐκεῖσε τότε παρατυχόντας καθαρῶς παριστῶντες ἀπολογισάμενοι οὖν καὶ ἐπὶ τούτῳ τὰ ἐπάξια οἱ φίλτατοι ἐκεῖνοι νεανίαι οἱ ὑπεραγωνιζόμενοί μου, ἀνήχθημεν ἀπ᾽ αὐτῶν ὡς πρὸς τὰ ἄνω [τὰ] ὕψη τοῦ αἰθέρος τὴν πορείαν ποιούμενοι.

ς΄. ἀνιόντων δὲ ἡμῶν καὶ προβαινόντων ἔτι καὶ ἔτι, συναντῶμεν ἕτερον τελώνιον, ὅπερ ἐλέγετο εἶναι τὸ τῆς ὑπερηφανίας· ζητούντων δὲ τῶν ἐν αὐτῷ φορολόγων κατηγορῆσαί μου καὶ χάριτι Θεοῦ μὴ εὑρισκόντων, τίνος γὰρ καὶ ὤφειλον ὑπερηφανεύσασθαι ἐν τῷ ματαίῳ ἐκείνῳ κόσμῳ δουλιδὶς πενιχρὰ χρηματίσασα, παρήλθομεν καὶ τούτους μηδὲν ζημιωθέντες ἐξ αὐτῶν.

ζ΄. ἔτι οὖν ἀνερχομένων ἡμῶν συνήντησεν ἡμῖν ἕτερον φορολόγιον, ὅπερ ἐλέγετο ὑπάρχειν τὸ τῆς μωρολογίας καὶ αἰσχρολογίας, καὶ προλαβόντες οἱ ἐν τούτῳ ἐξεταστὰι μήκοθεν κατέπειγον ἡμᾶς λίαν ἀναιδῶς, ὥστε δοῦναι δίκην αὐτοῖς ὑπὲρ ὧν ἔλεγον ἔχειν καθ᾽ ἡμῶν. κατήχθημεν λοιπὸν καὶ πρὸς αὐτοὺς καὶ τῆς πορείας ἔστημεν. οἱ δὲ παρῆγον εἰς μέσον καὶ ἤλεγχόν μου τὰς ἐν νεότητι μωρολογίας καὶ ὅσα ἐτραγῴδησα δεινῶς προέτεινον οἱ ἀλάστορες τὰς ὕβρεις τὰ μιμολογήματα, τὰ γελωτοποιὰ καὶ ἀκοὴν θέλγοντα ῥήματα, ἃ πρός τινας χαριέντως ἐφθεγξάμην, ὀξέως ἐπεισῆγον κατὰ πεῖραν ἐν πάσῃ ἀληθείᾳ ὥστε τὸ ἀληθὲς αὐτῶν καὶ ἠκριβωμένον ἐνωτιζομένην με φρίττειν καὶ τρέμειν καὶ τούτοις ὡς ἀληθεύουσι συγκατατίθεσθαι. πόθεν γὰρ ταῦτα ἐγίνωσκον οἱ ἐπάρατοι ἅπερ δὴ καὶ ἐγὼ αὐτὴ διὰ τὸν πολὺν καιρὸν διελθεῖν ἀφ᾽ οὗ ταὐτα εἰργασάμην λήθης βυθοῖς ἤμην παραδεδωκυῖα καὶ ὅλως μνήμην αὐτῶν οὐδαμῶς εἶχον· κατὰ ἀναλογίαν τοίνυν αὐτῶν τὸ ἱκανὸν καὶ πρὸς τούτους ποιήσαντες, ἐπορεύθημεν τὴν μακρὰν ἐκείνην καὶ ἄγνωστον καὶ σκοτεινὴν καὶ φοβερὰν ὁδὸν[1] ἡμῶν.

η΄. καὶ ἐφθάσαμεν εἰς ἕτερον τελώνιον, ὅπερ ἦν τόκου καὶ δόλου. οἱ οὖν ὑπηρέται τούτου ἀκριβῶς τὰ κατ᾽ ἐμὲ περὶ τούτων πλημμελημάτων διερευνήσαντες καὶ μηδὲν περὶ τούτων εὑρόντες κατηγό-

[1] нѣтъ.

ρουν μου περὶ δόλου μόνου· μὴ δυνάμενοι δὲ τοῦτο ἀποδεῖξαι ἔθηγον τοὺς ὀδόντας διαπριόμενοι.

θ΄. ἡμεῖς δὲ ἀπάραντες τῶν ἐκεῖ τὴν ὁδὸν ἡμῶν ἠνύομεν καὶ καταντῶμεν εἰς ἕτερον τελώνιον, ὅπερ ἀκηδίας καὶ κενοδοξίας ἐλέγετο. ἐμοῦ δὲ πρὸς ταῦτα μηδὲν κεκτημένης, ὀχέως ἐκεῖθεν διέβημεν.

ι΄ καὶ ὑπήντησεν ἡμῖν ἄλλο τελώνιον τὸ τῆς φιλαργυρίας. ἀχλὺς τε πολλὴ ἦν περὶ τούτου ὑπὲρ τὰ ἄλλα. ὡς γὰρ οἶμαι, ἐκ τῆς ὑπογαίου ἀρούρας καὶ τῆς ἐκ αὐτῆς ἀναδιδομένης παχύτητος, αἴροντες οἱ μιαρώτατοι τὰς ἑαυτῶν αὐτουργοῦσι σκηνὰς ἐν αἷς κατοικίζονται ἐπὶ τοῦ αἰθέρος καὶ τὴν προσεδρείαν τοῦ φορολογίου αὐτοῦ ἐπὶ τῶν διερχομένων ψυχῶν κέκτηνται. ἐρευνήσαντες οὖν καὶ οὗτοι κατὰ τὸ εἰωθὸς καὶ μηδὲν εὑρηκότες ἐν ἐμοὶ ὧν ἐζήτουν, πόθεν γὰρ καὶ προσεγένετό μοι χρυσίον ἵνα καὶ τὴν φιλίαν περὶ αὐτὸ σχῶ, παρήκαμεν εὐθὺς καὶ τούτοις.

ια΄. καὶ φθάνομεν τῆς μέθης καὶ ἵσταντο οἱ ὑπηρέται τοῦ τελωνίου μήκοθεν ὡς λύκοι ἅρπαγες ζητοῦντες καταπιεῖν πάντα τὸν προστυχόντα αὐτῶν[1] οἱ οὖν ἀποφέροντές με ἐπειδὴ δεδομένον ἐστίν, ἵνα πᾶσαι αἱ παροδεύουσαι τὴν ὁδὸν ἐκείνην ψυχαὶ ἐρευνῶνται καὶ ἐξετάζωνται παρὰ τῶν ἀρχόντων ἐκείνων τῆς ἐξουσίας τοῦ σκότους τοῦ ἀέρος ἐν τοῖς ἐπουρανίοις εἰς αὐτὸ ὀχέως ἐχώρησαν· συνεπιστάντες οὖν ἡμῖν οἱ πικροὶ ἐκεῖνοι ἐτασταὶ καὶ φορολόγοι καὶ αὐτὰ δὴ τὰ βαυκάλια, ἅπερ διὰ πάσης μου τῆς ζωῆς ἤμην πιοῦσα, πάντα ἠριθμημένα εἶχον, λέγοντες πρός με· οὐ πέπωκας ἐν τῇ ἐπισήμῳ τῇ δείνῃ ἡμέρᾳ παρόντων καὶ συνευωχουμένων σοι τοῦ δεῖνος καὶ τοῦ δεῖνος καὶ τῆς δεῖνα τόσα ποτήρια, οὐ μὴν οὐδὲ οἰνώθης, οὐκ ἐμεθύσθης ἔξω τῆς χρείας πιοῦσα τόσα καὶ τόσα; οὐ πέπωκας ὅτε πρὸς τὸν δεῖνα ἐγένου τόσα βαυκάλια οἴνου; καὶ ὅταν πρὸς τὴν δεῖνα ἐπορεύθης τόσα; παρόντων τοῦ δεῖνος καὶ τοῦ δεῖνος; καὶ ἐπεφώνουν μου τὰ τοιαῦτα καὶ τὰ τούτοις ὅμοια ἁρπάσαι με ἀπὸ τῶν ἐπιφερομένων με πειρώμενοι, καὶ ὡς ἄγριοι θῆρες καταπιεῖν με γλιχόμενοι. ὅσα τε ἐφθέγγοντο ἀληθῆ πάντα ὑπῆρχον, καὶ πάντα ὑπ' ἐμοῦ πραχθῆναι ἐν τῷ ματαίῳ βίῳ ἐκείνῳ ἐγίνωσκον· πολλάκις γὰρ φίλοι μου ἐπιδημήσαντες ἐὰν περισσότερον πιοῦσα ἅμα αὐτῷ ἐμεθύσθην, καὶ τοῦτο μοι φανερῶς διήλεγχον. δόντες οὖν καὶ τούτοις οἱ καλοί μου ὁδηγοὶ τὰ ἱκανὰ ἐκ τῆς τοῦ κυρίου μου φιλοτίμου δωρεᾶς, ἐξωνήσαντό μου τὰ ἁμαρτήματα καὶ θᾶττον ἐκεῖθεν ἐξελθόντες ἐπορευόμεθα. ἐν δὲ τῷ πορεύεσθαι ἡμᾶς τῶν μεταξὺ ὡμίλουν πρός με οἱ ἅγιοι ἄγγελοι λέγοντες· ὁρᾷς, ὁποίαν ἀνάγκην ἔχει τὸ διελθεῖν ψυχὴν τὰς λυγρὰς καὶ

[1] αὐτοῖς.

σκοτεινὰς καὶ ἐπαράτους ἀρχὰς καὶ ἐξουσίας τοῦ ἄρχοντος τοῦ σκότους τοῦ ἀέρος τούτου. ἐγὼ δὲ εἶπον· ναί, κύριοί μου, πολλὴ βία καὶ ἀνάγκη πέφυκεν ἵνα τις κατισχύσῃ ταύτας [1] διαπεράσαι ἀνεπάθως καὶ ἀταράχως καὶ οἶμαι, κύριοί μου, ὅτι οὐδεὶς τῶν ἐν τῷ κόσμῳ ἐκείνῳ ὅθεν κἀγὼ ἐξῆλθον ἐπίσταται ὅλως ταῦτα [2], ἢ τὰ ἐνταῦθα γίνεται καὶ τί περιμένει ἑκάστου ἀνθρώπου ψυχὴν μετὰ θάνατον. λέγουσιν ἐκεῖνοι. ἐπιστάμεθα καὶ ἡμεῖς τοῦτο. ἡ γὰρ τρυφὴ καὶ ἡ ἀπάτη τοῦ ματαίου βίου οὐκ ἐᾷ [3] τούτων ἀναφανδὸν βοώσαις ἵνα τὰς ἀρετὰς ἐργαζόμενοι καὶ μᾶλλον τὴν ἐλεημοσύνην, αὕτη γὰρ πλεῖον τῶν ἄλλων δύναται, ἐνταῦθα δυνηθῶσι ταῦτα πάντα παρορᾶν καὶ μελετᾶν νυκτὸς καὶ ἡμέρας, ὅπως διαδράσωσιν ἐκ τῶν τοσούτων κακῶν καὶ τῶν αἰωνίων ὀδύνων. καὶ γὰρ ἐὰν προσεῖχον ταῖς θείαις γραφαῖς καὶ εἰργάζοντο τὰς ἀρετάς, ὡς καὶ τινες ἐξ αὐτῶν ποιοῦσι καὶ ἐκφεύγουσιν ἀβλαβεῖς τῶν τοιούτων, πλὴν σπάνιοι καὶ τῶν χιλίων μυρίων εἷς, εἶχον ἂν πάντες ἐργάσασθαι καὶ καμεῖν πολλὰ ἀγαθὰ εἰς τὸ δι' αὐτῶν δύνασθαι ἐξωνῆσθαι τὰ πλημμελήματα αὐτῶν, ὁπηνίκα ἐνθάδε διέρχονται. ἐπεὶ δὲ ἀμελῶς καὶ ἀδιαφόρως ζῶσιν, ὥσπερ ἀθάνατοι, καὶ τῇ γαστρὶ καὶ τῇ ματαίᾳ οἰήσει καὶ ἀπάτῃ οἱ πολλοὶ δουλεύωσιν, αἰφνιδίως τοῦ θανάτου αὐτοὺς καταλαβόντος, παραγίνεται ταῦτα ἐπ' αὐτοὺς καὶ οὐαὶ τῷ μὴ κεκτημένῳ, ὁλκὴν ἔργων ἀγαθῶν καὶ πνευματικῶν καὶ μέλλοντι ἐνθάδε διέρχεσθαι, ὅτι ἐξ ἀπορίας αἴρουσι τὴν ψυχὴν οἱ ἄρχοντες τῶν τελωνίων τούτων καὶ τύπτοντες καὶ κολαφίζοντες κατάγουσιν αὐτὴν εἰς τὰ ταμεῖα τὰ ζοφερὰ τοῦ ἅδου ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου, κατέχοντες αὐτὴν ἐν δεσμοῖς ἄχρι τῆς δευτέρας παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Κριτοῦ ζωντῶν καὶ νεκρῶν. ὅπερ ἔπαθες ἂν καὶ σὺ εἰ μὴ τὴν δωρεὰν τοῦ θεράποντος Κυρίου καὶ μεγάλου Βασιλείου τοῦ σὲ μεγάλα εὐεργετηκότος εὐδοκίᾳ τοῦ Κυρίου ἀπείληφας.

ιβ΄. τούτων οὕτω λεγομένων ἐν τῷ διοδεύειν ἡμᾶς, συνήντησεν ἡμῖν ἕτερον τελώνιον, ὅπερ ἐλέγετο εἶναι τὸ τῆς μνησικακίας. αὐτομολησάντων οὖν ἡμῶν καὶ πρὸς τοῦτο ἐπάρατον ἀναπηδήσαντες οἱ ἐν τούτῳ ὥσπερ λησταὶ πονηροὶ τὸ τάχος ἠρεύνουν ἐν τῇ πονηρίᾳ αὐτῶν μάστριγγι ἤγουν τῷ ματρικίῳ εἴ που δυνηθείη κατ' ἐμοῦ γεγραμμένον ζήτημα ἐφευρεῖν ἵνα δι' αὐτοῦ ἑλκύσωσί με, ἐπεὶ δὲ Χριστοῦ χάριτι καὶ εὐχαῖς ὁσίαις τοῦ ἁγίου πατρὸς ἡμῶν μηδὲν εὑρέναι ἴσχυσαν, αὐτοὶ κατησχύνθησαν καὶ ἠλάλαξαν ἀστοχήσαντες· ἐγὼ γὰρ εἰ καὶ τὰ ἄλλα ἐλεεινὴ καὶ ἁμαρτωλὴ ἐν τῷ κόσμῳ ἐκείνῳ ἐχρη-

[1] доб. δ.ελθεῖν καί.

[2] τὰ τῆδε.

[3] αὐτοὺς προσέχειν ταῖς θεία ς γραφαῖς ταῖς περὶ.

μάτισα, πλὴν ἀγάπην πνευματικὴν πρὸς πάντας μικροὺς τε καὶ μεγάλους ὡς καὶ σὺ ἐπίστασαι ἀκριβῶς, τέκνον φίλτατον κύρη Γρηγόριε, ἤμην διηνεκῶς κεκτημένη καὶ οὐδένα ποτὲ τῶν θλιψάντων με εἰς οἱονδήποτε ἀνταπέδωκα, ἢ ὅλως τινί τούτων ἐμνησικάκησα. ἡμεῖς δὲ ἄσμενοι ἐξ αὐτῶν ἐξήλθομεν μὴ παρασχόντες αὐτοῖς τὸ οἱονδήποτε, καὶ τὴν ὁδὸν ἡμῶν ἐπορεύθημεν. ἐγὼ δὲ ἅπαξ λαβοῦσα παρρησίαν τοῦ ἐρωτᾶν τοὺς ὁδηγούς μου ἁγίους ἀγγέλους, καὶ αὖθις ἐπυθόμην παρ᾽ αὐτῶν μαθεῖν τὰ ἠγνοημένα μοι. καὶ φημί πρὸς αὐτούς· κύριοί μου, δέομαι ὑμῶν δηλώσατέ μοι καὶ τοῦτο τὸ ἀγνοούμενον καὶ διαλύσατέ μου τὴν ἐπ᾽ αὐτῷ ἀπορίαν. πόθεν οὕτως ἐπίστανται οἱ ἐργάται τῆς ἀνομίας οὗτοι μήκοθεν ὑπάρχοντες τὰ ἑνὸς ἑκάστου τῶν ἀνθρώπων πλημμελήματα. ἔφη οὖν θάτερος αὐτῶν πρός με· οὐκ οἶσθα ὅτι πᾶς χριστιανὸς ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀγαθόν ἄγγελον προσλαμβάνει μεθ᾽ ἑαυτοῦ φρουροῦντα αὐτὸν ἀοράτως καὶ ὁδηγοῦντα εἰς πᾶν ἔργον ἀγαθὸν καὶ ἀπογραφόμενον τὰ καλὰ ἔργα αὐτου πάντα παρ᾽ ὅλην αὐτοῦ τὴν ζωήν, παραπλησίως δὲ καὶ πονηρὸς ἄγγελος συμπαρομαρτεῖ αὐτῷ ὅς ἀπογράφεται πᾶσαν ἁμαρτίαν ἥν ἄν τελέσῃ κατὰ τὸν βίον ἐν τῇ ζωῇ αὐτοῦ καὶ ἐρχόμενος ἀφ᾽ ἑκάστης ἐναπογράφεται ἑκάστῳ τελωνίῳ τὴν πρόσφορον ἁμαρτίαν τοῦ ἀνθρώπου, ὡς ἄν ἐν τῷ ἀνέρχεσθαι τὴν ψυχὴν αὐτοῦ εἰς τὸν οὐρανόν, ὅθεν αὐτοὶ παρατραπέντες ἐξέπεσον, ἔχωσί τι παρ᾽ ἑαυτοῖς, δι᾽ οὗ δυνήσονται ταύτην τῆς ἀνόδου κωλῦσαι καὶ πρὸς τὴν ἄβυσσον καταγαγεῖν, πρὸς αὐτὴν οἰκοῦσα ἄχρι τῆς ἐλεύσεως τῆς φοβερᾶς ἡμέρας τῆς ἀπαραιτήτου κρίσεως, εἴπερ δηλονότι μὴ κέκτηται καὶ αὐτὴ διὰ τοῦ φυλάσσοντος ἀγγέλου ἀγαθοῦ αὐτὴν ἔργα ἀγαθὰ καὶ πνευματικὰ πλεῖστα, δι᾽ ὧν δυνήσηται ἐξωνήσασθαι μετὰ ζυγοῦ ἰσοστάθμως τὰ πλημμελήματα αὐτῆς. καὶ οὕτως μὲν ἐπίστανται τὰ ἑκάστου ἀνθρώπου πλημμελήματα ἐν τῷ κόσμῳ ὑπάρχοντος, πλὴν τῶν ὀρθοδόξων χριστιανῶν καὶ μόνων στοιχούντων τῇ ἀμωμήτῳ πίστει τῇ εἰς τὴν ἁγίαν Τριάδα καὶ τοῖς θείοις δόγμασι τῆς ἁγίας καὶ καθολικῆς Ἐκκλησίας, ὧν δὴ καὶ ἡ εἰς οὐρανὸν πορεία ἐστίν. τῶν δὲ ἄλλων ἤτοι ἀπίστων ἢ χριστιανῶν κακοδόξων αἱρετικῶν οὐ λόγον τινὰ ποιοῦνται, ἢ τοιαύτην ἔχουσι τὴν σπουδὴν καὶ ἀκρίβειαν περὶ τὴν σημείωσιν τῶν εἰργασμένων αὐτοῖς. τούτων γὰρ ὡς ἤδη οἰκειωθέντων αὐτοῖς διὰ τῆς ἀπιστίας, ἢ καὶ κακοπιστίας καὶ αἱρέσεως, τέλεον ἀμελοῦσι καὶ καταφρονοῦσιν καὶ οὐδένα λόγον ποιοῦνται, διὸ καὶ εἰρηνεύοντες μετ᾽ αὐτῶν, οὐδὲ τὰ σαρκικὰ πάθη ὀχλεῖν αὐτοὺς ὑποκνίζουσιν ὡς ἐπὶ τῶν ὀρθοδόξων εἰώθασι ποιεῖν, ἀλλὰ μᾶλλον πανούργως καὶ τὰς ὀρέξεις αὐτοῖς ἀμβλύνουσι καὶ εἰρηνεύουσιν ἐξ αὐτῶν.

ιγ'. τούτων δὲ καὶ τῶν τοιούτων παρ' ἡμῶν ἐν τῇ ὁδῷ ἐκείνῃ καθομιλουμένων καὶ μου πρὸς ταῦτα ἐκπληττομένης, κατηντήσαμεν εἰς ἕτερον τελώνιον, ὅπερ ἦν ἐπαοιδῶν, φαρμακῶν, μάγων, μαγισσῶν καὶ κλυδωνιοτῶν. ἦσαν δὲ τὰ ἐνεδρεύοντα ἐν τούτῳ ἀκάθαρτα καὶ μιαρώτατα πνεύματα ὀφιόσχημα, δρακοντόσχημα ἔχεσι καὶ κεράσταις πονηρῶς ἐξομοιούμενα, ὧν καὶ μόνη ἡ ἰδέα σκότος καὶ ὀλίσθημα, πικρίας γὰρ πάσης ὑπῆρχον ἀνάμεστα. ἔνθεν τοι μηδὲν τούτων Χριστοῦ χάριτι ἐχόντων τι κατ' ἐμοῦ εἰς τό συζητῆσαι μεθ' ἡμῶν. παρήλθομεν τάχιον καὶ αὐτοὺς μηδόλως ἀξιώσαντες λόγου τοῦ οἰουδήτινος αὐτούς, καὶ τὴν ὁδόν ἡμῶν ἐκείνην τὴν ἀπλήρωτον ἠνύομεν. αὖθις οὖν ἠρωτώμην τοὺς ἐμοὺς ὁδηγούς καὶ φημὶ πρὸς αὐτούς· κύριοί μου, πᾶσαν ἁμαρτίαν, ἣν τελέσει ἄνθρωπος ἐν τῷ κόσμῳ, ἀναμφιβόλως εἰσπράττεται ἡ ψυχή αὐτοῦ διαπερῶσα τὰ ὧδε καὶ οὐ δύναται ἔτι ζῶν ἐξαλεῖψαι αὐτάς, ἀλλ' εἰσὶν ἀπογεγραμμέναι πᾶσαι εἰς ἕκαστον τελώνιον καθ' ὅν εἰρήκατέ μοι τρόπον, θεωρῶ γὰρ ὅπως καταλεπτὸν ἐξετάζουσί με εἰς πάντα καὶ φρίττουσα ἐξίσταμαι· λέγουσιν ἐκεῖνοι πρός με· τοὺς πάντας οὐχ οὕτως, ἀλλὰ μόνους τοὺς κατὰ τάδε ἀνεξαγορεύτως ἀποθανόντας· εἰ γὰρ καὶ σὺ εἶχες ἐξαγορεῦσαι τῷ πνευματικῷ σου πατρί τὰ πλημμελήματα σου πάντα ἀνυποστόλως καὶ δέξασθαι παρ' αὐτοῦ ἐντολὰς καὶ ἐκπληρῶσαι αὐτὰς καὶ λαβεῖν ἐξ αὐτοῦ συγχώρησιν, ἢ διὰ ζώσης φωνῆς αὐτοῦ ἢ διὰ γραφῆς, διέβης ἂν ἀκωλύτως πάντα τὰ χαλεπὰ ταῦτα καὶ ὀλέθρια τελώνια, μὴ δυναμένου τινὸς ἐξ αὐτῶν ἀνοῖξαι καὶ διᾶραι τὸ στόμα ὅλως κατά σου, ἢ συζητῆσαι περί τινος σφάλματος ἐξαγορευθέντος μεθ' ἡμῶν. ἐπεὶ δὲ οὐκ ἔφθασας ἐξαγορεῦσαι αὐτὰ τῷ πνευματικῷ σου πατρί, ἀλλ' ἠρκέσθης ἐπὶ μόνῃ τῇ χρονίᾳ αὐτῶν ἀποχῇ καὶ παντελεῖ σχολῇ, καὶ περὶ τῆς ἐξαγορεύσεως τῶν προγεγονότων οὐκ ἐφρόντισας, διὰ τοῦτο πάντα ἐρευνῶνται ὑπὸ τῶν τελωνίων τούτων καὶ ἐξετάζονται καταλεπτόν. καὶ γὰρ ὁπηνίκα τις ἐξαγορεύσει ἐν τῷ κόσμῳ ἐκείνῳ τὰς ἁμαρτίας αὐτοῦ καὶ τοῦ λοιποῦ σχολάσει τῇ μετανοίᾳ, ἀφίησιν αὐτῷ ὁ Θεὸς πάντα ὅσα ἥμαρτε, καὶ ὑπάρχει ἐλεύθερος ἐκ πάντων αὐτῶν, δεξάμενος ἀοράτως τὸ ἀφέσιμον αὐτοῦ. οἵ τε γὰρ πονηροὶ δαίμονες οἱ ἐν τοῖς τελωνίοις ἐναπογεγραμμένα ἔχοντες τὰ πλημμελήματα αὐτοῦ θᾶττον ἀνελίξαντες τὰ μιαρὰ κατάγραφα αὐτῶν, οὐδὲν ὧν ἐν τούτοις ἔγραφαν οὐδὲ ἴχνος εὑρεῖν δεδύνηνται. τὸ γὰρ Ἅγιον Πνεῦμα ἀοράτως ἐξήλειψε καὶ ἔχεσεν αὐτὰ τῶν ἐκεῖσε. καὶ γνωρίζουσιν οἱ τῶν τελωνίων ἄρχοντες ὅτι δι' ἐξαγορεύσεως ἀπηλείφησαν πάντα καὶ στυγνάζουσιν ἀστοχήσαντες, σπεύδοντες, εἰ ἔτι ζῇ ὁ ἄνθρωπος οὗ τὰ ἁμαρτήματα δι' ἐξαγορεύσεως ἀπηλείφησαν, ἕτερα πάλιν αὐτῷ ἀντι-

γράψαι, διὸ καὶ σφοδροτέρως μετὰ τὴν ἐξαγόρευσιν ἐπεγείρουσιν αὐτῷ τὰ σαρκικὰ πάθη καὶ πλειοτέρως ἐνοχλοῦσιν αὐτῷ. μέγα οὖν ὡς ἀληθῶς καὶ σωτήριον καὶ οὐδενὸς τῶν ἄλλων ἁπάντων χρησιμώτερον καὶ πρὸς σωτηρίαν ὀνησιμώτερον, ὡς ἡ ἐξαγόρευσις ἡ καθαρὰ δηλονότι καὶ ἀπροσποίητος καὶ ἀναπήλατος, ἥτις ἐκ τῶν τοιούτων ἀναγκῶν ῥύεται συντόμως καὶ εὐκόλως τὸν ἄνθρωπον καὶ διέρχεται ἀκωλύτως ἡ ψυχὴ αὐτοῦ πάντα τὰ τελώνια ταῦτα καὶ ἀζημίως καὶ γίνεται πρὸς τὸν ἑαυτῆς Δεσπότην ἐπικομιζομένη τὴν ἐργασίαν τῶν ἀγαθῶν αὐτῆς πράξεων ἀμείωτον· ἐὰν δέ τις σχολάσῃ μὲν τῇ μετανοίᾳ καὶ παύσηται δῆθεν ἐκ τῶν κακῶν τοῦ μὴ ἐνεργεῖν αὐτὰ, οὗτοι ἐξαγορεύσει δὲ τῷ πνευματικῷ αὐτοῦ πατρὶ τὰ προειργασμένα αὐτῷ πάντα ἀπαραλείπτως, ἀλλ᾽ ἀρκεῖν αὐτῷ πρὸς ἄφεσιν καὶ ἐξάλειψιν τῶν προγεγονότων αὐτῷ κακῶν δόξει ἡ παντελὴς αὐτῶν ἀποχὴ καὶ ἡ ὑπὲρ αὐτῶν χρονία ἄσκησις, οὐθὲν ἡ σχολὴ τούτων ὠφελήσει τὸν τοιοῦτον, εἰμὴ καὶ ἐξαγόρευσις ὡς δεῖ ἐπακολουθήσει, ἀλλὰ πάντων καθ᾽ ὃν ἑώρακας τρόπον ἐνταῦθα ἀναμφιβόλως ζητηθήσονται καὶ πολυπραγμονηθήσονται· ὡσαύτως καὶ οἱ πολλοῖς ἐξαγορεύοντές τι καὶ ἀμφοτέροις ζῶσι, καὶ ἄλλα μὲν τούτῳ ἕτερα δὲ ἐκείνῳ καὶ ἄλλα ἑτέρῳ χωρὶς ἐντολῆς τοῦ πρώτως ἀναδεξαμένου τοὺς λογισμοὺς αὐτοὺς ἀνακαλύπτοντες πταίσματα, οὐκ ἐπὶ σκοπῷ τοῦ θριαμβεύειν τὰ πλημμελήματα αὐτῶν, ἀλλὰ μᾶλλον αἰσχυνόμενοι ἑνὶ μόνῳ ἅπαντα ἐξαγγέλλειν, ἵνα μὴ καταγινώσκονται καὶ ἐλέγχωνται ὑπ᾽ αὐτῶν, καὶ διὰ τοῦτο εἰς πολλοὺς περιόντος δηλαδὴ τοῦ πρώτου ταῦτα καταμερίζοντες καὶ δοκοῦντες ἐξαγγέλλειν χωρὶς προτροπῆς καὶ γνώμης αὐτοῦ, καὶ τούτων τὰ πταίσματα ἐνταῦθα ζητηθήσονται καὶ πολυπραγμονηθήσονται, καὶ ὡς μοιχοὶ κολασθήσονται, καὶ τὴν ὁδὸν αὐτῶν εὐθεῖαν καὶ ὁμαλὴν οὐδαμῶς ἔχουσιν.

ιδ΄. τούτοις καὶ τοῖς ὁμοίοις αὐτῶν ἀδολεσχούντων ἡμῶν ἐν τῇ ὁδῷ, συνήντησεν ἡμῖν ἕτερον τελώνιον, ὅπερ ἦν τὸ τῆς γαστριμαργίας. οἱ οὖν ὑπηρέται καὶ φορολόγοι τοῦ τοιούτου ἐξωγκωμένοι τινὲς καὶ παχεῖς, πίονες καὶ ἀπηγριωμένοι χαλεπῶς ὑπῆρχον. μειζόνως οὗτοι ὑπὲρ τοὺς ἄλλους καθήπτοντο καὶ καθυλάκτουν μοι, ἐπιφέροντες τὰς ἐν τῇ νεότητί μου λαθροφαγίας καὶ ἀκαιροφαγίας εἰς πλησμονήν, ὅπως ἤσθιον ἀπὸ πρωΐας ἀτάκτως ὥσπερ οἱ χοῖροι, ὅπως ἤσθιον ταῖς ἁγίαις τεσσαρακοσταῖς ἀπὸ πρώτης ὥρας εὐχὴν μὴ ποιοῦσα, ὅπως ἤσθιον τὸ καθ᾽ ἡμέραν ἐν μεγάλῃ εὐρυχωρίᾳ, σπαταλῶσα ἐν τῷ προγεύματι, ἐν τῷ γεύματι ἐν τῷ ἀρίστῳ, ἐν τῷ δείπνῳ, πολλάκις καὶ ἐν τῷ ἐπιδείπνῳ, κορεννύουσά μου τὴν κοιλίαν ἄχρι τῶν ἀνωτάτω. ταῦτα καὶ τὰ τοιαῦτα πάντα ἤλεγχον, ὠνείδιζον, ἐπειρῶντο καταπιεῖν

με λέγοντες· οὐ συνέθου ἀπὸ τοῦ ἁγίου βαπτίσματος τῷ Θεῷ σου εἰποῦσα,—ἀποτάσσομαι τῷ Σατανᾷ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ. μετὰ τὰς τοιαύτας φοβερὰς συνθήκας πῶς διεπράξω ἀφοβίᾳ. δόντες οὖν κἀκείνοις τὰ ὀφειλόμενα καὶ ἐξωνησάμενοι τὰ πταίσματά μου περὶ ὧν ἐζήτουν, παρωδεύσαμεν κἀκεῖνο τὸ μιαρώτατον τελώνιον.

ιε'. καὶ ἑτέρῳ αὖθις προσεπελάσαμεν, ὅπερ ὠνομάζετο τὸ τῆς εἰδωλολατρείας καὶ πάσης αἱρέσεως, μὴ ἀξιώσαντες οὖν λόγου τοῦ οἱουδήτινος, εὐθὺς παρήλθομεν αὐτούς, οὐδὲ γὰρ εἶχόν τι εἰπεῖν καθ' ἐμοῦ Χριστοῦ χάριτι.

ις'. ἀπιόντων τοιγαροῦν ἔτι ἡμῶν ἐπὶ τὰ πρόσω, εὑρέθη ἔμπροσθεν ἡμῶν ἕτερον τελώνιον χαλεπὸν λίαν ὅπερ ἐλέγετο ἀνδρομανῶν καὶ παιδοφθόρων, ὁ οὖν ἐξάρχων τοῦ τοιούτου τελωνίου πικρὸς καὶ φοβερὸς καὶ δράκων προκαθεζόμενος χιλίαρχος πρῶτος τῶν τῆς πονηρίας χρηματίζων πνευμάτων, ποτὲ μὲν ὡς δράκων κεράστης ὡρᾶτο, ποτὲ δὲ εἰς μῦν καὶ χοῖρον ἀπηγριωμένον μετεμορφοῦτο, μήκιστος καὶ κῆτος θαλάσσης ὑπάρχων, ἦν τε περὶ κύκλῳ αὐτοῦ δυσωδία πολλὴ καὶ πικρὰ καὶ ἀνήδονος ἐν ᾗ ὡς κερβικαρίῳ μεγάλῳ ἐπανεκλίνετό τε καὶ ἀνεπαύετο. οἱ δὲ τούτου ὑπηρέται καὶ φορολόγοι καὶ συζητηταὶ πικροὶ ὑπῆρχον τῇ ἰδέᾳ, οἷα τὰ τοῦ θεάτρου εἴδωλα κατησβολωμένοι τε καὶ ἀπηγριωμένοι, καὶ γνόντες, ὅτι θηλείας εἰμὶ ψυχή, οὐδὲν εἶχον ἄλλο τι ἐρευνῆσαι κατ' ἐμοῦ, ἢ ἐὰν ποτε μεθ' ἑτέρας γυναικὸς συγκοιταζομένη φησὶ φιλικῶς ἔχουσα μετ' αὐτῆς τὸ τῆς γυναικοκοίτης ὡς μετὰ ἀνδρός εἰργάσθαι ἁμάρτημα ἐπ' ἀμφοτέραις. ἐπεὶ δὲ Θεοῦ χάριτι οὐδὲν ἐν ἐμοὶ τοιοῦτόν τι εὑρηκέναι ἴσχυσαν, ἄπρακτοι εὑρεθέντες κατησχύνθησαν, καὶ ἡμεῖς τῶν ἐκεῖσε θαρρούντως ἀπέπτημεν καὶ κατηντήσαμεν εἰς ἕτερον τελώνιον [1]. ἤδη γὰρ ἐπλησιάζομεν τῇ πύλῃ τοῦ οὐρανοῦ. καὶ τοῦτο ἐσημάναντό μοι οἱ καλοί μου προστάται καὶ ὁδηγοὶ οἱ ἅγιοι ἄγγελοι, εἰπόντες μοι περὶ τοῦ παρελθόντος παμμιάρου τελωνίου τῶν ἀνδρομανῶν καὶ παιδοφθόρων, ὅτι πολλὰς ψυχὰς ἕως αὐτοῦ ἀκωλύτως ἀνερχομένας καθ' ἑκάστην ἐπὶ τῷ διελθεῖν καὶ προσκυνῆσαι τῷ θρόνῳ τῆς χάριτος, αὐτὸ καθέλκει καὶ κατασπᾷ κάτω διὰ τὸ τοὺς πολλοὺς ἐκτόπως ἀγαπᾷν αὐτὸ καὶ πράττειν τὰ τούτῳ ἐράσμια.

ιζ'. [2]. τὸ δὲ μετὰ τοῦτο συναντῆσαν ἡμῖν τελώνιον, ἦν τὸ τῆς μοιχείας ἑταστήριον, ὅπερ οἱ προσεδρεύοντες δαίμονες ὀξέως ἐπιστάν-

[1] Синод. 250 ошибочно вставляетъ тутъ обозначеніе слѣдующаго мытарства—ιζ'.

[2] ιη'.

τες ἡμῖν ἠρεύνουν σπουδῇ ἀσυγκρίτῳ τὰ πεπραγμένα μοι. καὶ ἐπεὶ πρὸ τοῦ ἐλθεῖν εἰς χεῖράς μου τὸν μακάριον, εἶχον σύντροφον παραδεδομένον μοι ὑπὸ τὴν κυρίαν μου ἔχοντος καὶ συνοικοῦσα μετ' αὐτοῦ παρέπεσον καὶ μετά τινων ἑτέρων νέων τῶν ἐν τῷ οἴκῳ ἡμῶν ὑπαρχόντων ἐξαπατηθεῖσα ὑπ' αὐτῶν, διὰ ταῦτα μεγάλως μου οἱ τοῦ τελωνίου τούτου ἐτασταί καθήπτοντο καὶ ἔλεγον οἱ ὁδηγοῦντές με ἀντιπίπτοντες αὐτοῖς, ὅτι δούλη ὑπάρχουσα ἡ ψυχὴ αὕτη ἐν τῷ κόσμῳ οὐχ ὑπὸ ἱερέως ηὐλόγηται, οὔτε μήν ἐν ναῷ Κυρίου στεφανωθεῖσα καὶ ἱερολογίας ἀξιωθεῖσα τὸν σύνευνον ἔλαβεν, ἵνα καὶ κυρίως μοιχείας ὦσι τὰ ἐγκλήματα, ἀλλὰ μᾶλλον πορνείας δέον ταῦτα κατονομάζεσθαι οἱ δὲ μεγάλως θρυλλούμενοι ἀντετίθουν λέγοντες· οὐχὶ δεύτερος θεὸς τῷ δούλῳ ὁ κτησάμενος αὐτὸν ἀργυρώνητον κύριος αὐτοῦ, καὶ αὕτη γνώμη τοῦ δεσπότου αὐτῆς συναφθεῖσα δέον τὰ παραπτώματα αὐτῆς μοιχείας καλεῖσθαι καὶ οὐ πορνείας. τούτων οὖν πρὸς ἀλλήλους ἀμφισβητουμένων, ἐνίκησαν οἱ ἐμοί, καὶ μηδὲν αὐτοῖς παρασχόμενοι ἐπὶ τὰ πρόσω ἐχωρήσαμεν. ἐπηπείλουν δὲ ἡμῖν, σείοντες τὰς κεφαλὰς καὶ ἔλεγον, ὅτι κἂν ἡμᾶς παρεκρούσασθε πιθανολογίας, ἀλλὰ τὸ τῆς πορνείας ἐταστήριον ὑπὲρ τὰ λοιπὰ οὐδαμῶς διαδρᾶναι δυνήσεσθε.

ιη'. [1] ἔτι καὶ ἔτι ἐρχομένων ἡμῶν ἰδοὺ ἀνέφανε καὶ ἕτερον τελώνιον, ὅπερ ἦν τὸ τοῦ φόνου, ἐν ᾧ καὶ πᾶσα πυγμὴ μετ' ὀργῆς καὶ πᾶσα μάστιξ, ῥαβδισμός τε καὶ ῥαπισμός καὶ πᾶσα ἁρπαγὴ καὶ ἀδικία ὑπὲρ τῶν ἐν τούτῳ προσεδρευόντων δαιμόνων ἀνερχομένων τῶν ψυχῶν ἐτάζεται καὶ ζυγοστατεῖται καὶ παραπλησίως τοῖς ἄλλοις ἀκριβολογεῖται καὶ κατὰ μέρος ἐλέγχεται. μικρὰ οὖν καὶ τούτῳ ζημιωθέντες παρήλθομεν αὐτό.

ιθ'. [2] καὶ ἰδοὺ ἕτερον τελώνιον συνήντησεν ἡμῖν ὅπερ ἦν τῆς κλοπῆς. αὐτομολησάντων οὖν ἡμῶν πρὸς τοῦτο ἠρεύνουν καταλεπτὸν οἱ ἐν τούτῳ ἀλάστορες καὶ πικροὶ συζητηταὶ τὴν ὅλην ζωήν μου, τοιγαροῦν ὀλίγα τινὰ καὶ τούτῳ ζημιωθέντες παρήλθομεν αὐτούς πορρωτέρω

κ'. [3] ἔτι καὶ ἔτι χωρήσαντες, ἐρχόμεθα εἰς ἕτερον τελώνιον. λοιπὸν τῇ πύλῃ τοῦ οὐρανοῦ προσεγγίσαντες καὶ αὐτὸ ἦν τὸ τῆς πορνείας. ὁ οὖν ἐν τούτῳ ἄρχων περιβέβληται χιτωνίσκον σηπώδει ἀφρῷ καὶ αἵματι ἐρραντισμένον, ἐφ' ᾧ καὶ ὡς πορφύρα βασιλικὴ τερπόμενος, ἐγαυρία καὶ ὡραΐζετο τοῦτο δὲ ὑπῆρχεν ὡς οἱ ἄγγελοι τοῦ Θεοῦ

---

[1] ιθ'
[2] κ'.
[3] κα'

πρὸς ἀλλήλους διελέγοντο εἰργασμένον αὐτῷ ἀπὸ τῆς αἰσχρᾶς καὶ μιαρᾶς ἐργασίας τῶν δίκην χοίρων τῇ μίξει τῆς πορνείας ἀδεῶς ἐγκαλινδουμένων νοητῶς καὶ καταλλήλως κατασκευαζόμενον τῷ τῆς ἡδονῆς ταύτης ἐξάρχοντι. ἀναπηδήσαντες οὖν οἱ ἐν τούτῳ δεινοὶ φορολόγοι καὶ ξενισθέντες καὶ ἐννεοὶ οἱ μιαροὶ γενόμενοι, ὅτι μέχρις αὐτῶν ἐφθάσαμεν, ἐφ' ὥραν ἱκανὴν ἀμηχανίᾳ ληφθέντες ἔστησαν. καὶ πάλιν εἰς ἑαυτοὺς γενόμενοι οὕτως μετὰ πάσης ἀκριβολογίας διηρεύνουν τὰ ἐμοὶ ἐν τῷ βίῳ καταλεπτόν, ὡς μὴ μόνον τὰ ἀληθῆ ἔμπροσθέν μου τιθέναι καὶ διελέγχειν με σφοδραῖς περὶ ἑκάστου αὐτῶν, ἀλλὰ δὲ καὶ αὐτοὶ ἀφ' ἑαυτῶν ὑπονοίαις ἰδίαις πειθόμενοι ψευδῆ μου πάμπλειστα κατηγόρουν, καὶ εἰς μαρτυρίαν τῶν τοιούτων μου κατηγοριῶν ὀνόματα καὶ παρώνυμα καὶ σύσσημα καὶ τεχνῶν ἐπιτηδεύματα τῶν ἐραστῶν μου εἰς μέσον ἔφερον, λέγοντες ταῦτα καὶ κραταιούμενοι εἰς τὸ ἁρπάσαι με ἀπὸ τῶν χειρῶν τῶν ἁγίων ἀγγέλων καὶ βαλεῖν κάτω. ἔλεγον οὖν οἱ ὁδηγοῦντές με πρὸς αὐτοὺς· ἐπαύσατο χρόνον ἱκανὸν καὶ ἐσίγησεν ἀπὸ τῶν τοιούτων παντελῶς. ἀντέλεγον δὲ αὐτοῖς οἱ ἐπάρατοι, ὅτι μὲν ἐσχόλασεν ἀπὸ τῶν τοιούτων πρὸς καιρὸν καὶ ἡμεῖς ἐπιστάμεθα. τὰ δὲ μυστήρια ἡμῶν κεκρυμμένα εἶχε παρ' ἑαυτῇ, ἐπειδή ἠγάπα ἡμᾶς καὶ οὐκ ἐθριάμβευε τὰ ἔργα ἡμῶν οὐδ' ἐξηγόρευσέ τινι τῶν ἐπὶ τῆς γῆς. εὑρίσκομεν γὰρ ὅτι οὐδὲ ὅλως ποτὲ τινὶ ἐξηγόρευσεν, οὐ δεδούλευκεν ἐπιτιμίοις, οὐκ ἐδέξατο ἀφέσιμον παρά τινος τοῦ τῶν μοναζόντων, εἴτε μὴν παρά τινος ἱερέως. οὐκοῦν τίς ὁ τὴν λαμπρότητα αὐτῇ δεδωκὼς τῶν ἐπ' αὐτῇ, ἢ τοίνυν ἀφέντες αὐτὴν ἡμῖν ἄπιτε, ἢ δι' ἔργων ἀγαθῶν τὰ παρ' ἡμῶν ἐμφανιζόμενα κατ' αὐτῆς ἐξωνήσασθε. οἱ οὖν ἄγγελοι τοῦ Θεοῦ παρασχόντες αὐτῶν τὰ ἰσόσταθμα ἀπὸ τῶν δικαιοπραγιῶν τοῦ κυρίου μου ἅραντες με ἐπὶ τὰ πρόσω ἐπορεύοντο. ἔτριζον κατ' ἐμοῦ τοὺς ὀδόντας αὐτῶν οἱ πονηροὶ καὶ βερβορωμένοι καὶ σκοτεινοὶ ἐκεῖνοι δαίμονες, διότι διαδρᾶναι ἴσχυσα τὰς μιαρὰς χεῖρας αὐτῶν καὶ ἐξίσταντο ἐπὶ τοῖς θαυμαστοῖς καὶ πολυτίμοις δώροις τοῦ κυρίου μου δι' ὧν ἐξωνούμην τὰ ἐμοὶ πεπλημμελημένα καὶ οὐκ ἐκυριευόμην ὑπ' αὐτῶν. ἐν δὲ τῷ πορεύεσθαι ἡμᾶς, ἔφασκον πρός με οἱ ἄγγελοι Κυρίου· ἑώρακας τοῦτο λέγοντες τὸ τελώνιον; ὀλίγαι ψυχαὶ διέρχονται ἀζήμιοι διὰ τὸ εἶναι τὸν μάταιον κόσμον ἀπὸ τῆς ἐν αὐτῷ τρυφῆς φιλόπορνον καὶ φιλήδονον καὶ μᾶλλον τοῖς ἔτι μὴ γευσαμένοις δι' ἀναγνώσεως τῶν θείων γραφῶν, τῶν διὰ ταῦτα κριμάτων Θεοῦ, ἀλλὰ αἱ πλείους αὐτῶν κάτω ὑπὸ τούτου κατασπῶνται καὶ εἰς τὸν ᾅδην κατακλείονται. σὺ δὲ διὰ τῶν δωρεῶν τοῦ τιμίου καὶ ἁγίου γέροντος, ἰδοὺ διέδρας αὐτὰ καὶ τὸν μεγάλα καυχώμενον καὶ λέγοντα· ἰδοὺ ἐγώ φη-

σιν μέλλω ἐμπλῆσαι τὴν τοῦ πυρὸς γέενναν ἀφ' ὧν κατασπῶ ψυχῶν διὰ τὰς λαγνείας καὶ πορνείας αὐτῶν, τὸν ἄρχοντα δηλαδὴ τοῦ ἀέρος τοῦ σκότους τῆς ἐξουσίας τοῦ τελωνίου τούτου ἤδη νενίκηκας καὶ ἐξουδένωσας αὐτὸν καὶ τοῦ λοιποῦ οὐκ ὄψει κακά, διότι, εὐδοκίᾳ Κυρίου ἠλεήθης διὰ τοῦ θεράποντος αὐτοῦ.

κα'. [1] ταῦτα ἐκείνων πρὸς με λεγόντων συνήντησεν ἡμῖν καὶ τὸ ἔσχατον πάντων [2], τελώνιον, τὸ τῆς ἀσπλαγχνίας καὶ σκληροκαρδίας, ἐν ᾧ πάντες οἱ ἀνελεήμονες καὶ σκνιφεῖς [3], οἱ ἀπηνεῖς καὶ μισάδελφοι πικρῶς ἐτάζονται ὅταν γὰρ πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ κατορθώσῃ ἄνθρωπος, ὑπάρχει δὲ ἄσπλαγχνος καὶ ἀνελεήμων, ἐν τῷ ἀνέρχεσθαι τὴν ψυχὴν αὐτοῦ ὧδε, εὐθέως κρατοῦσιν αὐτὴν οἱ τοιοῦτοι φορολόγοι καὶ ἐξεταστάι, καὶ κατασπῶσιν αὐτὴν κάτω, τύπτοντες καὶ κολαφίζοντες αὐτὴν ὡς ἀνηλεῆ καὶ ἄσπλαγχνον καὶ ἐν τῷ ζοφερῷ τοῦ ἅδου ταμείῳ ἐναποκλείουσιν [4] ἄχρι τῆς κοινῆς τῶν πάντων ἀναστάσεως, τοῦ Θεοῦ μὴ ἐλεοῦντος αὐτὴν διὰ τὰς λοιπὰς αὐτῆς ἁρετάς, ἀλλὰ βδελυσσομένου καὶ μισοῦντος αὐτὴν ἀνθ' ὅτου οὐ δέδωκε πτωχοῦ κλάσμα ἄρτου, οὔτε ὀβολόν, διότι οὐκ ἐπεσκέψατο τοὺς ἐν ἀρρωστίᾳ κάμνοντας καὶ τοὺς ἐν ἀδυναμίᾳ καὶ ἀπορίᾳ ταλαιπωροῦντας καὶ τῶν ἀναγκαίων στερουμένους καὶ τοὺς ἐν φυλακῇ κατακεκλεισμένους, ἤ τι τῶν τούτοις παραπλησίων οὐδαμῶς εἰργάσατο δυνατῶς ἔχουσα εἰ μὴ δι' ἔργων, ἀλλά γε διὰ λόγων καὶ κρυφίων στεναγμῶν τὸ συμπαθές ἐπιδείκνυσθαι. ταῦτα δὲ μὴ ποιοῦσα, τὰ ἐναντία τούτοις ἐπετέλει, ὀκνίαν ἄπειρον νοσοῦσα, φιλαργυρίαν κεκτημένη, ἀσπλαγχνίαν καὶ ἀνελεημοσύνην ὑπερβάλλουσαν πρὸς τὸν πέλας ἐπιδεικνυμένη. ὡς οὖν πρὸς τὸ τοιοῦτον τελώνιον κατήχθημεν, θεωρῶ τὸν ἐξάρχοντα τούτου καὶ ἦν σφόδρα κατεσκληκὼς καὶ καταπεπονημένος, ὡς ἀπὸ μακροτάτης καὶ χαλεπῆς ἀρρωστίας ἑαυτὸν ἀπὸ τῆς ἐνοικούσης κακίας ἀποκλαιόμενος καὶ ὅ ἰδιωτικῶς καὶ ἐγχωρίως λέγεται τζιγγραίνων καὶ τὰ σχήματα καὶ τὰ ἰδιώματα τῶν ὧν ἐξάρχει ὀλεθρίων παθῶν ἐν ἑαυτῷ σαφῶς περιφέρων. ἐκάθητο δὲ ἐκθηριωμένος ὅλως καὶ πῦρ πνέων τῆς ἀσπλαγχνίας. ἐπεὶ δὲ καὶ τούτῳ προσεπελάσαμεν καὶ οἱ ἐν τούτῳ πονηροὶ καὶ φόνιοι ὑπηρέται προσεγγίσαντες καὶ μυρμηκηδὸν ἐπιχυθέντες ἡμῖν, ἠρεύνουν, ἐξήταζον, ἐπολυπραγμόνουν εἶπου εὕρισκον ἐν ἐμοί, ὅτι δέδωκα ἄρτον πένητι καὶ πτωχῷ ἢ ποτήριον οἴνου καὶ ὕδατος, εὐθὺς κατησχύνοντο, χαρμονῆς

[1] κβ'
[2] нѣтъ.
[3] σκιφοί.
[4] доб. αὐτήν.

οὖν ἀφάτου πλησθέντες διὰ τὸ μὴ ζημιωθῆναι ἐν αὐτοῖς τὸ ὁτιοῦν, εὐφραινόμενοι ἀπέπτημεν ἀπ' αὐτῶν.

καὶ κατηντήσαμεν εἰς τὴν πύλην τοῦ οὐρανοῦ, εἷς ἦν καὶ εἰσεληλύθαμεν. ἦν δὲ ἡ πύλη τοῦ οὐρανοῦ ὡς εἶδος κρυστάλλου φωταυγοῦς καὶ τὰ ἔργα τὰ ἐν αὐτῷ ἐξ ἀστέρων διαυγείας καὶ πυρσοῦ ὡς ἐν χλωρότητι χρυσίου διαφέροντα, κατηγλαισμένα καὶ ὡραΐζοντα. νεώτερός τε ὁ ἐπὶ τῆς πύλης ἱστάμενος χρυσοείμων ἀστραπὴν περιεζωσμένος, καὶ οἱ πόδες αὐτοῦ βεβαμμένοι πυρὶ φαεινῷ καὶ γλυκυτάτῳ τῇ ἰδέᾳ σφόδρα εὐφραινόμενος καὶ χαίρων ὑπεδέξατο ἡμᾶς καὶ ὅτι διέδρασε ψυχὴ ἀκλυδωνίστως τὰ πικρὰ τελώνια τοῦ σκότους τοῦ ἀέρος, μεγάλως ἐδόξαζε τὸν Θεόν

πορευομένων δὲ ἡμῶν ἔνδον τοῦ οὐρανοῦ, διεχωρίζετο καὶ ἔφευγεν ἀπὸ προσώπου ἡμῶν τὸ ὕδωρ τὸ ἐπάνω τοῦ στερεώματος, καὶ πάλιν συνήγετο ἐπὶ τὸ αὐτό. μετὰ δὲ τὸ ὑπεξελθεῖν ἡμᾶς τὴν ὁλκὴν ἐκείνου τοῦ ὕδατος, κατηντήσαμεν εἰς ἀέρα τινά φρικτὸν καὶ ἀκατανόητον, καὶ ἦν ἐπ' αὐτῷ δέρρις χρυσοϋφής, τὰ φοβερὰ πλάτη τοῦ αἰθέρος ἐκείνου ἐν τῷ ἁπλοῦσθαι σκέπουσα, ὑπῆρχον δὲ ἐπ' ἐκείνῳ τῷ δέρρει νεανίσκοι τινὲς ὡραῖοι, ὧν οὐκ ἦν ἀριθμός, πῦρ ἐνδεδυμένοι, πυρρακεῖς ὥσπερ ἀκτὶς ἡλίου βασιλεύοντος αἱματοειδεῖς καὶ θρίξ αὐτῶν ὥσπερ ἀστραπὴ καὶ οἱ πόδες αὐτῶν λευκοὶ ὡσεὶ γάλα καὶ τὰ πρόσωπα αὐτῶν ὡσεὶ χιών, καὶ ταύτης πολλαπλασίως φωτὶ ἀΰλῳ φωτοβολοῦντα, οἵτινες ὁρῶντές με ἐν ταῖς χερσὶ τῶν ἁγίων ἀγγέλων τῶν ὁδηγούντων με συνέτρεχον, συνέχαιρον, ἐσκίρτων καὶ ηὐφραίνοντο ἐπὶ τῇ ἐμῇ σωτηρίᾳ καὶ ὅτι ἐθησαυρίσθη ψυχὴ τῇ ὥρᾳ ταύτῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ συνεπορεύοντό μοι ψάλλοντες μέλος γλυκὺ καὶ τερπνὸν εἰς τὸ ἀκοῦσαι οἷον ποτὲ ἐν τῷ ματαίῳ κόσμῳ οὐδαμῶς ἠνωτισάμην. ἐπεὶ δὲ ἐπορευόμεθα εἰς τὸ προσκυνῆσαι τὸν πυρίμορφον θρόνον τοῦ Ἁγίου τῶν ἁγίων καὶ Κυρίου τῶν κυρίων καὶ Θεοῦ τῶν θεῶν, ἀπιόντων ἡμῶν ἰδοὺ νεφέλη κατέναντι τοῦ προσώπου ἡμῶν. καὶ ἡ νεφέλη αὕτη οὐχ ὡς αἱ νεφέλαι αἱ ὑπ' οὐρανόν, ἀλλά τῇ χροιᾷ ὑπῆρχεν ὥσπερ ἴον ἢ ῥόδον ἡδύπνοον, τηλαυγεστέρα καὶ ἡδυτέρα τούτων ἑκατονταπλασίως· ἤρθη οὖν αὕτη μερισθεῖσα ἔμπροσθεν ἡμῶν καὶ ἰδοὺ ἐσωτέρω ταύτης ἑτέρα νεφέλη ὡς εἶδος οὖσα καταπετάσματος λευκὴ τῇ ἰδέᾳ ὡς τὸ φῶς, καὶ αὕτη διεστάλη ὁμοίως τῇ πρώτῃ, καὶ ἰδοὺ μετ' αὐτὴν ἑτέρα νεφέλη ὥσπερ χρυσὸς τῇ ἰδέᾳ πῦρ ἐκπέμπουσα περιδέξιον, καὶ αὕτη ὁμοίως διεστάλη, καὶ ἰδοὺ πορρωτέρω ἑτέρα αὐλὴ χρυσά δάπεδα κεκτημένη καὶ αὐγὰς καὶ ἀπαυγάσματα μυριοβαφῆ, ἐν χροιαῖς δόξης ποικιλοτρόπως ἀνατέλλουσα, καὶ γλυκεῖα θυμηδία νοῦν ἐκστῶσα τῶν ἐκεῖ. καὶ ἰδοὺ

ἀνὴρ πυρίμορφος, καὶ ἰδοὺ εὐωδία Κυρίου πίων λίαν ἡδύτητι. καὶ προβάντες ἔτι μικρὸν ἐωρῶμεν καὶ ἰδοὺ εἰς ὕψος τοῦ αἰθέρος, εἰς ὕψος ἄπειρον σφόδρα θρόνος Θεοῦ, θρόνος λευκός, μυριοβαφής, αὐγὰς ἀστράπτων καὶ ἐν τῷ ἀστράπτειν αὐγάζων ὅρια, καὶ τρέφων τῇ θεωρίᾳ τοὺς ἐκεῖ παριστάναι ἠξιωμένους. κύκλῳ γὰρ τοῦ θρόνου τοῦ Θεοῦ παρίσταντο χρυσεύροιζοι νεανίσκοι, εὐμετέθεις ὡς ὑψίκομοι κυπάρισσοι ἀστραπὴν πέμποντες ὡραιοτάτην, καὶ ἐνδεδυμένοι βύσσον λαμπρὰν καὶ πορφύραν φρικτήν, οἵαν λόγος βρότειος ἀδυνατεῖ διηγήσασθαι. προσελθόντες οὖν κατέναντι τοῦ φρικωδεστάτου ἐκείνου θρόνου τρὶς ἤνεσαν ᾠδὴν οἱ ἐμὲ ὁδηγοῦντες τῷ θρόνῳ Κυρίου, καὶ τῷ ἐπὶ τοῦ θρόνου φρικτῶς καὶ ἀοράτως ἐπαναπαυομένῳ, αὖθίς τε τρὶς προσεκυνήσαμεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, καὶ ἐδόξασαν τὴν ἁγίαν Τριάδα οἱ παρεστῶτες ἄνω ἐπὶ τοῦ περιμόρφου αἰθέρος ἅμα ἡμῖν ἐπὶ τῇ σωτηρίᾳ τῇ ἐμῇ ἐν δόξῃ κλειζόμενος. καὶ ἰδοὺ φωνὴ [1]—λυγρὰ ἐμὲ ἐπιφέρουσιν οὕτως· —[1] διαβιβάσαντες αὐτὴν φησὶν ὡς ἐπὶ πασῶν ψυχῶν εἰώθατε ποιεῖν εἰς πάσας τὰς μονὰς καὶ σκηνὰς τῶν ἁγίων καὶ ἐν τῷ περικύκλῳ τῆς Ἐδὲμ χωρίῳ καὶ πρὸς τὰ κατασχόντα, εἶθ' οὕτως καταπαύσατε αὐτὴν ἐν οἷς ὑμῖν ἐντέταλκε Βασίλειος ὁ θεράπων μου.

ἀπάραντες οὖν ἐκεῖθεν ἐπὶ τὰς σκηνὰς τῶν ἁγίων ἐπορεύθημεν καὶ ἦσαν ἀναρίθμητοι, ὧν οὐκ ἦν ἀριθμός, σφόδρα ἐξ ἡλιακῆς ἀκτῖνος καὶ ἀπὸ τῆς τοῦ τόξου ἀκτῖνος καὶ ἀπὸ ἀστραπῆς ἀκτῖνος καὶ ἀπὸ βυσσαίας καὶ πορφύρας αἴγλης καὶ ἀκτῖνος καὶ ἐξ ἑτέρων μυριοβαφῶν ἄὐλῳ νοῒ τῶν πυρσευόντων ἐν πυραμίδι φρικτῶν ἀκτίνων αἱ τῶν ἁγίων σκηναὶ χειρὶ Θεοῦ ἀνερμηνεύτως ἀνεπετάσθησαν ἐν πεδίῳ τῆς Ἐδέμ, ἐν τόπῳ [2]—τῆς πνευματικῆς χλόης, ὅπου βλύζει ὕδωρ νοερόν, ὕδωρ ζωῆς, ἐν τόπῳ—[2] τῆς ἀναπαύσεως, ἐν τόποις ἁγίοις ἀναψύξεως. καθάπερ γὰρ παλάτια ἐξηλλαγμένα ἀλλοῖα καὶ ἀλλοῖα, οὕτως καὶ αἱ τῶν ἁγίων αἰώνιοι σκηναὶ ἐχρημάτιζον ἑκάστῳ τάγματι αὐτῶν, δεξιᾷ Κυρίου νεουργηθεῖσαι ἐκεῖ, καὶ ἕτερα τῶν ἁγίων ἕτεροι τὴν ὡραιότητα τῶν θαμαστῶν ἐκείνων καὶ ἁγίων σκηνῶν καταστοχαζόμενοι ἀπὸ τῆς φρικτῆς ὡραιότητος οὐ κορέννυται, ἰδίως γὰρ εἰσὶν αἱ τῶν ἀποστόλων, ἰδίως αἱ τῶν ἱεραρχῶν, ἰδίως αἱ τῶν προφητῶν, ἰδίως αἱ τῶν ἁγίων μαρτύρων, ἰδίως αἱ τῶν ὁσίων καὶ δικαίων, ἕκαστος δηλονότι τὴν ἑαυτῶν εὐπρεπισθεῖσαν δι' ἔργων ἀγαθῶν μονὴν τε καὶ κατοικίαν εἴτουν σκηνὴν ἀϊδίως κεκτημένος. αἵτινες ὑπάρχουσι κατά τε εὖρος καὶ πλάτος

[1]—[1] доб. πάνυ ἀνάπλεως λυγρὰ λίαν ἰσχυρῶς ἐκτῶν ἀνωτάτων φάσκουσα τὴν ἐμὲ ἀποφέρουσαν οὕτως

[2]—[2] нѣтъ.

ὡς ἐμὲ εὐκασαι, οἷα ἐστὶν ἡ βασιλεύουσα πόλις. πάντες τοίνυν οἱ ἅγιοι ἐξερχόμενοι ἀπὸ τῶν ἁγίων σκηνῶν τῷ πνεύματι. νοητῶς κατασπάζονται [1] με γεγηθότες καὶ λίαν εὐφραινόμενοι ἐπὶ τῇ ἐμῇ σωτηρίᾳ. ἀπήλθομεν τοιγαροῦν πρὸς τὸν κόλπον τοῦ Ἀβραὰμ πατριάρχου, καὶ ἦν πλήρης δόξης ἀφράστου. οὐχ ὁ σωματικὸς κόλπος αὐτοῦ, ἀλλ᾽ ὁ τόπος ἐν ᾧπερ αὐτὸς τεθησαύρισται, πλήρης ὑπάρχων ἡδυσμάτων πνευματικῶν καὶ μυριπνόων ἀνθέων καὶ ῥόδων, μύρων καὶ ἀρωμάτων πνευματικῶν οὐρανίου χλόης μετεώρου θυμητικῆς καὶ πολυεράστου πέλων ἀνάπλεως, οὗτινος τὴν [2]—εὐάερον θέσιν—[2] [3]—καὶ θέαν—[3] καὶ καλλονὴν καὶ ἐξηγήσασθαι [4], μηδαμῶς [5] ὡς ἔνι παραστῆσαί σοι δυνήσομαι λόγῳ πείρας χωρὶς [6] θέας τῶν ἐκεῖ. ὑπάρχουσι γὰρ ἐν τούτῳ τῷ παλατίῳ νοηταὶ ἐκ πυρσοφαοῦς ἀκτῖνος τοῖς ἄμφω πατριάρχαις Πνεύματι τεχνουργίας κατεσκευασμένα ὑπὸ Κυρίου Παντοκράτορος μυριοπλασίοις ἀκτῖσι χρυσῶν διαυγειῶν μεμουσουργημένα τε καὶ καθωραισμένα εἰς ἄκραν εὐπρέπειαν, ἐν οἷς πάντα τῶν χριστιανῶν πεφωτισμένα νήπια λυθέντα ἀρρύπως τῶν τοῦ σώματος δεσμῶν [7] κεκληρωμένα τυγχάνουσι δόξῃ ἀρρήτῳ καὶ χαρᾷ διηνεκεῖ περὶ κύκλῳ τούτων σκιρτοῦντα καὶ χορεύοντα, περικύκλῳ δηλονότι Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ. καὶ γὰρ οὗτοι ἐκεῖσε ὑπῆρχον σὺν τοῖς ἐξ αὐτῶν δώδεκα πατριάρχαις, ἀφ᾽ ὧν αἱ δώδεκα φυλαὶ τοῦ Ἰσραήλ, ἐπὶ θρόνων ἁγίων καὶ θαυμαστῶν ἐπαναπαυόμενοι. ὅν γὰρ τρόπον ὁρῶν μέν τις τὴν ἡλιακὴν ἀκτῖνα φαίνουσαν, κατασχεῖν δὲ αὐτὴν οὐδαμῶς δύναται, οὕτως καὶ αἱ τῶν ἁγίων πάντων ψυχαὶ καθορῶνται μὲν παρὰ τῶν ὁμοίως αὐτῶν ἡγιασμένων ψυχῶν χρῶμα σώματος, ἀπὸ μεταφορᾶς κεκτημέναι, ἄυλοι μέντοι ὡς αἱ ἡλιακαὶ ἀκτῖνες καὶ κρατεῖσθαι μὲν παρὰ σωματικῶν χειρῶν οὐ δεδύνηνται, καὶ ἵνα τὰ πολλὰ ἐάσω, πάντα παροδεύσασα καὶ τὰ κύκλῳ τοῦ παραδείσου καὶ τὰ ἐν τοῖς καταχθονίοις, τὰ ταμεῖα τοῦ ᾅδου, ἐν οἷς τὸν Σατανᾶν συνέτριψεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. ἐπανήλθομεν αὖθις πρὸς δυσμάς, ἔνθα αἱ πικραὶ κολάσεις καὶ αἱ τιμωρίαι μένουσι τοῖς ὁμοίοις μου ἁμαρτωλοῖς, ἅπαντα γὰρ ὑπέδειξάν μοι οἱ ἅγιοι Ἄγγελοι [8] φάσκοντες πρὸς με· θέασαι φασὶν πόσων ἀναγκῶν σε ἐρρύσατο ὁ

[1] κατασπάζοντο
[2—2] εὐαρέστησιν.
[3—3] нѣтъ.
[4] ἐπεξηγήσασθαι.
[5] οὐδαμῶς.
[6] доб. καὶ..
[7] доб. καὶ.
[8] доб. Κυρίου.

Κύριος· καὶ γὰρ τεθέαμαι καὶ τὰ ταμεῖα τὰ ζοφερὰ ἐκεῖνα ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου, ἔνθα πᾶσαι ψυχαὶ τῶν ἀπ' αἰῶνος καταδεδικασμένων ἀποκλείονται, ὡς ἡ ἄμμος παρὰ τὸ χεῖλος τῆς θαλάσσης, ἡ ὑπὲρ αὐτῶν τὸν χοῦν τῆς γῆς, αἳ μὴ ἰσχύουσαι φῶς τὸ γλυκὺ θεάσασθαι εἰς τὸν αἰῶνα διὰ τὸν ἐπικείμενον αὐτῆς λίθον τῆς πορώσεως. ἄλλοι μὲν διὰ παντὸς κράζουσι τὸ οὐαὶ καὶ διηνεκῶς μέλος ἀλαλάζουσι πικρόν. πεινῶσαι νοητῶς καὶ διψῶσαι τὸ πόμα τῆς σωτηρίας, καὶ γυμνητεύουσαι ἀπὸ παντὸς χιτῶνος πνευματικοῦ καὶ τῷ ῥύπῳ τῶν ἰδίων πλημμελημάτων κατεσθιόμεναι. φεῦ φεῦ [1] καὶ οὐαὶ ἐπὶ οὐαὶ διὰ παντός, ὦ τέκνον, καὶ προείρηται ψυχικῇ φθορᾷ καὶ οὐ σωματικῇ ἀνακράζουσαι, καὶ οὐ πέφυκεν ὁ ἐλεῶν. ἐν δὲ τῷ πορεύεσθαι ἐν τούτοις τὴν ψυχὴν φῶς χρηματίζοντες οἱ ἄγγελοι Κυρίου φωτίζουσι τὰ σκοτεινὰ ἐν οἷς οἱ ἁμαρτωλοὶ κολάζονται, καὶ βλέπει ἡ ψυχὴ πάντα τὰ ἐκεῖσε βασανιστήρια, ἵνα εἰδέναι ποταπῆς ἔχει σκοτομήνης, καὶ πικρίας ἐρρύσθη τῆς ἁμαρτίας ἀποστᾶσα, καὶ δεξιαῖς ὁδοῖς ἐν σεμνοτάτῃ προστάγματι Κυρίου ἀποπηδήσασα ἐπὶ τὴν ἀμείνω καὶ ἀθάνατον ζωὴν ποικιλοτρόπως ἐπώδευσε. ταῦτα πάντα περιελθοῦσα ἠρωτήθην παρ' ἑνὸς τῶν ἐμὲ φερόντων ἱλαρῶν καὶ ἁγίων ἀγγέλων· ἆρα οἶσθα, Θεοδώρα, ὡς τὴν σήμερον, ὡς ἔθος ἐν τῷ κόσμῳ τοῖς νεκροῖς ἐπιτελεῖσθαι τὰ τεσσαράκοντα, καὶ σοὶ ἐπιτελεῖ ὁ ὅσιος πατήρ σου καὶ ἐκ τούτων ἐπέγνων ἡ ἀθλία ὡς διὰ τεσσαράκοντα ἡμερῶν ἀφ' ἧς ἐχωρίσθην τοῦ ταπεινοῦ σκηνώματος εἰς ἣν ὁρᾷς κατάπαυσιν κατήντησα, ἥτις οὐκ ἐμὴ πέφυκεν, ἀλλὰ τοῦ ὁσίου καὶ κοινοῦ ἡμῶν πατρὸς τοῦ ἐν ἁγίοις Βασιλείου, τοῦ γνησίου θεράποντος Κυρίου τοῦ Θεοῦ, ὅς ἔτι ἐν τῷ κοσμῷ ἐκείνῳ ὑπάρχων, καλῶς μετέρχεται καὶ ὁδηγεῖ ψυχὰς πεπλανημένας πολλὰς καὶ προσάγει αὐτὰς Κυρίῳ τῷ Θεῷ διὰ μετανοίας καὶ ἐξαγορεύσεως εἰλικρινοῦς, εἰς καύχημα καὶ δόξαν αὐτοῦ, καὶ εἰς ὁσμὴν εὐωδίας πνευματικῆς. καὶ γὰρ καὶ ἄλλαι πολλαὶ ψυχαὶ σὺν ἐμοὶ ἐνταῦθα ὑπάρχουσιν ἅςπερ πρὸ ἐμοῦ ὡδήγησε καὶ ἀντελάβετο ἐξ ὁδοῦ ἀνομίας αὐτῶν καὶ ἤγνισεν αὐτὰς καλῶς καὶ ἔσωσεν ἐν Κυρίῳ, γινώσκω γὰρ εἶναι ἐνταῦθα τὰς ψυχὰς τοῦ κυροῦ Ἰωάννου καὶ τῆς κυρᾶς Ἑλένης τῆς συμβίου αὐτοῦ, οἵτινες καλῶς καὶ θεαρέστως διηκόνησαν αὐτῷ ἐν τῷ κόσμῳ ἐκείνῳ, τῶν δὲ λοιπῶν ὧν αἱ ψυχαὶ εἰσὶν ἐνταῦθα τῶν παρ' αὐτοῦ διδαχθέντων καὶ ὁδηγηθέντων, πρὸς τὴν ἐνταῦθα ζωὴν ἐκ παλαιῶν καιρῶν καὶ χρόνων, οὐδαμῶς ἐπίσταμαι τὰ ὀνόματα.

ὅμως δεῦρο σὺν ἐμοὶ καὶ πρὸς τὰ ἔνδον χωρήσομεν, καὶ ὄψει ἐν οἷς αὐλιζόμεθα. καὶ γὰρ καὶ ὁ κύριος ἡμῶν ὁ ἐκλεκτὸς Κυρίου, ὁ ὅσι-

[1] НѢТЪ.

ος πατὴρ ἡμῶν πρὸ ὥρας ἐνταῦθα ἐλήλυθεν, εἰ καὶ ἐποκολουθήσας· εἰσήλθομεν εἰς τὰ ἐνδότερα, καὶ δὴ ὡς ἔνδον ἐχωρήσαμεν [1], ἐπεσκόπουν πρὸς τὴν ἀείμνηστον ταύτην καὶ ὁδηγόν μου τὴν κυρὰν Θεοδώραν, καὶ ἰδοὺ ὅλη καταυγαζομένη ὥσπερ ἀπὸ ἱδρῶτος θείῳ ἐλαίῳ καὶ περικεχρυσμένη μύρων ἄρδου πιστικῆς πολυτίμου, καὶ ἐξισταμένη τῷ θαύματι, προεπορεύετο δὲ μου λευκὸν λινοῦ ἠμφιεσμένη ὡσεὶ χιών, καὶ σουδάριν περὶ τὴν κεφαλὴν ἐκ βύσσου φοροῦσα εἰσήλθομεν οὖν εἰς περιαύλιον· τὸ δὲ δάπεδον ἐκείνου τοῦ περιαυλίου διαχρύσοις πλαξὶν ἐξαστράπτοντος καὶ περικεκοσμημένου λίαν ὑπερθαυμάστως, καὶ ῥύπος ἐν αὐτοῖς οὐχ ὑπῆρχε τὸ σύνολον. ἐν μέσῳ δὲ τῶν χρυσοφαῶν πλακῶν ὑπῆρχον φυτὰ ἐξηνθισμένα ὡραιοτάτως πεφυτουργημένα παντοῖα, καὶ ἵσταντο τὴν ἀνεκλάλητον εὐφροσύνην κεκτημένα τοῖς εἰς αὐτὰ καθορᾶν προειρημένοις. μέγιστόν τε γὰρ ἦν τὸ προαύλιον, καὶ περιβλεψάμενος πρὸς ἀνατολὰς ὁρῶ παλάτια ἐκ φωτὸς φρικτῶς κατασκευασμένα εἰς ἄπειρον μέγεθος ὕψους τὴν ἔπαρσιν κεκτημένα. καὶ οὐκ εἰσήλθομεν ἐν αὐτοῖς, ἔγγιστα δὲ τῶν ἀνόδων τῶν ὁρωμένων παλατίων, ἱστήκει τράπεζα μεγίστη ὡσεὶ πήχεων τριάκοντα, καὶ αὕτη ἦν ἀπὸ λίθου σμαράγδου, ἀκτῖνας ἀποβάλουσα φωτοβόλους, πρὸς τῇ κεφαλῇ γοῦν αὐτῆς μυγδάλου φυτὸν ὡραῖον λίαν διηνθισμένον πεφύτευτο, καὶ ἐκυρτοῦτο τὸ φυτὸν ὑπεράνω τῆς τραπέζης, κατασκιάζον ἅπαν τὸ πρόσωπον αὐτῆς, καὶ εὐπρέπειαν ἀσύγκριτον παρέχον ἐν τῷ ὁρᾶσθαι. ἐν δὲ τῇ αὐτῇ τραπέζῃ μῆσσοι ὑπῆρχον προκείμενοι, διάχρυσοι ἀστραποειδεῖς, λιθοειδεῖς, σμαράγδιοι, σάφειροι, σαρδόνυχες, πράσινοι, λυχνίται, ἀπὸ πάντων τῶν τιμίων λίθων τῶν ἐκπορευομένων ἐκ τοῦ παραδείσου, σφόδρα πεποικιλμένοι καὶ συντελοῦντες εἰς παμποικίλην ὡραιοτάτην. τὰ γοῦν ἐδέσματα τὰ ἐν μέσῳ αὐτῶν προκείμενα, ὀπῶραι φρυκτοφαεῖς ὡραιότατοι, πορφυρᾶς ἐκ χροιᾶς καὶ γαλακτοειδεῖς, καὶ ὡσεί καλάμου κρίνου καὶ κοκκίνης εὐχροίας, ἑτέρας μυριομύκτου ἀνερμηνεύτου καὶ ἀνεκδιηγήτου κεκτημένα ἐχρημάτιζον, ἄνθη μὲν ποικίλα πρώτιστα ἐπέκειτο ἐπὶ τοῖς μήσσοις, καὶ εἶθ' οὕτως ἐπάνω τῆς τῶν ἀνθέων μορφῆς προὔκειντο ἐκεῖναι αἱ ὀπῶραι αἱ ἀνερμήνευτοι ἀφράστῳ λόγῳ, καὶ ἀκατανοητῳ ὀσφρήσει, καὶ διανοίᾳ ἀνθρωπίνῃ τὴν εὐοσμίαν προβάλλουσαι. μία ἑκάστη τιῶν ὀπωρῶν τὴν οἰκείαν ἡδύτητα, παρ' ἑαυτῇ κεκτημένη καὶ κιρναμένης τοῖς ἐξ ἀμφοτέρων εὐοσμίας, κόρος τῆς ἀλήκτου ταύτης εὐφροσύνης τοῖς ὁρῶσιν, οὐδαμῶς ὑπῆρχεν. ἦν τε ὁ ἡγιασμένος καὶ μέγας πατὴρ ἡμῶν ἐπὶ θρόνου ἐξαισίου ἱσταμένου πρὸς τῇ τῆς τραπέζης κεφαλῇ ἐφεζόμενος, καὶ τοῦτο οἷα κύριος πάντων τῶν ἐκεῖ

[1] ἐχωροῦμεν.

ἐπαναπαυόμενος ἐνδόξως. ὁ δὲ γε θρόνος ἦν πράσινος φρικωδέστατος, ἐξαίρετον καὶ φρικτὴν τὴν λαμπηδόνα τῆς οἰκείας αἴγλης κεκτημένος. οἱ δὲ συνευωχούμενοι αὐτῷ καὶ συνευφραινόμενοι τὴν θαυμαστὴν ἐκείνην ὀπώραν, ὑπῆρχον οὐχὶ ἄνθρωποι σῶμα παχὺ ἠμφιεσμένοι, ἀλλ' ὥσπερ ἀκτὶς ἡλίου ἕκαστος αὐτῶν τῇ ἐλαφρότητι ἦσαν. ἰδέαν μέντοι ἀνθρώπου μετὰ καὶ τῆς ἀκριβοῦς συνθέσεως τῶν ἑκατέρων μερῶν καὶ μελῶν κεκτημένοι ἀειθαλῆ, πάντες ἄρρενες, θηλείας δὲ διαφορᾶς ἐν αὐτοῖς ὅλως οὐχ ὡρᾶτο, ὅσον τε ἦσθιον ἀπὸ τῆς τραπέζης ἐκείνης τῆς θαυμαστῆς, ἐπὶ πλεῖον ἐπλεόναζεν ἡ βασιλικὴ ἐκείνη ὀπώρα καὶ θαυμάσιος, πνευματικὴ τε οὖσα καὶ νεύματι Κυρίου τοῖς ἐκεῖ τεθησαυρισμένη οἱ γοῦν ἐσθίοντες τὴν ἄϋλον ἐκείνην καρυκείαν, ἀφράστου χαρᾶς ἐνεπίμπλαντο καὶ θυμηδείας καὶ ἀγαλλιάσεως, πάντες ἐν μειλιχίῳ καὶ ἱλαρῷ μειδιάματι ἀλλήλοις συμπεριϊστάμενοι, καὶ οἱονεὶ γλυκείᾳ φωνῇ πανωραίως προσδιαλεγόμενοι. ἐκίρνων δὲ αὐτοῖς νεανίσκοι τινὲς εὔχροιάν τινα ροδινῷ πυρρακύσματι λίαν εὐπύρως ἀπαστράπτουσαν, ἐπὶ ἀΰλως χιονεφεγγέσι τοῖς ποτηρίοις ὁπόταν δέ τις αὐτῶν ἐπὶ χεῖρας ἐδέξατο τὴν θαυμαστὴν ἐκείνην κύλικα ὡς [1] πιεῖν καὶ ἤδη ἐπέχεεν αὐτὴν τῷ ἰδίῳ στόματι ἐμπιπλασάμενος τῆς τοῦ ἁγίου Πνεύματος ἡδύτητος καὶ ἐνεργείας, ἐπὶ ἱκανὴν ὥραν ὡς ἐννεὸς ἵστατο καὶ ὅλως ἐξεστηκὼς ἠΰγαζε δὲ τὸ πρόσωπον αὐτοῦ ὡσπερεὶ ῥόδον ἄρτι τῶν καλύκων ὑπεξελθὸν [2] οἱ δὲ τούτοις παριστάμενοι καὶ διακονοῦντες ὑπῆρχον νεανίαι ὡραῖοι, λευκοί τὰς παρειὰς ὡσεὶ ἔριον οἱ βραχίονες αὐτῶν ὡσεὶ γάλα ἠμφιεσμένοι στολὴν κοκκίνην, ἄϋλως βεβαμμένην ὡραιοτάτως. οἱ πόδες αὐτῶν ὡσεὶ χιών, περιεζωμένοι τε ὡς ἀπὸ τοῦ οὐρανίου τόξου λώρους, εἴτουν ἱμάντας. καὶ ἐπὶ τὰς κορυφὰς αὐτῶν χρυσᾶ φέροντες διαδήματα, ἐν λίθοις πολυτίμοις καὶ μαργάρων εἰσφοραῖς λίαν πανευπρεπέστατα τυγχάνοντα.

προσελθοῦσα τοίνυν ἔμπροσθέν μου ἡ θαυμασιωτάτη Θεοδώρα, πλησίον τοῦ ἁγίου πατρὸς ἐγεγόναμεν, ᾧ δὴ προσελθοῦσα ἐνέτυχε περὶ ἐμοῦ. ὁ δὲ μειδιῶντι προσώπῳ ἀτενίσας πρός με χαριέντως πρός ἑαυτὸν ἐγγίσαι με προετρέψατο. ὡς δὲ πλησίον αὐτοῦ στὰς καὶ τὴν συνήθη μετάνοιαν βαλὼν ᾔτουν εὐχήν, ἤκουσα παρ' αὐτοῦ πραείᾳ καὶ ἡσύχῳ φθογγῇ· ὁ Θεὸς οἰκτειρήσαι καὶ εὐλογήσαι σε τέκνον. ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐπὶ σέ καὶ ἐμπλήσαί σε ἀπὸ πάντων τῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ ἀγαθῶν. ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. ἐμοῦ οὖν κειμένου ἐπὶ τοῖς χρυσέοις δαπέδοις ἐκείνοις, ἥψατό μου τῇ χειρὶ ὁ ἅγιος πατὴρ

[1] ὥστε.

[2] ὑπεξελθεῖν.

καὶ ἀνέστη καὶ φησί πρός με· ἰδού ἦν ἐζήτεις ἰδεῖν Θεοδώραν, ὑποδεικνύων μοι αὐτὴν τῷ οἰκείῳ δακτύλῳ περὶ ἧς πολλὰ παρεκάλει μαθεῖν, οἵου τετύχηκε κλήρου καὶ ἐν ποίοις ἐστίν. ἰδοὺ ὁρᾷς αὐτὴν καὶ τὰ περὶ αὐτὴν, τοιγαροῦν τοῦ λοιποῦ μηκέτι ἐνδελεχῶς ὄχλει δι' αὐτήν. ἡ δὲ τιμία ἐκείνη ἄνθρωπος, ἡ ἠλεημένη ὑπὸ Κυρίου, χαρωπὸς ἐνορῶσα πρός με, φησὶν· ἔλεος σοι γένοιτο Κυρίου, τέκνον κὺρ Γρηγόριε, ὅτι φροντίς σοι καὶ μέριμνα ἐστί περὶ ἐμοῦ τῆς ταπεινῆς. διό καὶ ὁ Κύριος ἐπλήρωσέ σου τὴν ἐπιθυμίαν διὰ τῶν πρεσβειῶν τοῦ κυρίου ἡμῶν καὶ πατρὸς καὶ ποιμένος τοῦ μεγάλα ἐλέη μεθ' ἡμῶν τῶν ἀμφοτέρων ποιήσαντος. τούτων οὖν οὕτως γενομένων ἀναμεταξὺ ἡμῶν, οἱ ὀφθαλμοὶ πάντων τῶν ἐπὶ τῆς θαυμαστῆς ἐκείνης τραπέζης εὐωχουμένων πρός ἡμᾶς ἐν σιωπῇ πολλῇ ἐνητένιζον. εἶτα ἔφησεν ὁ ὅσιος πρός τὴν Θεοδώραν, πορεύθητι ἅμα αὐτῷ, καὶ ὑπόδειξον τούτῳ τήν ὡραιότητα τῶν ἐν τῷ παραδείσῳ ἡμῶν φυτῶν. παραλαβοῦσά με τοιγαροῦν ἐκείνη ὡς εἰς τά δεξιὰ τοῦ προαυλίου ἐπορευόμεθα, καὶ ἰδοὺ πύλη θαυμαστή, καὶ ἀπὸ διαχρύσων δόμων τεῖχος τῷ κήπῳ εἰς ὕψος ἐγηγερμένον· καὶ ἀνεῳχθείσης τῆς πύλης ἔνδον προσεχωρήσαμεν. ἐχρημάτιζε τοίνυν ἐν τῷ κήπῳ διάχρυσος βοτάνη, ῥόδοις ἀνεκλαλήτοις ὡραιζομένη· ἐκπληττομένου μου οὖν ἐπὶ τῇ τοιαύτης καλλονῇ, ἡδύτης ἐξ αὐτῆς ἀνεδίδοτο ἀσύγκριτος καὶ πᾶσι τοῖς εὐωδέσιν ἀπαράμιλλος. προσεῖχον οὖν τοῖς ὑποδεικνυομένοις με παρὰ τῆς ὁδηγούσης με, καὶ ἰδοὺ βλέπω πλήθη ἀναρίθμητα φυτῶν ἐν ἑβδομήκοντα παραλλάγμασιν αὐτῶν πεφυκότα, ἀριθμῷ μή ὑποβαλλόμενα, ἕκαστον αὐτῶν βρῖθον καρπῷ ἀσυγκρίτῳ, τῶν κλάδων αὐτῶν ὑπὸ τοῦ βάρους τοῦ πολλοῦ εἰς γῆς συγκεκηφότων, καὶ θραῦσιν ὑπομεῖναι βιαζομένων μέν, μὴ ὑπομενόντων δὲ βλάβην τινὰ ἢ ἀλλοίωσιν, διὰ τὸ ἀφθαρσίας ἠξιῶσθαι αὐτά. ὡς γὰρ ἐνενόουν ἀπὸ τῆς ὁμοιότητος αὐτῶν, οἱ καρποί οἱ ἐπὶ τῆς τραπέζης παρατιθέμενοι, εἴτουν αἱ φανειαὶ καὶ πάντερπνοι ὁπῶραι ἀπὸ τῶν φρικωδεστάτων δένδρων ἐκείνων ὑπῆρχον. ἐξιστάμην οὖν ἐπὶ τε τῇ ὡραιοτάτῃ τῶν φυτῶν, ἐπὶ τε τῷ μήκει αὐτῷ τὸ λίαν ὑψικόμῳ, ἐπὶ τε τοῖς φρικτοῖς καὶ θαυμαστοῖς καρποῖς αὐτῶν· καὶ γὰρ οὐδέποτε τηλικούτοις θαυμασίοις ἐνέτυχον. καὶ ἔφησε πρός με ἡ κυρία μου Θεοδώρα ταῦτά σε ἐκπλήττει; ἐὰν λοιπὸν ἴδοις ἐκεῖνον τὸν παράδεισον, ὅν ὁ Κύριος κατὰ ἀνατολὰς ἐν τῇ Ἐδὲμ πεφυτούργηκε, μειζόνως ἔχεις φρίξαι καὶ ἰλιγγιᾶσαι καὶ ὑπερεκπλαγῆναι, ἐπεὶ οὑτοσὶ πρὸς ἐκεῖνον παραβαλλόμενος σκιὰ καὶ ἐνύπνιον πρὸς πραγμάτων ἐνυποστάτων ἀλήθεια ἐστίν. λέγω οὖν πρὸς αὐτήν· δεόμαί σου, κυρία μου, δίδαξόν με, τίς ἐστιν ὁ φυτεύσας τοῦτον τὸν παράδεισον; οὐδαμῶς γὰρ ἐγὼ πώποτε τοι-

οὗτον τεθέαμαι. καὶ φησὶν πρός με, ποῦ γὰρ ἂν καὶ κατιδεῖν ἐξίσχυσας ἔτι ἐν τῷ ματαίῳ κόσμῳ διάγων, τοιαύτην δικαιοσύνην ταῖς χερσὶ τοῦ Ὑψίστου κατασκευασθεῖσαν, πάντα γὰρ ἅπερ ὡς αἰσθητὰ τοῖς ὀφθαλμοῖς τῆς ψυχῆς σου καθορῶνται, νοητὰ πέλουσιν. καὶ ἡμεῖς ἐνταυθοῖ νοητῶς διοδεύομεν. οἱ κόποι δὲ καὶ οἱ ἱδρῶτες τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου, οὕς ἀπὸ νεότητος καὶ μέχρι γήρος αὐτοῦ ἐκοπίασεν, νηστεύων, ἀγρυπνῶν, ξηροκοιτῶν, προσευχόμενος, τὸν καύσωνα καὶ τὸν παγετὸν ὑποφέρων ἐν ταῖς ἐρήμοις βοτάνας ἀγρίας καὶ μόνον σιτούμενος ἐπὶ πολλὰς ἐτῶν περιόδους, ἤγουν πρὸ τοῦ εἰς Κωνσταντινούπολιν αὐτὸν εἰσελθεῖν καὶ θείαν οἰκονομίαν ἐπὶ σωτηρίᾳ πολλῶν, τὸν παράδεισον τοῦτον ὃν ὁρᾷς, αὐτῷ προεξένησαν. οἱ γὰρ ἐν τῷ κόσμῳ ἐκείνῳ πόνους καὶ θλίψεις διὰ τὸν Θεὸν καὶ τὴν τῶν ἁγίων ἐντολῶν αὐτοῦ ἐργασίαν ὑπομένοντες, τοιαύτης ἐνταῦθα παρὰ Κυρίου τυγχάνουσιν τῆς μισθαποδοσίας καὶ παρακλήσεως εἰς αἰῶνα αἰῶνος ἀδιόῖως ἀγαλλόμενοι καὶ ἀλήκτως εὐφραινόμενοι, ὥςπου φησὶν ἡ θεία γραφή, τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι, καὶ τὰ τούτοις ὅμοια. ἔτι οὖν θαυμάζων ἐξιστάμην ἐγώ ὅπως μοι εἴρηκεν, ὅτι νοητῶς ἡμεῖς ἦμεν τοῖς ἐκεῖ, καὶ ἐπειρώμην ψηλαφᾷν [1], εἰ ἄρα σάρξ ἐστιν τὸ φαινόμενόν ἐμοι σῶμα, καὶ χεῖρα χειρὶ κρατεῖν εἰ ὅλως ὀστᾶ κέκτημαι, ηὐτομόλουν καὶ πολυπραγμονεῖν ἐπεχείρουν. καὶ κατενόουν ἐμαυτὸν ὥσπερ τις θέλων κρατῆσαι, ἢ πυρὸς φλόγα, ἢ ἀκτῖνα ἡλιακήν. καὶ ἐν τῇ χειρὶ μὲν κατέχει καὶ δράσσεται, οὐ κατέχει δέ οὐδὲ γὰρ δύναται διὰ τὸ παρά φύσιν βιάζεσθαι τοῦτο ποιεῖν, οὕτως δὴ καὶ αὐτὸς ἐγὼ ἦμην ποιῶν καὶ καθαρὰς τὰς αἰσθήσεις ἔχων τῆς διανοίας μου, ἐξιστάμην τοῖς ἐκεῖ θεάμασι τῷ πνεύματι. ἐπεὶ δὲ ἐδόξαμεν ὑποστρέψαι πρὸς τὸ αὔλιον καὶ τὴν πύλην δι' ἧς καὶ εἰσήλθομεν εἰς τὸν τοῦ οἴκου παράδεισον, τὴν μὲν τράπεζαν κενὴν εὕρομεν τῶν παρακειμένων, τὰ δ' ἄλλα πάντα ἐπὶ τοῖς αὐτοῖς ὁρώμενα εὐπρεπείας καὶ θεϊκῆς καταστάσεως.

ἐγὼ δὲ ἀσπασάμενος τὴν μακαρίαν Θεοδώραν, ἔδοξα τῶν ἐκεῖσε ἀναχωρεῖν, καὶ ὥσπερ εἰς ἐμαυτόν γενόμενος ἀνείθην τῆς φρικτῆς ἐκείνης θεωρίας καὶ τοῦ παραδόξου ὁράματος καὶ ἠρξάμην ἀναλογίζεσθαι, τίς τε εἰμί καὶ ποῦ διάγω, καὶ τίνα μοι τὰ ὁραθέντα καὶ εἰσηγηθέντα, καὶ ἀνεπόλουν κατὰ διάνοιαν μήποτέ τι τούτων διαλάθῃ. καὶ ἀνεμιμνησκόμην πάντων αὐτῶν.

ἀναστὰς οὖν, ἐπορεύθην πρὸς τὸν μακάριον, λογιζόμενος κατὰ νοῦν τὸ τί ἄρα περὶ τούτων ἔχει μοι διηγήσασθαι, — εἰ ἀπὸ Θεοῦ ἢ ἀπὸ δαιμόνων ταῦτα ἑώρακα. ἐν τῷ οὖν ἀπελθεῖν με πρὸς τὸν

[1] доб ἐμαυτόν.

μακάριον καὶ βαλεῖν αὐτῷ τὴν συνήθη μετάνοιαν, εὐλογίας τε ἀξιωθῆναι τῆς παρ' αὐτοῦ, προσέταξέ μοι πλησίον αὐτοῦ καθεσθῆναι, καὶ φησὶ πρός με· οὐ γινώσκεις, τέκνον Γρηγόριε, ὅπη τῇ νυκτὶ ταύτῃ ἀμφότεροι διετρίβομεν. ἐμοῦ δὲ τὸν ἀγνοοῦντα ὑποκριναμένου, καὶ ποῦ γὰρ ἀλλαχοῦ πάτερ πλὴν τῆς ἰδίας κλίνης ἐν ᾗ ἐκάθευδον καὶ ἡδέως εἰρηκότος κατὰ ἀπόπειραν φησὶν θαμινὰ πρός με. μόνοι γὰρ ἐγώ γε κἀκεῖνος κέλλης ἐντός τηνικαῦτα ὑπήρχομεν. οἶδα ἀληθῶς κἀγώ ὅτι τῷ μὲν σώματι ἐπὶ τῆς ἰδίας κλίνης ἐκάθευδες, τῷ δὲ πνεύματι ἑτέρωθί που περιεπόλεις. καὶ οὐκ οἶσθα ὅσα ἐγώ σοι τῇ νυκτὶ ταύτῃ ἔδειξα, οὐχὶ τὴν Θεοδώραν ἑώρακας, οὐχὶ ἐπὶ τοῦ πυλῶνος τοῦ νοητοῦ καὶ πνευματικοῦ, ἐφ' ὅν σὺ ἀλώμενος ὅτε με καταλαβεῖν ἐδίωκες κατήντησας, ἐξελθοῦσα μετὰ περιχαρείας ὑπεδέξατό σε. καὶ ἔνδον εἰσαγαγοῦσα διηγήσατό σε τὰ περὶ τῆς ἐξόδου καὶ τοῦ θανάτου αὐτῆς, ὅπως τε βίᾳ πολλῇ παρῆλθε καί τοι ὑφ' ἡμῶν βοηθουμένη τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ σκότους τοῦ ἀέρος τούτου καὶ τὴν ἀγριότητα τῶν πικρῶν τελωνίων αὐτῶν; οὐχὶ ἔνδον τοῦ προαυλίου σὺ ἅμα αὐτῇ ἐμοῦ κελεύσαντος εἰσεληλύθεις; οὐχ ἑώρακας τὴν θαυμαστὴν ἐκείνην τράπεζαν καὶ τὴν ἐξαισίαν ταύτης κατασκευήν; ὁποῖα τὰ ἔργα αὐτῆς; ποταπαὶ αἱ ὀπῶραι τῆς προθέσεως αὐτῆς; ὁποῖα τὰ θαυμαστὰ καὶ ἡδύπνοα ἄνθη καὶ ἡλίκοι οἱ νεανίσκοι οἱ τὴν διακονίαν τῶν ἐπὶ τῆς τραπέζης ἀποπληροῦντες πνευματικῶς, οὐχ ἱστάμενος κατεσκόπεις τὴν ὡραιότητα τῶν θαυμαστῶν παλατίων καὶ ἐξαισίων ἐκείνων καίτοι μήκοθεν αὐτῶν ὤν; οὐχὶ πρός με ἦλθες καὶ ὑπέδειξά σοι τὴν Θεοδώραν περὶ ἧς πολλὰ παρεκάλεις ὥστε μαθεῖν οἵας μερίδος τετύχηκεν, οὐχὶ παραλαβοῦσά σε ἐκείνη κατ' ἐμὴν κέλευσιν ἄμφω ἐπὶ τὸν ἐκεῖσε παράδεισον τὸν ἐμοὶ κληρωθέντα ἐξωρμήσατε; οὐκ οἶσθα ὅτι τῇ χρυσοφυεῖ βοτάνῃ ἐκείνῃ κατὰ νοῦν δεδεγμένος ὡς ἐπὶ χειρὸς ἔφριττες ἰλιγγιῶν καὶ ἐκπληττόμενος τὴν τῶν ἀνθέων ὡραιότητα, οὐκ ἐθεάσω πρὸς τούτοις τὰ ἀειθαλῆ φυτὰ τῶν ἐκεῖσε καὶ τὴν τῶν καρπῶν αὐτῶν φαιδρότητα καὶ ἀνεκλάλητον ὡραιότητα; οὐχὶ ταῦτα πάντα τῇ νυκτὶ ταυτῃ ἑώρακας; πῶς οὖν λέγεις μοι ἀλλαχοῦ ὑπάρχειν μηδὲ θεάσασθαι τὸ ὁτιοῦν, ἔγωγε γοῦν ταῦτα ἐκ στόματος τοῦ ἁγίου ἐκείνου ὡσεὶ πῦρ ἀφιέντος ἀκούων, καὶ κατανοῶν τὴν ἐν αὐτοῖς ἐναργεστάτην ἀλήθειαν, μικροῦ καὶ ἀπεπάγην ἀφ' ὧν καὶ ἐξεστηκὼς γεγονώς, ἠρξάμην οὖν δάκρυσι κρουνηδόν καταβρέχειν μου τὸ πρόσωπον, ἀναλογιζόμενος ὁποῖος ὁ πάμμεγας οὗτος φωστὴρ ἐν Θεῷ ἐστίν. καὶ ὅτι ἐπ' ἀληθείας οἷα παρὼν καὶ τῷ σώματι καὶ τῷ πνεύματι τοῖς ἐκεῖ πάντα ἐπίσταται. καὶ ἀποκριθεὶς ἐν συνοχῇ καρδίας, φημί πρὸς αὐτόν· ναί, ἅγιε τοῦ Θεοῦ· οὕτως τὰ

πάντα, οὕτως γεγόνασιν ὡς ἐκέλευσας, καὶ ψεῦδος ἐν αὐτοῖς οὐκ ἔστιν. εὐχαριστῶ, εὐχαριστῶ καὶ πάλιν ὑπερευχαριστῶ τῷ Τρισαγίῳ Θεῷ ἡμῶν τῷ καταξιώσαντί με τὸν ἐλεεινὸν καὶ ἀνάξιον πάσης ἀγαθωσύνης γνωρίσαι σε, καὶ εἶναι ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου καὶ ἀπολαύειν τῶν τοιούτων ἐξαισίων καὶ φοβερῶν θαυμασίων· ὁ δὲ μακάριος ἔφη πρός με· ἐὰν καλῶς τὸν βίον σου διάξῃς καὶ κατὰ Θεόν, καὶ πάσης ἀγαθῆς ἐργασίας τῶν ἀρετῶν πορευθῇς, δέξομαί σε μετὰ θάνατόν σου ἐκεῖ τοῦ εἶναί σε ἅμα ἐμοί εἰς τὰς αἰωνίους σκηνὰς ὑπὸ Κυρίου ἡτοιμασμένας μοι ἐγὼ γὰρ πρότερον σου, τῶν ἀνθρωπίνων πραγμάτων ὑπεξελεύσομαι, εἶθ' οὕτως καὶ αὐτὸς μεθ' ἱκανὸν ἐφέψῃ με χρόνον, ἐν ἔργοις τραφεὶς ἀγαθοῖς καθὰ συνέταξέ μοι Κύριος. πρόσεχε δὲ ἕως ὅτου εἰμί ἐν τῷδε τῷ βίῳ μηδεὶς γνώτω περὶ τούτων ἁπάντων. μέλλεις δὲ καὶ τὸν εὐτελῆ μου βίον ἀνάγραπτον ποιῆσαι καὶ ταῖς ἐλευσομέναις τούτων καταλιπεῖν γενεαῖς, εἰς πολλῶν τῶν ἐντυγχανόντων ὠφέλειαν, καὶ συμπαραλήψει καὶ ταῦτα μετὰ τῶν ἔτι ὀφθησομένων σοι εἰς πάντα ἐμοῦ συναιρομένου καὶ συναντιλαμβανομένου σου. ταῦτα ὁ ὅσιος πατὴρ εἰρηκὼς πρός με, ἀπέλυσεν οἴκαδε ἀπελθεῖν, τῆς ἰδίας σωτηρίας ὅλως ἐπιμελούμενον·

αὐτὸς δὲ εἴωθε μὲν καί πρὸς διαφόρους τῶν πνευματικῶν αὐτοῦ παίδων προσβάλλειν ψυχικῆς χάριν ὠφελείας αὐτῶν καὶ θεραπείας τῶν ἀρρώστων αὐτῶν ἐφρόντιζε δὲ καὶ τῶν κατοίκων αὐτῶν πάντων καὶ τὰ αὐτοῖς παρά τινων ἐχθρωδῶς ἐπειγόμενα ἐν τῷ λεληθότι κακὰ προαπήγγειλε, καὶ τῶν συμφορῶν αὐτοὺς ἀπήλλαττε. καὶ ποτε ἐμοῦ πρὸς αὐτὸν ὡς ἔθος φοιτήσαντος καὶ τῆς ψυχωφελοῦς αὐτοῦ καταπολαύοντος διδασκαλίας, αἴφνης ὥς τινος νύξαντος τοῦ σκίμποδος ἐν ᾧ ἐπανεκλίνετο ἐξαναστάς, καὶ τὴν βαΐνην αὐτοῦ ῥάβδον ᾗ ἐπεστηρίζετο διὰ τὸ βαθὺ γῆρας ἐπὶ χεῖρας λαβών, συμπαραλαβὼν κἀμὲ τῆς κέλλης αὐτοῦ, ἐξῆλθε καὶ πρός τινα οἰκίαν ἐν τῷ λιμένι τῶν σ̔ομφιῶν [1] διακειμένην, ἐπορεύθημεν, ἐν ᾗ κατῴκει ἐργαστηριακός τις, πλούσιος μὲν σφόδρα καὶ συγγενῶν τῶν καθ' αἷμα παντελῶς ἔρημος, πεπηρωμένος δὲ καὶ ἄμφω τοὺς σωματικοὺς καὶ ψυχικοὺς ὀφθαλμούς. τοὺς μὲν τῷ βαθεῖ βάρει καὶ τῇ τοῦ πλούτου μέθῃ. τοὺς δὲ τῷ ἀπὸ κεφαλῆς κατελθόντι παχεῖ ρεύματι καὶ τούτους ἀπολευκώσαντι. ᾧτινι διάφοροι μὲν δοῦλοι καὶ ἕτεροι προσπῆρχον, μεθ' ὧν καὶ Θεόδωρός τις ὄνομα βίου σώφρονος ἐργάτης ὢν καὶ ἀρετῆς ἐπιμελούμενος. ὅστις πρὸς τόν ἅγιον πίστιν πολλὴν ἐσχηκώς, συχνῶς τε παρέβαλλε τούτῳ καὶ τῶν πνευματικῶν αὐτοῦ τέκνων εἷς γενέσθαι ἠξίωτο. τούτῳ δὲ τῷ Θεοδώρῳ διὰ τὴν ἀρετὴν αὐτοῦ πλέον

[1] σοφιῶν

τῶν ἄλλων προτεθείς, ὁ δηλωθεὶς κύριος αὐτοῦ καὶ τῶν ἀπορρήτων αὐτοῦ κοινωνὸν ποιησάμενος, πολὺν αὐτῷ φθόνον ἀπὸ τῶν συνδούλων αὐτοῦ ἐπήγειρε. καὶ τις αὐτῶν τῶν πάντων ὁ μοχθηρότατος καὶ πρὸς τὸ κακουργῆσαι προχειρότατος, προσελθὼν ἐπαοιδῷ τινὶ γυναικὶ καὶ ἥλους τινὰς σιδηροῦς κατ᾽ αὐτοῦ βαλὼν ἐν οἰκήματι σκοτεινῷ καὶ ζοφερῷ τούτους κατέπειξεν, ὡς αὐτῷ ἡ ἐπαοιδὸς διετάξατο, ὑφ᾽ ὧν ὁ Θεόδωρος νόσῳ βαρείᾳ κρατηθεὶς κλινήρης τε ἔκειτο καὶ παντελῶς ἀκίνητος ἐπὶ ἡμέρας πολλὰς ἐγένετο καὶ τὰ τελευταῖα ἔπνει καὶ ἐξιτήρια. τοῦτο τὸ δράμα πόρρωθεν ὧν ὁ ἅγιος τοῖς νοεροῖς ὀφθαλμοῖς ὑπὸ τοῦ ἐνοικοῦντος αὐτῷ ἁγίου Πνεύματος καταυγασθείς, παρεγένετο κατ᾽ ἐκείνην τὴν ὥραν καὶ τὴν κλεῖδα τῆς οἰκείας αἰτησάμενος καὶ λαβών, πρὸς δὲ καὶ φῶτα ἐντὸς τε ταύτης εἰσῆλθε σὺν ἡμῖν, καὶ τοὺς ἐμπαγέντας ἥλους κακούργως καὶ ἐπωλέθρως τοῦ Θεοδώρου ἕνα καθ᾽ ἕνα πάντας ἀνέσπασε. καὶ ὁ νοσῶν καὶ ὁ προσδοκώμενος ἤδη τεθνήξεσθαι παρευθὺς ῥᾴων τε ἦν καὶ παντελῶς ἄνοσος· καὶ τροφῆς μεταλαβὼν ἐνίσχυσε καὶ ἀναστὰς διηκόνει ἡμῖν. τούτῳ οὐ μόνον τοῖς ὀφθαλμοῖς οἰκείοις παραβαλόντας ἐξέπληξε καὶ εἰς φόβον μέγαν ἐνέβαλεν, ἀλλὰ καὶ τοὺς ἀκούσαντας εἰς πίστιν μεγάλην ἐνῆξε τοῦ μάκαρος καὶ τὸν Θεὸν πάντες εὐχαριστοῦντες ὕμνουν καὶ ἐδόξαζον, τὸν διὰ τῶν Αὐτοῦ θεραπόντων μεγάλα καὶ ἐξαίσια ἐργαζόμενον. ὅθεν καὶ συχνοὶ πρὸς αὐτὸν ἐφοίτων καὶ τῶν δι᾽ αὐτοῦ γενομένων ὁσημέραι θαυμάτων ἐξαισίων κατετρύφων.

καὶ τις ἐργαστηριακός ἕτερος οἰκέτην ἔχων κατησχυμένον νόσῳ τῇ τοῦ ὑδέρου, καὶ ἤδη ἀποπνεῖν μέλλοντα προσέπεσε τοῖς τοῦ ὁσίου ποσί, λιπαρῶν αὐτὸν καὶ δεόμενος, ὥστε πρὸς τὴν αὐτοῦ σκυλῆσαι οἰκείαν, ἐφ᾽ ᾧ τὸν νοσοῦντα ἐπισκέψασθαι, καὶ εὐλογίας τους κατ᾽ οἶκον αὐτοῦ ἀξιῶσαι. εἶξας οὖν ὁ ὅσιος τῇ δεήσει αὐτοῦ, ἐπορεύθημεν ἅμα αὐτῷ εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἐπεί εὕρομεν τὸν νοσοῦντα ἤδη μέλλοντα ἀποπνεῖν, ἐκ τοῦ λακῆσαι τὸ δέρμα αὐτοῦ ἀπὸ τῆς βίας τοῦ ὑδέρου, καὶ ἐκρεῦσαι τὸ σεσημμένον ὕδωρ εὐχῇ μονῃ καὶ ἐπιθέσει τῶν ἁγίων αὐτοῦ χειρῶν, ὑγιᾶ τοῦτον ἀποδεικνύει παραδόξως καὶ ἐξαισίως.

ἄλλοτε οὖν πάλιν, ὄντος αὐτοῦ ἐν τῷ οἴκῳ τῶν λεγομένων Γογγυλίων, αὐτάδελφοι δὲ οὗτοι ἦσαν πρεπόσιτοι καὶ τὰ μέγιστα δυνάμενοι παρὰ τῷ τηνικαῦτα κρατοῦντι, πατέρα μὲν πνευματικὸν πεποιηκότες τὸν Ὅσιον καὶ πίστιν πολλὴν πρὸς αὐτὸν ἔχοντες, ἀρετῆς δ᾽ ἐργάται καὶ τῶν ὄντως καλῶν ἐρασταὶ τυγχάνοντες εἷλκον μᾶλλον τῶν ἄλλων πρὸς ἑαυτοὺς τὸν ἅγιον καὶ χρονοτριβεῖν ἐν τῷ οἴκῳ αὐτῶν τοῦτον ἀνέπειθον καὶ τῆς ἐξ αὐτοῦ θείας διδασκαλίας εἰς κό-

ρον ἀπέλαυον. παρεγένετο δὲ τις πρὸς τὸν ὅσιον πανοικί, τῆς χώρας μὲν τῶν Παφλαγόνων ὁρμώμενος, πλούτου βρίθων καὶ τῷ τουρμαρχῶν ἀξιώματι σεμνυνόμενος, πνεύματι δὲ πονηρῷ κάτοχος ὤν, καὶ τὸν εἰς αὐτόν κρυπτόμενον πονηρὸν ἔνοικον ἀγνοῶν. τούτου οὖν τὴν παρουσίαν παρεδήλωσεν ὁ ὅσιος εἰπών οὑτωσί πως ἁπλοϊκῶς· ἰδού φησι πρὸς ἡμᾶς παραγίνεται τὴν σήμερον ὁ διάβολος. ὡς οὖν εἰσῆλθεν ὁ τὸν δαίμονα ἔχων μετὰ τῆς προσηκούσης αὐτῷ φαντασίας ἐπὶ τῷ ἀσπάσασθαι τοὺς δηλωθέντες πρεποσίτους συγκαθεζομένου αὐτοῖς τοῦ ὁσίου, μή φέρον τὸ ἐνοικοῦν τῷ πάσχοντι δαιμόνιον τὴν τοῦ ἁγίου παρουσίαν, ἤρξατο κράζειν ἀσήμῳ καὶ ἀπηγριωμένῃ φωνῇ, τί ἐμοί καὶ σοί, ἅγιε τοῦ Θεοῦ τοῦ ὑψηλοῦ. τί με καὶ εἰς τί με βασανίζεις, οἶδά σε τίς εἶ. ἔασόν με καὶ ἀπαγγελῶ τοῖς υἱοῖς τῶν ἀνθρώπων τὰς ὑπὲρ ἄνθρωπον ἀρετάς σου ὅπως ἰλιγγιάσωσιν. εἰδέ μὴ κέλευσον μόνον καὶ ἐξέρχομαι, ἀναχωρῶ ἀναχωρῶ ἀπὸ τοῦ νῦν, ὧδε οὐ μένω οὐκ ἤρκεσάν σοι ὅσα μου δεινὰ εἰργάσω κατὰ τὴν ὁδὸν πειρωμένῳ ὑποστρέφειν καὶ σὲ μὴ θεάσασθαι, ἀλλ' οὖν καὶ ἐνταῦθα ἐλθόντα καίεις με, ταῦτα καὶ τὰ τούτοις φλυαροῦντος τοῦ ἀκαθάρτου δαιμονίου διὰ τοῦ στόματος τοῦ πάσχοντος, ἐκτείνας ὁ ὅσιος τὴν δεξιὰν αὐτοῦ χεῖρα, ἔπαισε σφοδρῶς τὸν δαιμονῶντα τῇ ῥάβδῳ αὐτοῦ κατὰ τῆς κεφαλῆς. εὐθέως οὖν ἐρρύη ἐξ αὐτῆς αἷμα κρουνηδὸν ἐφ' ὥραν ἱκανήν. οἱ γὰρ παρόντες οἰκεῖοι τοῦ πάσχοντος κατεβόων τοῦ ἁγίου, ὡς οὐ μόνον ἀδυνατοῦντος ἰάσασθαι τὸν πάσχοντα, ἀλλὰ καὶ πλεῖον αὐτῷ παραβλάψαντος. ὁ δὲ ὅσιος ἡμῶν πατήρ, μετὰ τὸ τεχθῆναι αἷμα ἱκανὸν ἐπὶ παντὸς τοῦ πλήθους, ἔφη· αἷμα προχέεις. ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, στῆθι. καὶ ἅμα τῷ λόγῳ ὅτε κρουνὸς τοῦ καταρρεόντος αἵματος ἔστη. καὶ ὁ ἄνθρωπος σωφρονῶν ἐδείκνυτο, καὶ τοῖς ποσὶ τοῦ ἁγίου προσπεσών, τῷ ἁγίῳ Θεῷ καὶ τῷ θεράποντι Αὐτοῦ Βασιλείῳ τὴν προσήκουσαν εὐχαριστίαν σὺν ἅμα γυναικὶ καὶ τοῖς συνεπομένοις οἰκέταις ἀπεδίδου.

ἄλλοτε πάλιν αὐτόθι ἐν τοῖς Γογγυλίοις ὄντι τῷ ὁσίῳ, προσίασι τινὲς φέροντες γυναῖκα ἐλεεινὸν θέαμα τοῖς ὁρῶσιν οὖσαν καὶ θρήνων πολλῶν ἄξιον. ὀστοῦν γὰρ τὸν λαιμὸν αὐτῆς παγίως διατρῆσαν χαίνειν αὐτὴν καὶ τὰ ἔγκατα πειρᾶσθαι ὑπὸ τῆς βίας ἐξεμέσαι ἠνάγκαζεν ἐπὶ τρισὶν ἡμέραις δεινῶς οὕτως βασανιζομένην, ἣν ἰδὼν ὁ ὅσιος καὶ σπλαγχνισθεὶς ἐπ' αὐτήν, τῇ ἐνοικούσῃ αὐτῷ ἐμφύτῳ συμπαθείᾳ καὶ ἀγαθότητι, ἔφησεν ἀπὸ καρδίας στενάξας· Κύριέ μου, Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος, ἐλέησον ἡμᾶς τοὺς ἁμαρτωλούς· καὶ ἅμα τῷ λόγῳ τότε ὀστοῦν τοῦ λαιμοῦ τῆς γυναικὸς ἐξῆλθεν, καὶ αὕτη τῆς ἀφορήτου ὀδύνης ἀπηλλάγη· καὶ ὁ ἐνδοξαζόμενος ἐν τοῖς ἁγίοις αὐτοῦ Θεὸς ὑπὸ πάντων μειζοτέρως ἐμεγαλύνετο.

τούτων ὡς ἐν παρόδῳ τῶν θαυμασίων τοῦ θεοφόρου πατρὸς ἡμῶν Βασιλείου ἐπιμνησθεὶς ἔδειξα τοῖς ἐντυγχάνουσι τῷδε τῷ διηγήματι καὶ εὐτελεῖ ἡμῶν πονήματι, ὡς ἐξ ὀνύχων τὸν λέοντα, καὶ τοῦ κρασπέδου τὸ ὕφασμα, οὕτω δὴ καὶ ἐκ τῶν τοιούτων οἵας ἦν χάριτος δαψιλῶς ἠξιωμένος τοῦ ἁγίου καὶ ζωαρχικοῦ Πνεύματος, ὁ αὐτὸς θεράπων τοῦ Θεοῦ Βασίλειος. τῷ γὰρ πειρωμένῳ τὰ καθ' ἕκαστων ῥᾶον ἔσται θάλατταν κοτύλῃ μετρᾶν καὶ ψάμμον ἐξαριθμεῖν καὶ ἀστέρων ἀριθμὸν ἐξευρεῖν, οὐδενὸς οὖν τῶν πώποτε μνημονευομένων ἁγίων καὶ ἐν ἐξαισίοις θαύμασι διαβόητον γεγενημένον καταδεέστερος ὤφθη, εἰμή καὶ τολμηρὸν εἰπεῖν, ἐν τῇ προγνώσει καὶ διοράσει, τοὺς πάντας ὑπερηκόντισε. καὶ τοῦτο δῆλον ἐξ αὐτῆς ἐν τοῖς πράγμασιν αὐτοῖς τῆς ἀληθείας ἡμεῖς δὲ τῆς ἀκολουθίας τοῦ λόγου προσηκόντως ἐχόμεθα.

ποτὲ τῶν καιρῶν ἐν μιᾷ τῶν ἡμερῶν ἡσυχάζοντί μοι ἐν τῷ κελλίῳ μου καὶ περὶ τῶν ἰδίων ἁμαρτιῶν ἐμαυτὸν ἀνακρίνοντι καὶ διερευνωμένῳ καὶ διενθυμουμένῳ, πῶς ἄν καὶ τίνι τρόπῳ δυνήσομαι τούτων ἀπαλλαγῆναι καὶ εὑρεῖν ἔλεος, καὶ παρρησίαν ἐν ἡμέρᾳ κρίσεως, ἕτερός τις παρ' ἐλπίδα λογισμὸς ἐνέπεσε τῇ διανοίᾳ μου, ᾧτινι προσχὼν καὶ ἐμμελετήσας, ἐλήφθην ὑπ' αὐτοῦ, δέον ἐξ ἀρχῆς αὐτῆς ἀπώσασθαι καὶ μηδόλως προσχεῖν αὐτῷ. ὅμως δ' οὖν συνηρπάγην οὐκ οἶδ' ὅπως τῷ τοιούτῳ καὶ ἦγχε πνήγων καὶ πληροφορῶν με ὡς ὅτι εὐσεβῶς πιστεύουσιν οἱ Ἰουδαῖοι καὶ καλῶς κρατοῦσι τὸν Θεὸν τὸν οὐρανοῦ καὶ τῆς γῆς εὐλαβούμενοι, καὶ γὰρ καὶ ὁ Ἀβραὰμ τίμιος, καὶ ὁ Ἰσαὰκ δίκαιος, καὶ Ἰακὼβ ἅγιος, καὶ Μωσῆς ὁ θεράπων Κυρίου φοβερώτατος ἐφάνη καὶ τιμιώτατος, ἔναντι Κυρίου τοῦ Θεοῦ σφόδρα, σημείοις καὶ τέρασι παραδόξοις μαστίξας τὴν Αἴγυπτον· πῶς γὰρ καὶ οὐ πιστεύουσι καλῶς τοῦ Θεοῦ δόντος αὐτοῖς τὸν νόμον ἐπὶ τοῦ ὄρους Σινᾶ, καὶ αὐτοῦ οἰκείῳ στόματι τὴν δεκάλογον αὐτοῖς ἐξηγησαμένου, ἣν δὴ καὶ καλῶς ἐδέξαντο καὶ κατέχουσι, οὐχὶ τὸ μάννα ἐν τῇ ἐρήμῳ ἔβρεξεν αὐτοῖς, ὀπηνίκα καὶ τὴν θάλασσαν τῇ τοῦ Μωϋσέως ῥάβδῳ ἔσχισε, καὶ τὸ καινὸν ἐκεῖνο, καὶ νοῦν ἐξιστῶν θαῦμα εἰργάσατο; οὐ τὴν ὀρτυγομήτραν αὐτοῖς ἀπέστειλε; οὐ τὴν πέτραν αὐτοῖς διέρρηξε διψῶσι καὶ χείμαρροι ἐξ αὐτῆς ποτίμου ὕδατος κατεκλύσθησαν; καὶ ἁπλῶς πάντα τὰ τῆς παλαιᾶς ἀναλογιζόμενος καὶ ἀπαριθμῶν, ἐβεβαίουν παρ' ἐμαυτὸν ἐπ' ἀληθείας καλῶς ἔχειν τὸν ἐνοχλοῦντά μοι λογισμὸν περὶ τῶν Ἰουδαίων, διὰ τὸ καὶ πρὸ ὀλίγου διεξελθεῖν με πᾶσαν τὴν παλαιὰν καὶ ἐκστῆναι ὑπὸ τῶν θαυμασίων αὐτῆς ὅμως πολλὰ διακωδωνήσας καὶ στήσας τὸν τοιοῦτον λογισμόν, τέλος τοῦτο ἐπῆγόν μου τῷ πολυσκύλτῳ καὶ πεπλανημένῳ μου νοΐ

εἰπών. ω λογισμὲ καὶ παλίμβουλε διάνοια, τί σοι οφελος ἀπὸ τῶν τοιούτων συλλογισμῶν [1], ἰδοὺ γὰρ ἔχομεν πατέρα θεοφορούμενον, ἀναφέρομεν οὖν αὐτῷ περὶ τούτων, καὶ ἂν αὐτὸς διακρίνῃ, τούτῳ δὴ καὶ στοιχήσωμεν. ἐγὼ γὰρ ἀκριβῶς ἐπίσταμαι, ὅτι πᾶς μοναχὸς καὶ πᾶσα μονάστρια ὑποτακτικῶς διάγοντες, οἳ οὐκ ἐξαγορεύουσι πάντα λογισμὸν αὐτῶν τοῖς προεστῶσι τῶν μοναστηρίων αὐτῶν, ἢ ἑτέροις οἷς ἂν οἱ προεστῶτες αὐτῶν ἐντέλλωνται, ἀλλὰ κρύψουσι τοὺς πονηροὺς λογισμοὺς αὐτῶν ἀπὸ τῶν πνευματικῶν πατέρων αὐτῶν, οὐ τοῦ Χριστοῦ μαθηταί, ἀλλὰ τοῦ ἐναντίου εἰσίν. ὄφεις γὰρ καὶ σκορπίους καὶ γεννήματα ἐχιδνῶν τρέφουσιν ἐν ταῖς καρδίαις αὐτῶν. καὶ οὐαὶ αὐτοῖς ὅτι παρὰ Κυρίου οὐκ ἔστιν αὐτοῖς σωτηρία, ἐὰν μὴ τὴν ταπείνωσιν καὶ τὴν ὑπακοὴν τοῖς προεστῶσιν αὐτῶν ἐπιδείξωνται. τοῦτον τὸν λόγον πρὸς ἐμαυτόν εἰρηκώς, ἐξανέστην εὐθέως καὶ ἐπορευόμην πρὸς τὸν ἐν ἁγίοις πατέρα μου. ὑπῆρχε δὲ τηνικαῦτα εἰς ἀρκαδιανὰς καὶ οὐκ εἰς τὰ Ἐλευθερίου. τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἐτελεῖτο καὶ τὸ ἱπποδρόμιον. ἐγὼ δὲ ἀπὸ πολλῶν χρόνων ἐκκόψας ἤμην ἐμαυτὸν ἀπὸ τῆς θεωρίας τοῦ θεάτρου τούτου, τοῖς ὑπὲρ τούτου ἐλεγκτικοῖς καὶ στυπτικοῖς θείοις λόγοις εἶχας τοῦ ἁγίου καὶ τιμίου Χρυσοστόμου, οὕς διαφόρως ἐν ταῖς ὑπ' αὐτοῦ ἑρμηνείαις τῶν θείων γραφῶν ἀνετάξατο. ὡς οὖν διηρχόμην τὴν πρὸς τὸν ἅγιόν μου πατέρα φέρουσαν ὁδὸν ἐπὶ τῷ παρ' αὐτοῦ μαθεῖν τὰ ἠγνοημένα μοι, γέγονα εἰς τὸ πλησίον τοῦ ἱπποδρομίου λεγόμενον δίπτιν, καὶ εὐθέως ἀνέπτη με ἔρως ὥσπερ πῦρ φλέγον ἐν τῇ καρδίᾳ μου καὶ ἠνάγκαζέ με εἰσελθεῖν καὶ θεάσασθαι κἂν τὸ λεγόμενον πρῶτον βαγὶν τῆς τῶν ἵππων ἀμίλλης· μὴ δυνηθείς οὖν ἐγκρατεύσασθαι ἀπὸ τοῦ τοιούτου πονηροῦ λογισμοῦ, σφόδρα γὰρ ἐπῆρε πτέρναν κατ' ἐμοῦ, ἡττηθεὶς τῇ ῥύμῃ τοῦ τοιούτου ὁ ταλαίπωρος ἐγὼ ἀνῆλθον καὶ ἐθεασάμην τὸ πρῶτον βαῖν καὶ μετὰ τοῦτο εὐθέως ἀνεχώρησα καὶ ἀπῆλθον πρὸς τὸν μακάριον καὶ εὗρον αὐτὸν ἀνωτάτω τοῦ δηλωθέντος οἴκου ἐπὶ τῆς εὐνῆς ἀναπαυόμενον διὰ τὸ βαθὺ γῆρας καὶ ἔπεσον κατὰ τὸ σύνηθες εἰς τοὺς ἁγίους πόδας αὐτοῦ, βαλὼν μετάνοιαν ἐπὶ τὸ εὐλογηθῆναι ὑπ' αὐτοῦ, καὶ ὡς εὐλόγησε μὲν καὶ συνήθως ἐπηύξατό μοι. μετὰ δὲ τὸ ἀναστῆναί με ἀπὸ τοῦ ἐδάφους ἐνιτένισε πρός με οὐ πρᾶον καὶ ἥμερον κατὰ τὸ σύνηθες, ἀλλ' ὅλως ὀργίλον καὶ ἀπηγριωμένον καὶ λίαν δριμύ, καὶ φησὶ πρός με· ἦλθεν ἰδοὺ καὶ ὁ τὰ Ἰουδαϊκὰ φρονῶν πρὸς ἡμᾶς. ἰδοὺ παραγέγονεν ὁ πᾶσαν τὴν παλαιὰν γραφὴν μετελθὼν καὶ ἐκ ταύτης καταμαθὼν καλῶς νῦν πιστεύειν τοὺς Ἰουδαίους, τοὺς ἐπαράτους καὶ σκοτεινοὺς περὶ τὸ φῶς τὸ ἀληθινόν.

[1] λογισμῶν

ἰδοὺ ὁ καλὸς τῶν γραφῶν σαφηνιστὴς καὶ τούτων ἐξηγητὴς ἀκριβέστατος, ὁ τοὺς προφήτας ἐκθειάζων καὶ τὰ δι' αὐτῶν θαύματα ἐκπληττόμενος καὶ καλῶς νῦν κρατεῖν τοὺς ἰουδαίους πιστεύειν διαβεβαιούμενος. τὸν Θεὸν γάρ φησι τοῦ οὐρανοῦ καὶ τῆς γῆς πιστεύοντες καὶ φυλάττοντες τὸν παρ' αὐτοῦ δοθέντα νόμον αὐτοῖς, πῶς οὐ καλῶς καὶ ὀρθῶς κρατοῦσι καὶ πιστεύουσιν ὁ τὰ οἰκεῖα κακὰ κλαίειν ἀφεὶς καὶ τὴν τούτων συγχώρησιν μετὰ θερμῶν δακρύων καὶ ἐμπόνως ἐπιζητεῖν καὶ περὶ τῶν μηδὲν αὐτῷ διαφερόντων ἀνοήτως κρίσεις ποιούμενος, καὶ ἱστῶν παρ' ἑαυτῷ, ὅτι ὄντως καλῶς ἔχει ἡ πιστις τῶν ἰουδαίων, καὶ ἔτι κρατοῦντες αὐτὴν οὐδαμῶς πλανῶνται. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὸ τῆς ἱπποδρομίας δαίμονι χωριζόμενος καὶ τὰ αὐτῷ φίλα διαπραττόμενος ὄντως ἅπαξ τῇ εἰσδοχῇ τοῦ τοιούτου λογισμοῦ πτερνίσας σε καὶ δισκατέβαλε. καὶ φημὶ κατὰ διάνοιαν πρὸς ἐμαυτὸν ταπεινὲ Γρηγόριε, ἤγγικεν ὥρα ἐν ᾗ ἔχεις ἀκοῦσαι τὰ σά. καὶ πάλιν ὁ ὅσιος λέγει μοι· φεῦ τῆς ὀλιγωρίας, ὅτι οὐκ ἤρκεσεν ἡμῖν τοῦτο τὸ δεινόν, ἀλλ' ὅτι ἐπάλαισε καὶ τὸ πονηρὸν δαιμόνιον μεθ' ἡμῶν τὸ προεστὼς ἐπὶ τοῦ θεάτρου τῆς ἱπποδρομίας καὶ πτερνίσαν κατέβαλεν ἡμᾶς. ἐγὼ δὲ ἀκούσας ἐκ στόματος τοῦ ἁγίου ὅτι ἴδιον δαίμονα προεστῶτα καὶ πάνυ πονηρὸν τὸ τῆς ἱπποδρομίας κέκτηται θεάτρον, ᾧτινι θεραπεύουσιν οἱ ἐν αὐτῷ ἀνερχόμενοι, κατεθεμάτισα ἐμαυτὸν ἐκ θερμῆς καὶ ζεούσης καρδίας ὥστε μηκέτι ἐν αὐτῷ ἀνελθεῖν καὶ φησὶν ὁ ὅσιος πρός με· δεῦρο δὴ πῶς αὐτὸς λέγεις ὅτι καλῶς οἱ ἰουδαῖοι πιστεύουσιν, ἐμοῦ δὲ μὴ τολμῶντος πρὸς ταῦτα ἀνοῖξαι τὸ στόμα καὶ ἀνταποκριθῆναι διὰ τὸ πρὸ τοῦ εἰπεῖν μέτι περὶ τοῦ τοιούτου λογισμοῦ πρὸς αὐτὸν, αὐτὸν εἰδέναι μου πάντα τὰ διαβούλια. τί γὰρ ἄν καὶ εἶχον ἀντειπεῖν πρὸς τοιαύτην φανερὰν θείου Πνεύματος ἐνέργειαν, φησίν αὖθις ὁ μακάριος τίνα εἰσίν ἃ λέγει ὁ Κύριος ἐν τοῖς ἁγίοις εὐαγγελίοις αὐτοῦ, φάσκων· ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα τὸν πέμψαντα αὐτόν ὁρᾷς πῶς ἀργοῦσι μηδὲν ὠφελούμενοι οἱ εἰς τὸν Πατέρα δοκοῦντες πιστεύειν, τὸν δὲ Υἱὸν παραχαράττοντες. καὶ αὖθις τοῖς ἰουδαίοις φησίν· οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν Πατέρα μου ἑωράκατε πώποτε. εἰ οὖν ὃν εἶδον ἐν ταῖς πλατείαις αὐτὸν διδάσκοντα, θαύματα μυρία ἐργαζόμενον, τούτοις αὐτοῖς διηνεκῶς ὁμιλοῦντα καὶ συναναστρεφόμενον κατὰ τόν λόγον αὐτοῦ τοῦ Σωτῆρος οὐκ εἶδον ὡς ἰδεῖν ἔδει, τὸν Πατέρα, ὃν οὐκ οἴδασι, πῶς γιγνώσκουσι; βαβαὶ τῆς ἀνοίας, ἓν καὶ μόνον εἶδωλον σχεδὸν οὐκ εἴασαν ᾧ οὐκ ἐπέθυσαν καὶ ἐλάτρευσαν ἀπὸ τῶν ἡμερῶν Ἱεροβοὰμ τοῦ οἰκέτου Ροβοὰμ υἱοῦ Σολομῶντος, ὅς ἐβασίλευσε εἰς Ἱερουσαλὴμ, καὶ ἐποίησε δύο δαμάλεις χρυσᾶς καὶ ἐξεπόρνευσεν

ὀπίσω αὐτων τὸν Ἰσραήλ. λέγων πρός αὐτόν,—οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἱ ἀναβιβάσαντές σε ἐκ γῆς Αἰγύπτου, καὶ μέχρι Ἰωσίου βασιλέως Ἰουδαίας, ὃς πρὸς ὀλίγον ἐπεστράφη πρὸς Κύριον τὸν Θεὸν αὐτοῦ. καὶ καλῶς αὐτοὶ πιστεύουσιν, ἃ δὲ εἴρηκεν ὁ Κύριος τοῖς Ἰουδαίοις, — ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐ λαμβάνετέ με ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ἰδίῳ ὀνόματι ἐκεῖνον λήψεσθε. καὶ πάλιν ἀλλαχοῦ,—ἰδού ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος βλέπεις ὅτι ἐξεδίωξεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ ὁ Θεὸς καὶ διεσκόρπισεν αὐτοὺς εἰς τὰ πέρατα τῆς οἰκουμένης, καὶ ἐβδελυγμένον τέθεικε τὸ ὄνομα αὐτῶν ἐναντίον πάντων τῶν υἱῶν τῶν ἀνθρώπων, καὶ ἐναντίον παντὸς ἔθνους τοῦ ὑπὸ τὸν οὐρανόν; καὶ πάλιν ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις φησίν,—εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν, καθότι καὶ ἑωράκασι καὶ Ἐμὲ καὶ τὸν Πατέρα μου. μηδέν σοι πρὸς ταῦτα ἀγαπητὲ τῇ δὲ συκῇ ὁ Κύριος, τί εἴρηκεν ὁπηνίκα ἐπεθύμησε φαγεῖν ἐξ αὐτῆς καρπὸν καὶ οὐχ εὗρεν, πῶς αὐτῇ κατηράσατο εἰπών· μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. τίς οὖν ἡ συκή; ἢ πάντως ὁ νόμος ὁ διὰ Μωυσέως. ἐλθὼν οὖν ὁ Κύριος, καὶ εὑρὼν τοὺς Ἰουδαίους κατέχοντας τὸν νόμον κενόν, οὐδεὶς γὰρ ἐξ αὐτῶν ἐποίει ἃ ὁ νόμος παρεκελεύετο καὶ καρπὸς οὐκ ἦν ἐν αὐτοῖς. ὅθεν καὶ κατηράσατο αὐτοῖς τὴν ἀκαρπίαν, ὥστε μὴ ἐν τῷ νόμῳ τοῦ λοιποῦ καρποφορεῖν, καὶ ἐὰν κατετέμνηται ὁ Ἰουδαῖος ὅλην τὴν ἡμέραν ἐν ἀκριβείᾳ τελείᾳ ποιῶν τὰ νόμιμα αὐτοῦ, ὁ Θεὸς οὐκέτι ἐπιβλέπει ἐπ' αὐτόν, οὔτε μισθόν τινα ὑπέρ τούτου κέκτηται. ἡ γὰρ τοιαύτη ἐργασία παντελῶς ἄκαρπός ἐστι κατὰ τὴν τοῦ Κυρίου γραφὴν καὶ ἀπόφασιν, τὴν λέγουσαν μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. πρὸ γὰρ τῆς ἐπιδημίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καλὴ ἦν ἡ πίστις αὐτῶν, καλὸς ὁ νόμος, καλαὶ αἱ θυσίαι, καὶ πάντα τὰ ἔργα αὐτῶν τὰ νόμιμα. Χριστοῦ δὲ παραγενομένου, λοιπὸν οὐκέτι χρησιμεύει τὰ ἐπιτηδεύματα αὐτῶν, κατηργήθησαν γὰρ καὶ κατηράθησαν ταῦτα πάντα ἀντεισῆλθε δὲ ἡ καινὴ διαθήκη καὶ θάλλει καὶ ἐνεργεῖ καὶ τὸν ἀντίχριστον αὐτοὶ ὀφείλουσι δέχασθαι καθά δὴ καὶ ἄνω τοῦ λόγου προείρηκεν αὐτοῖς. καὶ τοῦ προφήτου δὲ Μωυσέως μέλλοντος τελευτᾶν, εἶπε πρὸς αὐτὸν ὁ Θεός,—ἰδού σὺ ὑπνοῖς μετὰ τῶν πατέρων σου. ὁ δὲ λαὸς οὗτος ἀναστὰς ἐκπορνεύσει ὀπίσω θεῶν ἀλλοτρίων τῆς γῆς εἰς ἣν οὗτος εἰσπορεύεται καὶ ἐγκαταλείψουσί με καὶ διασκεδάσουσι τὴν διαθήκην μου ἣν διεθέμην αὐτοῖς. καὶ ὀργισήσθομαι θυμῷ αὐτοῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ καταλείψω αὐτοὺς καὶ ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν καὶ ἔσται κατάβρωμα καὶ εὑρήσουσιν

αὐτὸν πολλὰ κακὰ καὶ θλίψεις ὧν οὐκ ἔστιν ἀριθμός. καὶ δι' Ἡσαΐου τοῦ προφήτου εἶπεν ὁ θεός, — ἀπορρίψω τὴν ῥάβδον μου τὴν μεγάλην καὶ διασκεδάσω τὴν διαθήκην μου ἣν διεθέμην τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διασκεδασμῷ διασκεδάσω αὐτὴν καὶ ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν. καὶ ἀπώσομαι αὐτοὺς εἰς τέλος καὶ οὐκέτι ἀποστραφήσομαι πρὸς αὐτούς. ὥστε, τέκνον Γρηγόριε, ἄνευ πάσης ἀντιλογίας ἐκβέβληνται ἀπὸ Θεοῦ καὶ αὐτοὶ ὁ νόμος αὐτῶν ἐπαύθη τέλεον σιγήσας. καὶ ἴδε καὶ ἐρεύνησον ἀπο Χριστοῦ ὅτι οὐκ ἐγέρθη ἐν μέσῳ αὐτῶν προφήτης ἢ δίκαιος οὐδὲ εἷς, καθότι ἠργησαν τὰ νόμιμα καὶ οὐ μὴ δύνωνται στῆναι. ὡς φησι περὶ αὐτῶν προφητεύων ὁ Δαυίδ. καὶ ἀλλαχοῦ πάλιν· ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ. ἀνέστη γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῇ τρίτῃ ἡμέρᾳ ἐκ νεκρῶν. καὶ μετὰ τεσσαράκοντα ἡμέρας ἀνελήφθη εἰς οὐρανούς, καὶ τῶν ἁγίων ἀποστόλων ἐξελθόντων εἰς τὰ κλήματα τῆς οἰκουμένης εἰς τὸ κηρύσσειν τοῖς ἔθνεσι τὸ Εὐαγγέλιον τῆς βασιλείας, παρευθὺς ἀπέτειλεν αὐτοῖς ὀργὴ παρὰ Κυρίου ἀνέβη γὰρ Τίτος καὶ ἐλήλυθεν ὁ Ἐσπεσιανὸς καὶ ἐντεῦθεν διεσκορπίσθησαν εἰς τοὺς τέσσαρας ἀνέμους τῆς ὑπ' οὐρανόν καὶ τὸ λοιπὸν οὐκέτι χρείαν αὐτῶν ἔχει Κύριος ὁ Θεός. εἶπε γὰρ διὰ τοῦ προφήτου περὶ αὐτῶν,—οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων. οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου καὶ Ἰωάννης δὲ ὁ τῆς βροντῆς υἱός εἰς τὴν αὐτοῦ Ἀποκάλυψιν τάδε γράφει λέγων· Ἰουδαῖοι, φησίν, Ἰουδαῖοι, ἡ λεγομένη συναγωγὴ τοῦ Ἰσραήλ, καὶ ἐγὼ μαρτυρῶ περὶ αὐτῶν, ὅτι οὗτοι οὐκέτι [1—εἰσὶ συναγωγὴ τοῦ Ἰσραήλ· οὐκετι εἰσὶ συναγωγὴ—1] τοῦ Θεοῦ. οὐκέτι εἰς τὸ βασίλειον ἱεράτευμα ἢ ἔθνος ἅγιον, ἀλλ' εἰσὶν εἰς κατάραν, εἰς ἐξολόθρευσιν, εἰς ἀποβολήν· καὶ αὕτη ἡ συναγωγὴ τοῦ Σατανᾶ. ὅταν γὰρ αὐτοὶ συναθροισθῶσιν ἐν ταῖς συναγωγαῖς αὐτῶν ἐν τοῖς σάββασιν ἐπὶ τὸ αὐτό, καὶ τὴν ἐξερεύνησιν τῶν ἀνομιῶν αὐτῶν ποιῶνται, Κύριος ἐν μέσῳ αὐτῶν οὐκ ἔστι· καὶ ἰδοὺ ὁ Σατανᾶς ἐν μέσῳ αὐτῶν ἐν πάσῃ συναγωγῇ εὐφραινόμενος ἐπ' αὐτοῖς, ὅτι ἠρνήσαντο τὸν λόγον τοῦ Θεοῦ τὸν ἀνεξιχνίαστον, καὶ τὸ αἷμα αὐτῶν τέθεικαν εἰς κατάραν ἐφ' ἑαυτοὺς καὶ ἐπὶ τὰ τέκνα αὐτῶν, καὶ ὁ Θεὸς ἠρνήσατο αὐτοὺς ἐξ ὅλης ἰσχύος αὐτοῦ καὶ ἀπώσατο αὐτοὺς ἀφ' ἑαυτῶν ὡς τὸ ἀπ' ἀρχῆς, καθότι κεκληρονόμηκεν αὐτοὺς ὁ Σατᾶν, καὶ τὸ ὄνομα αὐτοῦ τὸ ἐβδελυγμένον ἐπιτέθεικεν αὐτοῖς. καὶ αὐτοὶ υἱοὶ διαβόλου, σχοίνισμα κληρονομίας αὐτοῦ, μερὶς τοῦ ἀντιχρίστου, ὅτι υἱοὶ τῆς βασιλείας ὑπῆρχον, καὶ ἐξεβλήθησαν. καὶ ἀντ' αὐτῶν εἰσήχθησαν

[1—1] нѣтъ.

οἱ ἀπὸ τῶν ἐθνῶν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι πιστεύσαντες· ταῦτα εἰδώς, τέκνον, πόρρω ποίησον ἀπὸ σοῦ τὸν ἐφάμαρτον τοῦτον λογισμὸν καὶ κάτεχε ἀσφαλῶς καὶ πίστευε εἰλικρινῶς, ὅτι εἴ τις οὐ πιστεύει, ὅτι ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ ἐλήλυθεν εἰς τὸν κόσμον, ἐπικατάρατος· μὴ τι γε εἰς τὸν Θεὸν καὶ Πατέρα ἵνα πιστεύει, ἀλλ' ἐὰν τεσσαράκοντα πατέρας πιστεύει καὶ οὐχ ὁμολογεῖ καὶ λέγει, ὅτι ἐκ τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας σαρκωθεὶς Κύριος ἡμῶν Ἰησοῦς Χριστός, αὐτὸς ἐστιν ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, δι' οὗ ἡ σωτηρία, οὗ ἕνεκεν ἡ ζωὴ καὶ ἡ φιλανθρωπία καὶ τὸ ἔλεος καὶ ἡ εἰρήνη καὶ ἡ καταλλαγὴ ἡ πρὸς τὸν Θεὸν καὶ Πατέρα ἐγένετο, ὀργὴ τῷ τοιούτῳ. οὐαὶ τῷ παρανόμῳ· φεῦ τῷ ἀσεβεῖ ἀναθέματι ἀναθεματισθήσεται. σκότος περὶ αὐτόν. πικρία καὶ ὀδυρμὸς [1] περὶ κύκλῳ τοῦ τοιούτου. ἐλεεινόν αὐτῷ καὶ πικρὸν καὶ σφαλερὸν συνανθήσεται καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. ταῦτα τὰ ὅσια ῥήματα εἰρηκὼς πρός με ὁ μακάριος ἡσύχασεν.

ἐγὼ δὲ εἶπον αὐτῷ· δέομαί σου, πάτερ μου ἅγιε, μεγάλως μὲν καὶ ἐπὶ τοῖς ὁσίοις σου ῥήμασιν εὐηργέτησάς με τὸν παῖδά σου δειχθῆναι δὲ μοι ἐκλιπαρῶ ἐν ὁράματι τί πνευματικὸν περὶ τούτου εἰς περισοτέραν πληροφορίαν τῆς ἀσθενοῦς διανοίας μου. ὁ δὲ ἀποκριθεὶς ἔφη πρός με· ὁ Κύριος τέκνον ποιήσειεν ἐπὶ σε τὰ συμφέροντα καὶ καλά. ἄπιθι τοιγαροῦν καὶ ἴσθι ὡς καὶ τοῦτόν σου τὸν λόγον αὐτὸς κατασκευάσας ἀποτελέσειεν. ἐπεὶ δὲ τοῖς τιμίοις αὐτοῦ ἴχνεσι προσπεσὼν εὐχὴν ἔλαβον καὶ οἴκαδε ὑπέστρεψα.

τῇ νυκτὶ ἐκείνῃ καθεύδοντί μοι, ὁρῶ ὄναρ τοιόνδε. μετὰ τὸ τὴν μικρὰν μοι τῶν μεσονυκτίων ἐπιτελέσαι σύναξιν, ἀνακλιθεὶς ἐπὶ τῆς εὐνῆς μου, ὁρῶ ἐμαυτὸν ἐν χλοηφορίζοντι τινί πεδίῳ πεπυκνωμένῳ κυπαρίσσοις εἰς ὕψος ἄπειρον ἀφικνουμέναις. καὶ ἦν διηνθισμένον τὸ πεδιόν ἐν ῥόδοις ὡραίοις καὶ κρίνοις εὐπρεπεστάτοις. ἐστῶτι μοι τοιγαροῦν ἐν τῷ τοιούτῳ πεδίῳ καὶ τῇ ἐν τούτῳ τερπομένῳ θεωρίᾳ καὶ ἐπιτηδειοτάτῃ τοποθεσίᾳ, ἰδού τις ἀνὴρ ἐπέστη μοι λίαν εὐμεγέθης καὶ θαυμαστὸς τῇ ἰδέᾳ· πυρρὰν μὲν στολὴν ἔνδοθεν περιβεβλημένος καὶ χιτῶνα καθαρὸν χιονώδη ἔξωθεν ἠμφιεσμένος. ῥάβδον δὲ σιδηρᾶν τῇ χειρὶ κατεῖχεν. καὶ ὁ βραχίων αὐτοῦ κραταιὸς σφόδρα. δονατὸς ὢν ἀμύνασθαι καὶ κατατροπώσασθαι ἀπείρους ἀνδρῶν χιλιάδας, καὶ πλησίον μου γενόμενος ἔφη μοι· τί ποιεῖς ἐνταῦθα. ἐγὼ δὲ εἶπον αὐτῷ· οὐκ οἶδα πῶς ἐξειλκύσθην ἐνταῦθα. κἀκεῖνος αὖθις πρός με,—αἱ εὐχαὶ τοῦ πνευματικοῦ σου πατρὸς εἰς τόνδε

[1] ὀδύνη.

τὸν τόπον σε ἤγαγον ὥστε ὑποδειχθῆναι σοι τὰ σὰ καταθύμια. ἔφην δὲ πρὸς αὐτόν· καὶ τίνα εἰσὶ τὰ ἐμοὶ καταθύμια ὁ δὲ φησὶ πρός με· εἶπες ὅτι καλῶς πιστεύουσιν οἱ ἰουδαῖοι καὶ λελάληκέ σοι Βασίλειος ὁ θεράπων Κυρίου, ὅτι οὐ καλῶς· καὶ ἐδεήθης αὐτοῦ δειχθῆναί σοι καὶ ἐν ὁράματι τί πνευματικὸν περὶ τούτου. καὶ ὑπέσχετό σοι καὶ τοῦτόν σου τὸν λόγον ὑπὸ Κυρίου πληρωθῆναι. δεῦρο οὖν ἅμα ἐμοὶ καὶ ὑποδείξω σοι περὶ μιᾶς ἑκάστης πίστεως, πῶς ἔχουσι παρρησίαν πρὸς τὸν Θεόν. καὶ λαβόμενος τῆς δεξιᾶς χειρὸς ἐπὶ τὸ αὐτὸ ὡς πρὸς ἀνατολὰς ἀμφότεροι βαδιοῦντες ἐπορευόμεθα διερχόμενοι τὴν θαυμαστὴν ἐκείνην πεδιάδα.

ὁδευόντων τοιγαροῦν ἡμῶν, ἰδοὺ νεφέλη ὑπόγειος ὑποκάτω τῶν ποδῶν ἡμῶν καὶ πρὸς ὕψος ἄπειρον ὡσανεὶ ἐπεραίου. καὶ πῶς ἀνηρχόμεθα οὐκ ἐγίνωσκον. σφόδρα γὰρ ἐξεπληττόμην ἐπὶ τῷ ξένῳ τῆς ἀνόδου καὶ ἔτρεμον γὰρ ὡς ὅτι ὕπαρ καὶ οὐκ ὄναρ ἐστὶ τὸ γινόμενον. καταντῶμεν οὖν διὰ τῆς ἀναγούσης ἡμᾶς νεφέλης ὡς ἐπὶ ἕτερόν τινα κόσμον ξένον τῆς φύσεως τοῦδε τοῦ ὁρατοῦ κόσμου. καὶ ἐν τῷ ἡμᾶς ἐκεῖ γενέσθαι, ἀπέστη ἡ νεφέλη ἐξ ἡμῶν καὶ εὑρέθημεν ἱστάμενοι ἐπὶ ὑελίνου δαπέδου. ἐν ᾧ περιπατούντων ἡμῶν ἐπὶ τὰ πρόσω, ἐθεωροῦντο ἡμῖν τὰ πέρατα τοῦ κόσμου ἐκείνου. καὶ ἰδοὺ συναγωγαὶ πολλαὶ πυρίνῳ ἀγγέλῳ ἐν αὐτοῖς ἁπάντων ἀνοιγόντων ἐν αἰνέσει τὰ πύρινα στόματα αὐτῶν, εἰς ἀνεξιχνίαστον μελῳδίαν καὶ τὴν ἀπαράμιλλον δοξολογίαν καὶ ἣν ἀκοῦσαι ἐκεῖ καινούς τινας αἴνους καὶ ὕμνους καὶ ξένα μέλη καὶ θαυμαστὰ ᾄσματα, ἅπερ ξενοτρόπως συντιθέμενοι τῷ ἐν Τριάδι Θεῷ σὺν εὐχαριστίᾳ ἀνέπεμπον. ἡ δὲ ἐκπορευομένη ἀπὸ τῶν τοιούτων ἀσμάτων τῶν παραδόξων καὶ ἐνηχοῦσα τὰς ἀκοὰς ἡδύτης καὶ σειρὴν ὑπῆρχε καινὴ καὶ παράδοξός τις. καὶ οἵαν βρότειος νοῦς λόγῳ παραστῆσαι καὶ ἐξηγήσασθαι οὐ δύναται οὐδαμῶς. ἐπεὶ δὲ καὶ ταύτην τὴν μυστικὴν θεωρίαν σὺν ἡδονῇ ἀφάτῳ καὶ ἐκστάσει ἀπείρῳ ἅμα θέοντες ἐπὶ τὰ ἔμπροσθεν διέβημεν, καταντῶμεν ἐπί τινα τόπον, ὃς ὑπῆρχεν ἐσπαργανωμένος θείῳ πυρὶ καὶ ὅλος κατακαιόμενος. τὸ δὲ ἐν αὐτῷ πῦρ οὐχ ὡς τὸ ἐν τῷ κόσμῳ τούτῳ, ἀλλὰ γλυκὺ μὲν ὁρᾶσθαι σφόδρα, γαληνόμορφον δὲ τὰ φῶτα αὐτοῦ ὑφαπλοῦν οὐ κατακαίειν ἐν οἷς προβάλλει οἶδεν, ἀλλὰ φαιδρύνειν καὶ ἰδοὺ νεανίσκοι ἐν μέσῳ τοῦ θαυμαστοῦ ἐκείνου πυρὸς [1]— ὁρῶντο, χρυσοφυῆ τινα σκεύη κατέχοντες ἐν χερσὶν αὐτῶν. καὶ ἀπὸ τοῦ ἐξαισίου ἐκείνου πυρὸς —[1] ἐνεπιπλῶντο πάντα καὶ κουφίζοντες ἑαυτοὺς ἐπέταντο ἐπὶ τὰ πλάτη τοῦ αἰθέρος ἐκείνου πρὸς τὸ ὕψος ἀφικνούμενοι, ποῦ δὲ ἀπήρχοντο, ἐγὼ οὐκ ἐγίνωσκον. τὸ δὲ

[1—1] нѣтъ.

ἄϋλον ἐκεῖνο πῦρ ἡδὺ λίαν ἦν κοκκίνῃ εὐχροίᾳ προσεοικώς. ὑπενοουν δὲ περὶ τῶν λευκοφόρων ἐκείνων νεανίσκων, λέγων ἐμαυτῷ· ἅγιος ὁ Θεός· ὄντως οὗτοι ἄγγελοί εἰσι Θεοῦ οἱ ἐπὶ τὸ ἄνω θυσιαστήριον νοητῶς θυμιῶντες κατὰ πρόσωπον Κυρίου, καὶ οὗτος ὁ χῶρος τοῦ πνευματικοῦ πυρὸς τόπος ἐστίν. ὅθεν αἴροντες αὐτὸν νεαρὸν οἱ ἄγγελοι Κυρίου χρῶνται τῇ πρὸς Κύριον διακονίᾳ αὐτῶν.

ἀλλὰ καὶ τούτοις ἀσχολουμένου μου καὶ τοῖς φοβεροῖς τοῖςδε θαύμασιν ἐναβρυνομένου μου ἐν τῷ διὰ τούτων πορεύεσθαι, ἰδοὺ βουνὸς ὑψηλὸς λίαν κατέναντι τῶν ὀφθαλμῶν ἡμῶν ὡράτο, καὶ ὡσὰν εἰκότως πολλῷ καὶ μόχθῳ ἀνηρχόμεθα πρὸς αὐτόν· ὡς δὲ ἀνήχθημεν πρὸς αὐτόν, ἰδοὺ ἐπ' αὐτῷ σκοπὸς ἦν καὶ εὐθέως ἀνήλθομεν πρὸς αὐτὸν καὶ περιβλεψάμενοι διὰ τοῦ τοιούτου σκοποῦ πρὸς ἀνατολὰς αὐτοῦ, κατείδομεν πεδιάδα ἑτέραν φοβερωτάτην ὑποκάτωθεν οὖσαν ἡμῶν, καὶ τὸ πρόσωπον αὐτῆς χρυσίῳ καθαρῷ ἐπταπλασίως κατεστρωμένον καὶ διαυγείᾳ ἀσυγκρίτῳ περικεκοσμημένον. ὥσπερ γὰρ σίδηρος ἐν καμίνῳ ἐκπυρωθεὶς σφοδρῶς σπινθηροβολεῖν καὶ πρὸς τὰ τυχόντα καταφωτίζει τῇ παρ' αὐτοῦ ἀνηνθρακωμένῃ διαυγείᾳ, οὕτω δὲ καὶ τὸ πρόσωπον τῆς θαυμαστῆς ἐκείνης πεδιάδος, σπινθῆρας ὡσανεὶ μελιρρύτους καὶ λίαν ἡδεῖς ἠφίει. τὸ γὰρ ὁρᾷν με τοιαῦτα γλυκασμὸν ἄπειρον ἐστάλαζε τῇ καρδίᾳ μου. ὁ δὲ ἐπὶ τούτοις ἀὴρ αἴγλης τινὸς ἀρρήτου καὶ θυμηδίας ἀνάπλεως ἦν πρὸς μὲν τοι τὰ ὕψη καθαρῶς οὐκέτι ὡς τοῖς ἔμπροσθεν ἐβλέπομεν.

Ἡ νέα Ἱερουσαλήμ. Μετὰ δὲ μικρὸν διασταλείσης τῆς θείας αἴγλης ἐκείνης, ἀπάραντες τοὺς ὀφθαλμοὺς ἡμῶν πρὸς ἀνατολάς, ὁρῶμεν πόλιν λίαν φοβερωτάτην κατέναντι τοῦ προσώπου ἡμῶν, περὶ ἧς κἂν πειραθῶ διηγήσασθαι φληναφεῖν ὡς ἀληθῶς δόξω καὶ παραπαίειν. πλὴν οὐ παρὰ τοῦτο καὶ παντελῶς σιγήσομαι ὡς ἀδυνάτοις ἐπιχειρῶν, διὰ δὲ τὸν ἄπειρον πόθον καὶ τὸν τῆς καρδίας βρασμὸν τῶν ἐκκαιομένων καὶ περὶ ταύτης ἀκοῦσαι, εἴπω ὡς δυνατόν μοι, τῆς θείας χάριτος συνεργούσης, καὶ λόγον τῇ ἀγροικίᾳ μου παρεχούσης. ὡς γοῦν ἐθεασάμεθα τὴν θαυμαστὴν ἐκείνην καὶ ἐξαισίαν πόλιν, ἀπὸ τοῦ δέους τοῦ φρικωδεστάτου θαύματος τῆς ὁράσεως αὐτῆς, ἐπὶ πολλὰς ὥρας ἐμαυτοῦ ἐξέστην καὶ ἐννεὸς καθωρώμην. τοιαύτην γὰρ ὡραιότητα καὶ εὐπρέπειαν ποία γλῶσσα ἀνθρώπου δυνήσεται σαφηνίσαι καὶ ἐξειπεῖν. ταύτην δὲ καθαρῶς πάνυ ἐβλέπομεν ἐπάνωθεν αὐτῆς. ἐπὶ τοῦ σκοποῦ ἐκείνου δυνάμει Κυρίου κραταιούμενοι καὶ ἱστάμενοι. ἀφ' ὅτου γὰρ τοῦ ὑψηλοτάτου ἐκείνου βουνοῦ καὶ τοῦ ἐπ' αὐτῷ σκοποῦ ἐπέβημεν, οὐκέτι ὁδεύοντες ἦμεν, ἀλλὰ τῆς ὁδοιπορίας παυσάμενοι ἔστημεν καὶ τὰ ἐκεῖσε θαυμάσια καὶ φοβερὰ πράγ-

ματα καὶ θεάματα κατωπτεύομεν. ἡ δὲ φρικτὴ πόλις ἐκείνη ὑπῆρχεν εὐμεγέθης ὡς ὁ κύκλος τοῦ στερεώματος τοῦ οὐρανοῦ ἡ ταύτης κατασκευὴ οὐκ ἀπὸ τῆς ὕλης τῆς γῆς τῆς φθειρομένης καὶ πατουμένης, ἀλλ᾽ ἀπὸ ἀκτῖνος χρυσίου εὐρίζου καὶ καθαρωτάτου, καὶ ὁράσεως αὐτοῦ ποικιλομόρφου, κλινομένης εἰς εὐχροίας ποικίλων διαυγειῶν, καὶ ἀπὸ ποικίλου ἀργυρίαις διαυγείας κλινομένης καὶ μεταβαλλομένης καὶ τῆς εἰς διαφορὰς εὐχροίας καθὰ συνέταξε Κύριος ἐπ᾽ αὐτοῖς. καὶ ἀπὸ εὐχροίας λίθου τοπαζίου ποικίλως καὶ τῆςδε διαθεούσης· καὶ ἀπὸ εὐχροίας σμαράγδου πολλαπλασίως καὶ ταύτης ἀκτινοβολούσης· καὶ ἀπὸ διαυγείας λίθου ὑακίνθου καὶ πρασίνου καὶ τῶν λοιπῶν ὑπερτίμων λίθων· εἴτουν, λυχνίτου λάμποντος ὑπὲρ τὸν ἥλιον, βενέτου πορφυροβολοῦντος, πέλεκυς ἰασπίζοντος καὶ τῶν ἄλλων πάντων ἑκάστου αὐτοῦ ἀλλασσομένου εἰς μεταφορὰς εὐχροιῶν ποικίλων ὡραιομόρφως καὶ ἀνεκδιηγήτως ἐκ τούτων πάντων ἡ συλλογὴ καὶ ἡ παρακομιδὴ τῆς ὕλης τῆς ἐν τῇ οἰκοδομῇ τῆς τοιαύτης πόλεως, ἥτις ὑπὸ Κυρίου Θεοῦ θαυμασίως ἐτεχνουργήθη. τῆς δὲ ἰδέας αὐτῆς ὑπόδειγμα εἰ καὶ ἀμυδρόν πως καὶ λίαν τῆς ἀληθείας μακράν, ὅμως μέντοι μικρὰ τις εἰκὼν τῆς ἐν τοιαύτης πόλεως ἐκπεμπομένης μαρμαρυγῆς ἡ τοῦ ἐν οὐρανῷ τόξου εὔχροιά τε καὶ θεωρία, ἥτις ἐκ διαφόρων χροιῶν συντεθειμένη, ἡδεῖαν αὐγὴν τοῖς ὁρῶσιν ἐκπέμπει, ἄλλης ἐπ᾽ ἄλλῃ βαφῆς καὶ χροιᾶς συντεθειμένης καὶ κιρναμένης ὡραιομόρφως. οὕτως οὖν καὶ τὰ ἀπαυγάσματα τῆς φρικτῆς ἐκείνης πόλεως καὶ νοητῆς καθορῶντο· ἀκτὴν ἐπὶ ἀκτῖνος, διαυγείας ἐπὶ διαυγείας, εὔχροια ἐπὶ εὐχροίας, καὶ χρώματα ἐπὶ χρώμασι φρικωδεστάτοις. καὶ ἄμφω πλήρη θάμβους καὶ ἐκπλήξεως. τὸ δὲ γε κάλλος τῆς οἰκοδομῆς καὶ τῆς τῶν λίθων ἁρμογῆς καὶ συνθέσεως, οἷον ὀφθαλμὸς οὐχ ἑώρακε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη τὸ τῆς θείας φάναι γραφῆς. καὶ τὸ ὕψος τῶν τειχῶν τῆς πόλεως πηχῶν τριακοσίων. καὶ δώδεκα πύλαι φρικωδέσταται ταύτῃ πεφύκεσαν, κατὰ τὸν ἀριθμὸν δηλονότι τῶν ιβ΄ ἀποστόλων. καὶ αὗται πᾶσαι ἀσφαλῶς ἡρμοσμέναι καὶ κεκλεισμέναι. τῶν δὲ τοιούτων δώδεκα πυλῶν μιᾷ ἑκάστῃ ὑπῆρχε μονοβαφὴς κατὰ τὰς ἰδέας καὶ ποιότητος τῶν ιβ΄ λίθων. ὧν ἡ γένεσις ὑπῆρχε ἀπὸ τοῦ ἐντὸς τοῦ παραδείσου ποταμοῦ. ὑπῆρχον δὲ αὗται μεγάλαι καὶ φοβεραὶ καὶ γαληνομόρφως ἀπαυγάζουσαι καὶ δεικνύουσαι τὴν εὐμορφίαν τε καὶ θειότητα καὶ ὡραιότητα αὐτῶν. ὥσπερ ὁ ἥλιος ἐκπέμπει τὰς ἰδίας ἀκτῖνας τὸ πρωῒ ἀνατέλλων αἴθρια. καὶ τὰ μὲν ἔξωθεν τῆς πόλεως ἦσαν ἐν τούτοις, τὰ δὲ γε ταύτης ἐντός, ὁποῖα νοῦς φρίττει, καρδία ἰλιγγιᾷ καὶ ἡ διάνοια ἀπορεῖ, οἵ τε λογισμοὶ ἐπτηχότες σκεδάννυνται,

καὶ τὸ μὲν θεωρητικὸν μόνον γάνυται, τὰ δὲ χείλη ἀρνοῦνται τὸ λαλεῖν. διότι σάρξ καὶ αἷμα βασιλείαν οὐρανῶν ἐκδιηγήσασθαι οὐδαμῶς δεδύνηνται.

τούτων πάντων ὁραθέντων μοι καὶ ἐπὶ τῇ ἀνεκδιηγήτῳ θεωρίᾳ ἐκπληττομένῳ ἐκείνῃ, ἐπῆλθε λογισμὸς ἀποτολμῆσαι καὶ ἐρωτῆσαι περὶ τῶν καθ' ἕκαστον τούτων τὸν φοβερὸν ἄγιον ἄγγελον ἐκεῖνον τὸν ὁδηγοῦντά με. καὶ φημὶ πρὸς αὐτόν· δέομαί σου, κύριε, τίς ἐστιν ἡ πόλις αὕτη ἡ φρικτὴ καὶ φοβερὰ καὶ μεγάλη, καὶ τίς ὁ λαὸς ἐκεῖνος ὁ αὐλιζόμενος ἐν αὐτῇ; ποῖος δὲ ἐστιν ὁ βασιλεύων εἰς αὐτήν; τίς δὲ καὶ ὁ ποιήσας τὰ φρικωδέστατα ταύτης προπύργια καὶ πάντα τὰ ἐν αὐτῇ ὁρώμενα καλλιπρεπῆ κτίσματά τε καὶ καλλωπίσματα; τί δὲ τὸ ταύτης ὄνομα; τίς δὲ ἡ γῆ αὕτη καὶ τίς ὁ ξένος κόσμος οὗτος; πῶς δὲ καὶ ἐληλύθαμεν ἐνθάδε καὶ δι' ἣν αἰτίαν σαφήνισόν μοι πάντα παρακαλῶ, ἔφη δὲ ἐκεῖνος· ἡ πόλις αὕτη τοῦ Βασιλέως ἐστί τοῦ μεγάλου. ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, περὶ ἧς ἐν τῇ βίβλῳ τῶν ψαλμῶν τοῦ Δαβὶδ ἐλαλήθη θαυμαστῶς. ἐδείματο δὲ ταύτην ὁ Κύριος καὶ Θεὸς Ἰησοῦς Χριστὸς μετὰ τὸ τελέσαι αὐτὸν τὸ τῆς ἐνσάρκου οἰκονομίας μυστήριον, εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, καὶ ἀναληφθῆναι αὐτὸν εἰς τὸν οὐρανὸν πρὸς τὸν Θεὸν καὶ Πατέρα μετὰ παρέλευσιν τεσσαράκοντα ἡμερῶν, τοῖς ἁγιοῖς Αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις ἑτοιμάσας ταύτην αὐτοῖς καὶ πᾶσι διὰ τοῦ θείου κηρύγματος αὐτῶν πεπιστευκόσιν εἰς Αὐτόν καθώς που ἐκεῖνος αὐτὸς προφθάσας αὐτοῖς ἐπηγγείλατο οὐτωσίπως εἰπών· ἐν τῇ οἰκίᾳ τοῦ Πατρός Μου πολλαὶ μοναί εἰσιν, εἰ δὲ μήγε πορεύομαι ἂν ἑτοιμάσαι ὑμῖν. αὕτη οὖν ἐστιν ἡ πολυθαύμαστος σκηνὴ καὶ μονὴ καὶ κατοικεσία ἣν ἐπηγγείλατο αὐτοῖς καὶ ἣν ᾠκοδόμησεν αὐτοῖς καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν τῆς δόξης τῆς ἁγιωσύνης αὐτοῦ. τὸ γοῦν ὄνομα τῆς πόλεως ταύτης θαυμαστὸν καὶ ἐξαίρετον. πόλις αὕτη νέα Σιών, πόλις χριστιανῶν, πόλις ἡ ἄνω μητρόπολις, πόλις ἡ νέα Ἱερουσαλήμ. τοῦτο τὸ κύριον ὄνομα ταύτης τῆς μεγαλοπόλεως. τὸν δὲ γε ταύτης λαὸν ἀνάμεινον πρὸς μικρὸν καὶ ὄψει, οὐ μόνον δὲ τοῦτον, ἀλλὰ καὶ αὐτὸν τὸν Βασιλέα τῆς αὐτῆς. τὸν δὲ γε τρόπον δι' ὃν τῆς ἐνταῦθα ἐπιδεδήμηκας, μετ' ὀλίγον γνώσῃ μάλα σαφῶς καὶ μαθήσῃ, ὅτι πᾶς ὁ πιστεύων εἰς τὸν ἐν Τριάδι ὑμνούμενον Θεὸν ζήσεται καὶ εἰς τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Μονογενοῦς Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ, καὶ εἰς τὴν διδαχὴν καὶ τὸ κήρυγμα τῶν ἁγίων ἀποστόλων αὐτοῦ, καὶ εἰς τὰ δόγματα καὶ θεσπίσματα τῶν ἁγίων καὶ θεοφόρων πατέρων ἡμῶν καὶ ἁπλῶς εἰς τὴν ἁγίαν καὶ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν τοῦ Θεοῦ

καὶ τοὺς ταύτης ἁγίους ὅρους καὶ κανόνας. ὁ δὲ γε ἔξωθεν ταύτης πιστεύων ἢ παραχαράττων ὅλως καὶ καινοτομῶν τι τῶν δεδομένων καὶ παραδεδομένων ἐν αὐτῇ οὐ μή ζήσει εἰς τὸν αἰῶνα, ἀλλ' αἰωνίῳ φλογὶ παραδοθήσεται

τούτων οὕτως παρ' ἡμῖν λεγομένων, ἰδοὺ σκοπὸς ὑψηλὸς καὶ θαυμαστὸς οἱονεὶ λόφος ὑπερμεγέθης ἐφ' ὑψηλοῦ τόπου ἱστάμενος καὶ λίαν ὑψηλότατος ὅλος ἐκφλογούμενος πυρί, οἷα σίδηρος πεπυρακτωμένος ἐν μέσῳ τῆς αὐτῆς πόλεως ἐφάνη ἡμῖν. καὶ ἐπάνω αὐτοῦ Σταυρὸς φοβερὸς ἐξαστράπτων καὶ φλέγων τὸν φρικώδη ἐκεῖνον αἰθέρα. καὶ περιστερὰ μεγάλη σφόδρα χιονοειδής, φῶς ἄπειρον ἡδύτατον, οἱονεὶ τῇ ὁράσει αὐτῆς ἐκπέμπουσα. καὶ φίλτρον ἔρωτος πνευματικοῦ καὶ θείας ἀγαλλιάσεως τοῖς εἰς αὐτὸν ὁρῶσιν ἐνιεῖσα ἐπάνω τοῦ θείου σημείου ἐκείνου τοῦ Σταυροῦ ὠπται. ἧς φρικτῶς στρεφομένης, οἱονεὶ ρόδα πυρρακῆ καὶ ἄνθη χιονοφεγγῆ ὡς ἀπὸ σιδήρου πεπυρακτωμένου σπινθῆρες λέοντες ἀπετινάσσοντο. καὶ ἐπὶ τοῦ φρικτοῦ αἰθέρος ἐκείνου ἐξέπιπτον κατὰ πρόσωπον τῆς ἁγίας ἐκείνης πόλεως

ἔτι βλεπόντων ἡμῶν, ἰδοὺ ἀπὸ τοῦ φοβεροῦ ἐκεῖνου ὕψους τοῦ αἰθέρος κάτεισιν ὡς ἀστραπὴ φοβερὰ νεανίας τις ἐπὶ τὴν πόλιν, πτέρυξι φλογώδεσι σπινθηροβολούσαις περιαστραπτόμενος, ἑτοιμασίας δὲ τινας ἐν τῇ πόλει ἐποίει, οἷα δὴ βασιλέως καὶ τινων στρατευμάτων μελλόντων ἐν ταύτῃ παραγίνεσθαι.

ἔτι ὁρῶμεν καὶ ἰδοὺ ἕτερος νεανίας ἀπὸ τοῦ αὐτοῦ ὕψους σὺν τάχει πολλῷ παρεγένετο πρὸς αὐτήν, θρόνον φρικώδη κατέχων, καὶ ἡτοίμασεν αὐτὸν τῷ ἐρχομένῳ Βασιλεῖ. φωνὴ δέ τις ἤρχετο εἰς τὰ ὦτα ἡμῶν λέγουσα· Βασιλεὺς μέγας καὶ φοβερὸς μέλλει παραγενέσθαι ἐπὶ τὴν καινὴν ταύτην πόλιν μετὰ δυνάμεως φοβερᾶς καὶ δόξης πολλῆς.

ἔτι ὁρῶμεν καὶ ἰδοὺ τέσσαρες νεανίαι ἀπὸ τοῦ ὕφους καὶ αὐτοὶ κατέχοντες ἀνὰ λαμπάδος, καὶ αὗται ἦσαν ξένῳ πυρὶ καιόμεναι, οἵτινες μιᾷ φωνῇ λυγρῶς ἀνεβόησαν· ἔλαμψεν ἡ χάρις Σου, Λόγε τοῦ Θεοῦ τοῦ Ὑψίστου. ἐλήλυθεν ἡ δόξα τῶν ἁγίων Σου, Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ τοῦ Ζῶντος.

μετὰ τούτους ὁρῶμεν καὶ ἰδοὺ ἕτερός τις νεανίας θαυμαστὸς κατέβη ἔναντι τῆς θαυμαστῆς πόλεως ἐκείνης καὶ ἀνέκραγεν· ἰδοὺ ἡ κρίσις καὶ ἡ ἐξέτασις τῶν ἔργων καὶ ἡ ἀνάστασις τῶν νεκρῶν, καὶ ἡ ἀνταπόδοσις τῶν παρὰ τοῦ δικαίου Κριτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων ἐπεδήμησε. προσέσχομεν τοιγαροῦν καὶ ἰδοὺ στύλος πυρὸς κατερχόμενος ἐκ τῶν ἀνωτάτων καὶ ἐν τῷ κατέρχεσθαι αὐτὸν ἦχος φοβερὸς ἠκούετο, πῦρ ἄπειρον πέμπων ἐπὶ πρόσωπον παντὸς τοῦ

αἰθέρος καὶ αὐτὸς οὐκ ἔστη ἐπὶ τῆς θαυμαστῆς ἐκείνης πόλεως, ἀλλ ἀνοιχθείσης αὐτῷ ὀπῆς τινος ἐπὶ τοῦ δαπέδου ἐν ᾧπερ ἡμεῖς ἱστάμεθα κατέβη ἐπὶ τὸν κόσμον, καὶ διεχύθη ὡς εἰς τέσσαρας ἀρχὰς ἀστράπτων. καὶ ἤψατο τῶν τεσσάρων γωνιῶν τῆς κτίσεως. καὶ ἰδοὺ φωνὴ ἐν μέσῳ τοῦ κόσμου λέγουσα· ἰδοὺ ἡ δημιουργικὴ δύναμις τοῦ 5
Ὑψίστου ἥψατο πάντων τῶν ἀνθρωπίνων ὀστέων καὶ ἀθροισθήσεται πᾶν ὀστέον [1—πρὸς ὀστέον —1] καὶ ἁρμονία πρὸς ἁρμονίαν καὶ τὸ ἐπιβάλλον ἔπειτα ἐλεύσεται.

ἔτι βλεπόντων ἡμῶν, ἰδοὺ ἕτερος φοβερὸς νεανίας, λευκὸν ἔνδυμα ὡς τὸ φῶς περιβεβλημένος καὶ τὴν ὀσφὺν αὐτοῦ περιεζωμένος 10
ἤλεκτρον καθαράν, φέρων μὲν τῇ χειρὶ αὐτοῦ τόμον ὡσεὶ πῦρ, ἐπιστολὴν δηλαδὴ παρὰ Κυρίου πρός τινα σατᾶν πεμφθεῖσαν, οὗτινος ἔλεγε πληρωθῆναι τὴν βασιλείαν ἔτη τρία πρὸς τῷ ἡμίσει κατὰ προσωπον πάσης τῆς γῆς βεβασιλευκότος. καὶ αὐτὸς οὐκ ἐπὶ τὴν πόλιν παραγέγονεν, ἀλλὰ κατόπιν ἀφίκετο τοῦ πυρίνου στύλου ὡς ἐπὶ τὸν 15
κόσμον. καὶ παραγενόμενος ἔνθα ὁ δηλωθεὶς σατᾶν ἐβασίλευε, καὶ στὰς κατὰ πρόσωπον αὐτοῦ ὑπανέγνω τούτῳ τὸ σταλὲν αὐτῷ παρὰ Κυρίου ἐπιτρεπτικὸν ἐπιστόλιον, καὶ κατασχὼν αὐτὸν βίᾳ ἐξεῖλκεν ἔξω τῆς πολέως ἀπὸ τῶν βασιλειῶν ἐπὶ τῷ θεῖναι τὴν ὄσφρησιν αὐτοῦ
ἐπὶ τὸ χεῖλος τῆς γῆς, ὥστε ἀναμάξασθαι καὶ ἐμέσαι πᾶσαν κακίαν 20
καὶ διαφθορὰν καὶ πᾶσαν ὀργὴν καὶ μῆνιν καὶ θυμὸν καὶ ἅπαντα τὸν ἰὸν ἀπάσης ἀκαθαρσίας καὶ ἀνομίας καὶ πάσης αἱρέσεως, μαγείας τε, φαρμακείας καὶ εἰδωλολατρείας, ὅτι ἰδοὺ ἤγγικε τὸ τέλος αὐτοῦ καὶ μέλλουσιν αὐτὸν κατακαίειν μετὰ τῶν στρατευμάτων αὐτοῦ. τὴν δὲ κακίαν αὐτοῦ προσέταξεν αὐτῷ Κύριος ἐμέσαι διὰ τὸ ταύτην ἐσχη- 25
κέναι ἀφ' ὅτου τῶν οὐρανῶν δι' οἰκείαν ἔπαρσιν ἀπορριφεὶς τὴν γῆν κατώλισθε καὶ διὰ τὸ μέλλειν αὐτὴν παντελῶς ἐξαλειφῆναι ἀπὸ προσώπου πάσης τῆς γῆς.

ἔτι ἡμῶν σχολαζόντων τῇ τοῦ αὐτοῦ θεωρίᾳ, ἰδοὺ παρεμβολὴ δυνάμεων οἵτινες ἦσαν ἔφιπποι ἔνοπλοι, καὶ οἱ τούτων ἵπποι πύρινοι 30
πτερωτοί, φλόγα πυρὸς ἐκπέμποντες ἀπὸ τῶν μυκτήρων αὐτῶν, ἐπὶ τοῦ αἰθέρος βαδίζοντες καὶ οὐκ ἐπὶ τὴν πόλιν πορευόμενοι. καὶ κατερχομένων αὐτῶν ἠνωτιζόμεθα βοὴν πολλὴν καί κλαυθμὸν καὶ πάταγον καὶ ὀδυρμὸν ἰσχυρὸν σφόδρα. ἐπεὶ δὲ οἱ κατελθόντες οὗτοι εὐχερῶς εἰσήλαυνον ἐπὶ πᾶσαν πόλιν καὶ χώραν καὶ τόπον σκοτεινὸν 35
καὶ ἀμειδῆ, καὶ ἀφειδῶς κατέσφαττον πάντας τοὺς ἀποπλανηθέντας ὀπίσω αὐτοῦ, τοῦ ἀντιχρίστου φημὶ καὶ ἀποστάτου σατᾶν, ἐν τῷ καιρῷ τῆς αὐτοκρατορίας αὐτοῦ.

1—1 нѣтъ

ἔτι ὁρῶμεν καὶ ἰδοὺ στρατεύματα στρατευμάτων ἐν εὐσχήμῳ τάξει καὶ εὐπρεπῇ ἐπὶ τὰ τῆς γῆς πληρώματα κατιέμενα, καὶ αὐτὰ ἑτοιμασίαν ἐποίουν τῆς ἐλεύσεως τοῦ Κυρίου καὶ τὸν θρόνον τῆς δόξης αὐτοῦ εὐπρεπῆ ἐτίθουν καὶ ἡτοίμαζον. τούτων κατιόντων, ἰδού τις τῶν ὑψηλῶν καὶ μεγάλων καὶ ἐνδόξων νεανίσκων, οὗ ἡ στολὴ ὁμοία τῇ τοῦ ἐπιγείου βασιλέως ἐνδοξοτάτῃ στολῇ, καὶ αὐτὸς σάλπιγγα χρυσὴν κραταιὰν ἐν τῇ χειρὶ αὐτοῦ κατέχων καὶ ἐνδόξως πορευόμενος τοῖς ἐπιγείοις ἀφίκετο, καὶ κατόπιν αὐτοῦ δύο καὶ δέκα ὡραιοπρόσωποι νεανίαι, καὶ αὐτοὶ ἐξαίσιοι σάλπιγγας χρυσᾶς ἐπικομιζόμενοι. καὶ ὡς ἐγένοντο ἅμα ἐπὶ τὸν αἰθέρα τῆς γῆς, καὶ ὁ φοβερὸς ὁ πρώην ἐδέξατο τούτους, πρῶτος τῶν ἄλλων ἐσάλπισεν αὐτὸς μόνος ἐν δυνάμει ἰσχύος αὐτοῦ. καὶ ἀπὸ τῆς ἠχοῦς τῆς σάλπιγγος διεδονήθη πάντα τὰ πέρατα. καὶ μεθ' αὐτὸν ἐσάλπισαν καὶ ἕτεροι δώδεκα. καὶ ἰδοὺ ἀνέβη νεῦρα καὶ σάρξ ἐπὶ τὰ ὀστᾶ τῶν ἐν τάφοις κειμένων νεκρῶν ἀνθρώπων ἀπὸ τοῦ αἰῶνος, καὶ πνεῦμα ζωῆς οὐκέτι ἦν ἐν αὐτοῖς. καὶ προσθεὶς ἐσάλπισε δεύτερον καὶ ἐτρόμαξεν ἅπασα ἡ οἰκουμένη. καὶ ἰδοὺ ἀνεῳχθη πάντα τὰ μνήματα τῶν κεκοιμημένων ἀπ' αἰῶνος ἀνθρώπων αὐτομάτως, καὶ πάντα ὡς ὕελος ἀπὸ τῆς φρικτῆς βοῆς τῆς δευτέρας σάλπιγγος ἐθραύσθησαν. καὶ ὥσπερ αὕτη ὑπὸ λίθου ἰσχυρῶς κρουσθεῖσα συντρίβεται, οὕτως δὲ καὶ τὰ μνήματα ὡσεὶ κόνις λεπτυνθέντα τοὺς ἐν αὐτοῖς κειμένους νεκροὺς ἔξω ἀπέρριψαν. καὶ ἐθεασάμεθα ἔτι, καὶ ἰδοὺ ὡσεὶ ψάμμος τῆς γῆς στρατεύματα νεανίσκων ἄνωθεν κατερχόμενα καὶ ἐπὶ τὰς καταπαύσεις τῶν ψυχῶν τῶν ἀπ' αἰῶνος πορευόμενα, εἰς τὸ ἐξαποστέλλειν καὶ ὁδηγεῖν ἑκάστου ἀνθρώπου ψυχὴν πρὸς τὸ ἴδιον σκήνωμα αὐτῆς. καὶ ἐσάλπισε τρισσεύσας ὁ ἀρχιστράτηγος Κυρίου, καὶ ἔφριξεν ὁ οὐρανὸς καὶ ἡ γῆ ἀπὸ τῆς ἰσχυρᾶς ἠχοῦς τῆς φωνῆς τῆς τρίτης σάλπιγγος ἐκείνης. καὶ ἰδοὺ πᾶσα συναγωγὴ ἀνθρώπων ἐρρίφη ἔξω ζῶσα ἀπὸ τοῦ χώματος τῆς γῆς. καὶ ἰδοὺ ἡ θάλασσα καὶ οἱ ποταμοὶ ἀνέβρασαν ἐπὶ τὴν ξηρὰν καὶ ἅπαν ἄλσος καὶ πᾶσα λίμνη φόβῳ καὶ τρόμῳ ἀπέδωκαν καὶ ἐξήμεσαν πλήθη ἀνθρώπων ἱκανά. καὶ ἰδοὺ μυριάδες μυριάδων ἄνθρωποι, καὶ ὑπὲρ αὐτὸν τὸν χοῦν τῆς γῆς ἐν πλεονασμῷ χρηματίζοντες, καὶ ὑπὲρ τὴν ψάμμον τὴν ὑπὸ τὸν ἥλιον εὑρεθεῖσαν αἴφνης εἰς τὸ πρόσωπον τῆς γῆς, ἴσοι τῇ ἡλικίᾳ ἅπαντες, καὶ κήρας (sic) τῆς αὐτῆς, οἵτε ἄνδρες φημὶ καὶ αἱ γυναῖκες. εἰ γὰρ καὶ λίαν ἐφ' ὑψηλοῦ τόπου τοῦ προσδηλωθέντος ἦμεν ὑπερκαθήμενοι, ἀλλ' οὖν ἐδόθη ἡμῖν ὑπὸ Κυρίου δύναμις ὁράσεως καὶ γνώσεως, δι' ἧς ὑπό τινος ὀπῆς ἀνεῳχθείσης ἡμῖν κατὰ πρόσωπον τῆς ὑπ' οὐρανόν, ἠδυνήθημεν πάντα καθαρῶς ἰδέσθαι καὶ καταστοχάσασθαι λίαν ἐπιφανῶς,

ὥσπερ αὐτὰ τὰ ἐν ποσὶν ἰσχύσαι τις ἰδεῖν καὶ κατανοῆσαι. ἐν γοῦν τῷ ἀναστῆναι τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ καὶ πᾶν ἔθνος καὶ πᾶσαν φυλήν, ἥτις ποτὲ ἔζησεν εἰς τὸ πρόσωπον τῆς γῆς ἐκ τοῦ σπέρματος αὐτῶν μετ' αὐτούς, ἐν στενοχωρίᾳ ἵσταντο ἐπὶ προσώπου πάσης τῆς γῆς. οἱ οὖν μηδέποτε μυηθέντες τὸ μυστήριον τῆς ἀναστάσεως, ἔφριττον καὶ ἰλιγγίων κατανοοῦντες ὅπως τε διαλυθέντες εἰς χοῦν αὖθις σῶοι ἀνέστησαν καὶ εἰς τὸ ἐμφανὲς ἐξηγέρθησαν καὶ κατεπλήττοντο ἑαυτοὺς κατανοοῦντες καὶ ἀναλογιζόμενοι τὰ παρόντα θαυμάσια. ἔφριττον οὖν καὶ αὐτὸς ἐγὼ πρᾶγμα καθορῶν ξένον παντελῶς καὶ φρίκης γέμον τὴν ἐναλλαγὴν δηλονότι τῶν προσώπων ἀνδρῶν τε καὶ γυναικῶν τῶν ἀπὸ Ἀδὰμ καὶ μέχρι τοῦ ἐσχάτως πάντων γεννηθέντος.

καὶ τηνικαῦτα ἀναστάντων ἐκ νεκρῶν ὅπως τινῶν μὲν ἐκ τούτων ὑπῆρχον τὰ πρόσωπα καθάπερ οἱ ἀστέρες φαιδρῶς ἐξαστράπτοντα καὶ περιφανῶς. τῶν δὲ λάμποντα μὲν καταδεέστερον δέ, ὥσπερ ἐν τῷ ἀποστόλῳ εἴρηται· τὸ ἀστὴρ ἀστέρος διαφέρων ἐν δόξῃ. καὶ τινων μὲν ἀπηύγαζον οἷα δὴ σελήνη ἐν τῷ ζόφῳ τῆς νυκτός. τινῶν δὲ ὥσπερ αὐτὸ τὸ φῶς τῆς ἡμέρας ἔλαμπον καὶ ἐφαιδρύνοντο. καὶ τινων μὲν ἦπτον τὰ πρόσωπα οἷα δὴ σίδηρος πεπυρακτωμένος ἐκπέμπων σπινθῆρας. τινῶν δὲ λάμποντα ὡς ὁ ἥλιος. τινῶν λευκὰ ὡσεὶ χιών. ἄλλων διαφανῆ ὡσεὶ ἔριον. ἑτέρων ὡς τὰ λευκὰ καὶ ἐρυθρὰ ῥόδα. καὶ ἐφ' ἑνὸς ἑκάστου τούτων γράμματα ἐξ ἀστραπῆς ὑπὲρ ἄνω τῆς ὀφρύος ἐνεγέγραπτο, δηλοῦντα τὴν ἑκάστου ἀρετήν. καὶ ἐν οἷς μὲν—προφήτης Κυρίου ἔγραφεν. ἐν ἄλλοις δὲ—ἀπόστολος Κυρίου. καὶ ἐπί τισιν ἐδήλου ἡ γραφὴ — μάρτυρες Κυρίου. καὶ ἐφ' ἑτέρας—κήρυκες Κυρίου. ἐν ἄλλοις—εὐαγγελισταὶ Κυρίου. καὶ ἐπί τινων—ὁμολογητὴς τοῦ Κυρίου. καὶ ἐν ἄλλοις—ἐγκρατευτὴς διὰ τοῦ Κυρίου. καὶ ἐφ' ἑτέρας—ἱεράρχης Κυρίου. καὶ ἐπὶ τισιν—ὅσιος Κυρίου. καὶ ἐφ' ἱκανοῖς—δίκαιος Κυρίῳ τῷ Θεῷ. καὶ ἐν οἷς μὲν—ὁ ἀσκήσας ἐν τῇ ἐρήμῳ. καὶ ἐν ἄλλοις—ὁ πτωχὸς τῷ πνεύματι. καὶ ἐφ' ἑτέροις — ὁ ταπεινὸς τῇ καρδίᾳ. ἐν ἄλλοις—πένθει καὶ δάκρυσι κεκαθαρμένος καὶ ἐν ἄλλοις—ὁ ἐλεήμων καὶ εὐμετάδοτος, ὁ πρᾷος καὶ καθαρὸς τῇ καρδίᾳ. ὁ εἰρηνοποιός, ὁ δεδιωγμένος ἕνεκεν δικαιοσύνης. καὶ ἐπί τινων ἐδήλου ἡ γραφὴ—ὁ ξενιτεύσας διὰ τὸν Κύριον. καὶ ἐφ' ὧν—ὁ ξενοδόχος Κυρίου. καὶ ἐν ἄλλοις—ὁ φθόνῳ καὶ βασκανίᾳ τοῦ πέλας κακῶς παθὼν καὶ περιεργείᾳ ἐπιβουλευθείς. καὶ ἐν ἄλλοις—ὁ τὴν ὑπακοὴν κατορθώσας. καὶ εἰς ἑτέρους—ὁ πενίαν καλῶς καὶ εὐχαρίστως ὑπομείνας καὶ πειρασμοὺς διὰ Κυρίου. καὶ ἐπὶ τισιν—ἱερεὺς Κυρίου δεδικαιωμένος. καὶ ἐν ἄλλοις—ὁ καλῶς διακονήσας τὴν πνευματικὴν διακονίαν. καὶ ἑτέροις ἐνεγέγραπτο — παρθένος καὶ ἁγνὸς Κυρίῳ τῷ

Θεῷ. ἄλλοις—ὁ τὴν ψυχὴν αὐτοῦ θεὶς ὑπὲρ τῆς τοῦ πλησίον ἀγαπης. ἄλλοις—ὁ καλῶς ποιῶν τὸ δίκαιον καὶ εὐθὲς καὶ ἄλλους τοῦτο διδάξας ἑτέροις—ὁ τὴν κοίτην τηρήσας ἀμόλυντον καὶ ἐν ἄλλοις—ὁ διὰ μετανοίας Κυρίῳ εὐαρεστήσας. καὶ ἵνα συνελὼν εἴπω, ἑνὸς ἑκάστου ἡ ἀρετὴ καὶ ἡ κακία ἐδηλοῦτο γράμμασιν ἀστράπτουσιν. τινῶν μὲν ἐπὶ τοῦ μετώπου ἐγκεκολαμμένοις, τινῶν δὲ ὑπεράνω τῆς κορυφῆς αὐτῶν ἀπὸ τοῦ αἰθέρος φαινομένοις, ὡς ἐκ τούτου δήλους εἶναι τοὺς πάντας πᾶσι καὶ περὶ μὲν τῶν τα πρόσωπα δεδοξαμένων, οἵτινες καὶ ὀλίγοι παντελῶς ἦσαν τῶν μυρίων εἰς, τοιαύτη τις ἦν ἡ γνῶσις καὶ ἡ δήλωσις.

περὶ δὲ τῶν ἐν ἁμαρτίαις ζησάντων τοῦ ἀπείρου πλήθους ἐκείνου, ἦν ἰδεῖν ἀσχημοσύνας καὶ ἀηδίας πάνυ χαλεπὰς καὶ πονηρὰ καὶ πικρὰ σχήματα καὶ πρόσωπα καὶ τάραχον πολὺν καὶ συντριμμόν, ὧν οὐκ ἦν ἀριθμός. τινῶν μὲν ἦσαν τὰ πρόσωπα οἷον ὁ χοῦς καὶ ὁ σποδὸς τῆς γῆς παραφυρόμενα. τινῶν μὲν ὡς ὁ ἐπὶ τῶν πλατειῶν κείμενος δυσώδης πηλός. καὶ ἄλλων κοπρώδη βορβορώδη καὶ ἀηδῆ λίαν. ἑτέρων δέ σηπώδη καὶ ὀζώδη ὡς ἐπὶ τῆς ἀγορᾶς τεθνηκὼς κύων καί σεσηπὼς καὶ σκώληκας ἐκβράσας. καὶ ἄλλων ἦσαν κεχρησμένα ὡς τοῖχος πηλῷ καὶ κόπρῳ μεμιγμένους. ἄλλων ἐξωστρακωμένα ὡς χελώνης τὸ ἐπίλεπτον. καὶ οἱ ὀφθαλμοὶ αὐτῶν ὡς ἐξ ἰχῶρος ἔμπυον πέμποντες καὶ τινῶν μὲν τὰ πρόσωπα οἷα τὰ τὴν ἱερὰν ἐχόντων ἐξωδηκότα κατεφαίνοντο. τινῶν δὲ μελανὰ ὡς αὐτῷ τῷ σατανᾶ. ἄλλων ἐξ ἡμίσειας ἠμαυρωμένα. ἑτέρων οἷον τὸ τῆς ἀσπίδος δέρμα καὶ χρῶμα. ἄλλων οἷον τὸ τῆς ἐχίδνης. ἄλλων οἷον τὸ τοῦ κεράστου. τινῶν δὲ ὅμοιον χλωροσαύρας. ἑτέρων δορᾷ ὄνου περιεχόμενα καὶ τινες ἦσαν αὐτῶν κοπρώδεις καὶ δυσωδέστατοι ἀπὸ ποδῶν ἕως κεφαλῆς. ἄλλοι ἦσαν αἵματι δεινῷ ρεραντισμένοι καὶ πλήθη σποδοῦ καὶ ρύπου πολλοῦ ἐν τοῖς σκηνώμασιν αὐτῶν ὁρῶντο καὶ ἦσαν σφόδρα δυσειδέστατοι. τινὲς αὐτῶν δορὰν χοιρίαν περιεβέβληντο, καὶ ἄλλοι ἀπηγριωμένοι, τινὲς μαινόμενοι πεπυρακτωμένοι, βδελυκτοὺς ὀφθαλμοὺς κεκτημένοι, καὶ αὐτοὶ ὀστρακώδεις καὶ ἐξουθενημένοι, καὶ πολλοὶ αὐτῶν ἦσαν ἀφρώδεις καὶ σηπώδεις καὶ αἱματώδεις. καὶ ἄλλοι πεπληρωμένοι πάσης ὠχρότητος. τινὲς γοῦν αὐτῶν ἐν τῷ εἶναι αὐτοὺς τοιούτους ἐπειρῶντο ἀπὸ αἰσχύνης φεύγειν καὶ κατακρύπτεσθαι. ἐπεῖχε δὲ αὐτοὺς τῆς ὁρμῆς ταύτης τὸ περιεστηκὸς πλῆθος ἐπὶ τοσοῦτον, ὥστε μηδὲ περιστραφῆναι δύνασθαι. ὡμίλουν δὲ πρὸς ἀλλήλους τὰ ἄπειρα πλήθη ἐκεῖνα φόβῳ πολλῷ καὶ τρόμῳ ἔλεγον· οὐαὶ ἡμῖν ὅτι αὕτη ἡ ἐσχάτη ἡμέρα ἐστὶ τῆς δευτέρας παρουσίας τοῦ Χριστοῦ, καθώσπερ ἠκούομεν πρὸ τοῦ τελευτῆσαι ἡμᾶς καὶ ἀρτίως ἀνέστησεν ἡμᾶς ὁ Θεός,

ὥστε ἀποδοῦναι ἡμῖν κατὰ τὰ ἔργα ἡμῶν, καὶ οὐαὶ ἡμῖν τοῖς ταπεινοῖς καὶ ἁμαρτωλοῖς, ὅτι ἐπειδὴ ρυπώδεις καὶ ἀκάθαρτοι ἐσμὲν, ὄντως κατακαῦσαι ἡμᾶς μέλλει πυρὶ ἀσβέστῳ. ταῦτα τινῶν ἐκ τοῦ ἀμυθήτου πλήθους ἐκείνου ὁμιλούντων, ἵσταντο ἕτερα πλήθη ἀναρίθμητα καὶ ἀνεξιχνίαστα ἀνθρωπίνοις λογισμοῖς, καθώσπερ τὰ ἄλογα κτήνη τὰ μὴ εἰδότα ποτὲ μηδὲ θείας γραφῆς ἀκούσαντα τὸ σύνολον. καὶ ἔλεγον πρὸς ἀλλήλους τῶν ἄλλων ἐνωτιζόμενοι τὰ ῥήματα, τίς ἐστιν ὁ Θεὸς καὶ τίς ἐστιν ὁ Χριστὸς οὐ γινώσκομεν. ἡμεῖς γὰρ πολλοὺς ἔχομεν θεοὺς καὶ ἰσχυρῶς αὐτοὺς ἐθεραπεύσαμεν. εἰ οὖν οἱ θεοὶ ἡμῶν ἐξήγειραν ἡμᾶς, οὐ φοβηθησόμεθα κακὰ διότι πλεῖστα καλὰ ἐν τῇ προτέρᾳ ἡμῶν ζωῇ εἰς αὐτοὺς ἐποιήσαμεν. οἱ δὲ ἀπὸ τῶν ἰουδαίων τοιαῦτα τινά ἔλεγον· ἐὰν ὁ Θεὸς τοῦ νόμου ἡμᾶς ἀνέστησεν, ἀγαθά ἡμῖν πολλὰ συναντήσει, ἐπεὶ εἰ καὶ διεσπάρημεν εἰς τὰ πέρατα τῆς οἰκουμένης, ἀλλά πλὴν αὐτοῦ θεὸν ἕτερον οὐ γινώσκομεν. εἰ δὲ ὁ τῆς Μαρίας υἱὸς παραγίνεται κριτής, οὐαὶ ἡμῖν καταλήψεται. σφόδρα γὰρ αὐτὸν μεμισήκαμεν καὶ λίαν αὐτὸν ἐβλασφημήσαμεν. ἀλλ' ἄνθρωπος ὢν ἐκεῖνος, πῶς ἐλεύσεται ὡς θεὸς κρῖναι. τάχα γὰρ κἀκεῖνος μεθ' ἡμῶν κριθησόμενος, ἵνα ἵσταται διὰ τὰς αὐτοῦ βλασφημίας ἃς ἔλεγε, Θεοῦ Υἱὸν γνήσιον ἑαυτὸν ἀποκαλῶν καὶ ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ καὶ Πατρί, καὶ εἴθε ἐθεωροῦμεν αὐτὸν ἀρτίως καὶ ὡς ψεύστην ἠλέγχομεν καὶ ὠνειδίζομεν, ἐπειδὴ ἐν ταῖς πλατείαις ἡμῶν διδάσκων, κριτὴν ἑαυτὸν ἔλεγεν εἶναι φάσκων· ὁ Πατὴρ κρίνει οὐδένα. ἀλλὰ τὴν πᾶσαν κρίσιν δέδωκε τῷ Υἱῷ, ἑαυτῷ δηλονότι. ἡμεῖς γὰρ ἀκριβεῖς οἴδαμεν ὅτι Μωσεῖ λελάληκεν ὁ Θεὸς ἐπὶ τοῦ ὄρους Σινᾶ· οὗτος δέ οὐδέποτε οὐδαμοῦ εἶδε τὸν Θεόν. ὁ δὲ Θεὸς τοῦ νόμου, Θεὸς ἀψευδής ἐστι. καὶ οὗτοι μέντοι ταῦτα καὶ τὰ τούτοις ὅμοια ἐφληνάφουν, τὸν Κριτὴν ἀπεκδεχόμενοι ἰδεῖν. ἕτεροι δὲ καὶ αὐτοὶ ἰσραηλῖται ὄντες οὑτωσὶ ἔλεγον· οὐαὶ ἡμῖν ὅτι ἡμεῖς οὔτε τὸν Θεὸν τοῦ νόμου ἐπιστεύσαμεν, οὔτε τὸν λεγόμενον Χριστὸν ἐφθάσαμεν, ἀλλ' ἐν τῇ προτέρᾳ ἡμῶν ζωῇ ἐπιστεύομεν τῷ τε Βάαλ καὶ Ἀστάρτῃ καὶ τῇ Ἀσταρώθ καὶ ταῖς χρυσαῖς δύο δαμάλεσι καὶ τοῖς λοιποῖς θεοῖς τῶν ἐθνῶν, καὶ οὐκ ἐγνώκαμεν ὅλως περὶ τῆς ἐπελθούσης ἡμῖν ἀρτίως συμφορᾶς.

καὶ ἑκάστου ἔθνους καὶ ἑκάστης φυλῆς λαὸς ἐμμελετῶν καὶ συζητῶν ἐτύγχανε καθ' ἑαυτὸν περὶ τῶν συμβησομένων αὐτοῖς ἐν τῇ ὥρᾳ ἐκείνῃ, καὶ τὸ θαυμαστότατον καὶ φοβερὸν ὅτι ἐδηλοῦτο ἑνὶ ἑκάστῳ αὐτῶν ἐπὶ τοῦ μετώπου ὡς προδιείληπται, γράμμασιν ἀληθινοῖς ἥτε ἀρετὴ καὶ ἡ κακιὰ αὐτῶν καὶ ἅπασα ἡ πρᾶξις τῆς ἐργασίας αὐτῶν. ἤτοι τῶν δύο γενέσεων τῆς τε ἄρρενος καὶ θηλείας. καὶ ἐπὶ

τισι μὲν ἐδήλου ἡ γραφὴ φονίσκοι φησὶν καὶ φονεύτριαι. ἐν ἄλλαις δὲ—αἱμομίκται καὶ αἱμομίκτριαι. ἐν ἄλλοις — μοιχοὶ καὶ μοιχαλίδες, πόρνοι καὶ πόρναι, κλέπται καὶ κλέπτριαι. καὶ ἐπὶ τισι ψεῦσται καὶ ψεύστριαι. καὶ αὖθις εἰδωλολάτραι καὶ εἰδωλολάτριαι, καὶ καθ' ἑξης, —ἐπαοιδοί, φαρμακοί, μάγοι, μάγισσαι, φαρμακεύτριαι, μέθυσοι καὶ μεθύστριαι, τελῶναι, ἅρπαγες. καὶ ἐν ἄλλοις ἦν γεγραμμένα—ἀρσενοκοῖται, παιδοφθόροι καὶ ἐν ἑτέροις—κτηνοβάται, μηνιεῖς, ὀργίλοι, μνησίκακοι. καὶ ἐπὶ ἄλλοις—φθονεροί, φθονεραί, κιθαρωδοὶ καὶ αὐληταὶ καὶ λυρισταί. καὶ ἐπὶ τισιν—ὁρκωμόται καὶ ἐπίορκοι, νεκυομάνται, ἐγκαστρίμυθοι. ἐν ἑτέροις—φειδωλοί, σκνηφοί, ἄσπλαγχνοι, ἀνηλεεῖς καὶ φιλάργυροι. ἐν ἑτέροις—αἱρετικοί, ἀρειανοί, πνευματομάχοι, μανιχαῖοι, σαβελλιανοί, παυλικιανοί, ὠριγενιασταί, ἰακωβῖται, ἀρκιωνισταὶ καὶ ἁπλῶς εἰπεῖν πάσης αἱρέσεως οἱ ἐργάται δῆλοι τοῖς πᾶσιν ἀπὸ τῶν ἐν αὐτοῖς γραμμάτων ἐδείκνυντο, ὅσοι δηλονότι ἀμετανόητοι καὶ ἀνεξεμόλογητοι τὸν βίον κατέλυσαν καὶ ἠσχύνοντο μεγάλως καὶ ἠρυθρίων, ὁρῶντες ἑαυτοὺς ἐν τοιούτοις ὄντες σχήμασι καὶ ἐνενόουν ὅτι καρποὶ ταῦτα καὶ δράγματα τῶν οἰκείων πεφύκασιν ἁμαρτιῶν, ὧν ταῖς σειραῖς ἕκαστος εἰώθει σφίγγεσθαι καὶ ἔκλαιον πικρῶς ἑαυτοὺς εἰς μάτην συγκόπτεσθαι.

τούτων οὕτως πρεσβείαις τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Βασιλείου καθαρῶς ἀποφθέντων ἡμῖν, ἔπειτα καθορῶμεν καὶ ἰδοὺ τάξεις θαυμασταὶ τῶν ἄνω κατιέμεναι, καὶ αὗται λιγυρᾷ φωνῇ μέλος τι ὑπερφυὲς καὶ οὐράνιον ἐξαισίως ὑπέψαλλον καὶ ὡς κατήρχοντο καὶ πλησιέστερον ἡμῶν ἐγίνοντο, ὡρᾶτο μέσον αὐτῶν Σταυρὸς ξύλινος μέν, σπινθηροβολῶν δὲ καὶ αἴγλην πάνυ θαυμαστὴν καὶ πυρσὸν βάλλων ἐκ προσώπου αὐτοῦ γαληνομόρφως, οἷον ὁρᾷν ἡμῖν ἔξεστιν ἡλίου τὴν ἡμέραν ἐν αἰθρίᾳ μεσάσαντος. καὶ αὐτὸς κατέβη ἐν ᾧ τόπῳ ὁ θρόνος τοῦ Κριτοῦ ἡτοιμάζετο καὶ ἔστη ἐν ὑψηλοῖς δεδοξασμένος καὶ ἦν ἐμφανὴς πάσαις φυλαῖς καὶ γλώσσαις ταῖς ἀναβαινούσαις ἀπὸ τοῦ χώματος τῆς γῆς. καὶ ἐθαύμαζον τὰ ἀνεξιχνίαστα πλήθη ἐκεῖνα ἐπὶ τῇ τοῦ σημείου ἐκείνου ὡραιότητι.

Ἰουδαῖοι[1]. θεασάμενοι δὲ οἱ υἱοὶ Ἰσραὴλ τὸ σημεῖον τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ μετὰ δόξης παραγενόμενον ἰλιγγίων καὶ ἔφριττον καὶ ἐπλήσθησαν τὰ πρόσωπα αὐτῶν αἰσχύνης περισσοτέρας ὑπὲρ ὃ ἦσαν πρότερον καὶ ἔτυπτον ταῖς χερσὶ τὰ πρόσωπα αὐτῶν καὶ ὀδυρώμενοι ἔλεγον· οὐαὶ ἡμῖν, κακὸν σημεῖον ὁρῶμεν ἄρτι παραγενόμενον· οὐαὶ ἡμῖν τοῖς ἐλεεινοῖς, τοῦτο τὸ σημεῖον τοῦ ἐσταυρω-

[1] нѣтъ.

μένου ἐστίν ἐὰν οὖν αὐτὸς ἥξει κρῖναι, ποίῳ προσώπῳ αὐτῷ συναντήσωμεν καὶ τί γενοίμεθα ἐπειδὴ πολλὰ χαλεπὰ αὐτῷ ἐνδειξάμεθα; οὐ μόνον δὲ αὐτῶν ἀλλὰ καὶ τοῖς εἰς αὐτὸν πιστεύσασι ταῦτα τῶν ἑβραίων ἀποδυρωμένων, ἔφησε πρὸς ἐμέ ὁ σὺν ἐμοὶ ὁ τὰ πάντα σαφηνίζων καὶ ὑποδεικνύων μοι· ὁρᾷς ὅπως οὗτοι ἤρξαντο φρίττειν καὶ τρέμειν τὸν τίμιον Σταυρὸν θεασάμενοι, ὡς οὖν οὗτοι λιτυρῶς εἶχον ἕνεκα τῆς ἐπιδημίας τοῦ τιμίου Σταυροῦ. οἱ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας καὶ μέχρι συντελείας ὑπάρξαντες οἱ υἱοὶ ἰσραὴλ ἐπυνθάνοντο τούτους καὶ ἔλεγον· τίς ἡ αἰτία τῆς τοσαύτης ὑμῶν ἀγανακτήσεως, οἱ δὲ ἀπὸ τῆς πολλῆς αἰσχύνης οὐδὲ ὅλως ἀποκριθῆναι αὐτοῖς ἠδύναντο, εἰ μὴ μόνον συχνάκις αὐτῷ προσαποσκοποῦντες ἰλιγγίων καὶ πάνυ ἐστύγναζον φρίττοντες.

τούτων τοιγαροῦν οὕτως ἐν ὀφθαλμοῖς ἡμῶν γινομένων ἤρχετο εἰς τὰ ὦτα ἡμῶν ἦχος φοβερὸς λίαν ἀπὸ τῶν ὑψωμάτων τῶν ὡραίνων ἐκείνων καὶ τῶν ὑψίστων. καὶ φησὶν ὁ σὺν ἐμοί· ἰδοὺ φόβος καὶ τρόμος πολύς, αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν ἐσαλεύθησαν, καὶ μέλλει ὁ Κριτὴς παραγίνεσθαι. ἔτι τούτου ὁμιλοῦντος πρός με, ἰδοὺ πλῆθος πολὺ σφόδρα φρικτῶν δυνάμεων ἐναλλαγὰς καὶ θεωρίας διαφόρους ἐχουσῶν καὶ τάγματα ταγμάτων καὶ στρατιαὶ στρατιῶν, καὶ αὗται βαίνοντες προέβαινον φόβῳ καὶ τρόμῳ ἐπὶ τὸν τόπον τῆς κρίσεως. καὶ ἀπὸ τούτων ἰδοὺ ἕτερα τάγματα δεδοξασμένα κατήλθοσαν καθάπερ νεφέλαι ἐπὶ τῆς παρατάξεως γαληνομόρφως ἀφικόμεναι, κατίεσαν οὖν καὶ ταῦτα εἰς τὸ πρόσωπον τῆς γῆς καὶ φθάσαντα τὸν τόπον τῆς κρίσεως, ἔστησαν εἰς αὐτόν. τούτων δὲ καταπαυσάντων, ἰδοὺ στρατεύματα στρατευμάτων ἐπιπορευόμενα πλῆθος πολὺ σφόδρα. καὶ ὁρῶν ταῦτα ἠρξάμην φρίττειν καὶ τρέμειν. καὶ φησὶν πρός με ὁ συνεπόμενός μοι τολμηρῶς· μηδὲν ἀγωνιάσῃς, φίλοι γὰρ ἡμῶν εἰσὶν οὗτοι καὶ σύνδουλοι καὶ ἀδελφοὶ χρηματίζουσι, καὶ οὐ δεῖ σε φοβεῖσθαι ἀπὸ προσώπου αὐτῶν. πρόσεχε οὖν μόνον καὶ ὅρα σὺν ἐπιμελείᾳ τὰ γινόμενα. ὠφεληθήσει γὰρ τὰ μέγιστα ἀπὸ τῶν τοιούτων θεαμάτων. οὐ μόνον γὰρ [1] σύ, ἀλλὰ καὶ ἕτεροι πλεῖστοι, ὅσοι δηλονότι ἀπεριέργῳ γνώμῃ [2] ψυχῆς ἁπλότητι ταῦτα δέξοιντο. καὶ τούτων τοίνυν τῶν φοβερῶν ταγμάτων τοῖς προκατελθοῦσιν ἐνωθέντων καὶ ἐπὶ τὸν τόπον τῆς κρίσεως παραγεγονότων, ἔφριττον οἱ ἄνθρωποι καὶ ἐδεδοίκεσαν φόβον μέγαν, κατακαλύπτοντες ἅπαν τὸ πρόσωπον τῆς γῆς ἐν τῷ ἀναστῆναι τὰς συναγωγὰς αὐτῶν καὶ εἶναι αὐτοὺς εἰς πλῆθος πολὺ σφό-

[1] нѣтъ.

[2] доб. καὶ.

δρα. καὶ μετὰ ταῦτα βοαὶ καὶ ἀστραπαὶ καὶ βρονταὶ καὶ ἦχος ἰσχυρὸς λίαν ἀπὸ τῶν ἀνωτάτω ἐξηκούετο. καὶ συνεστάλη πᾶσα ἡ γῆ φόβῳ ἀπείρῳ καὶ τρόμῳ. οἱ γοῦν τὰ φαιδρὰ κεκτημένοι πρόσωπα ἀπὸ τῶν ἀναστάντων νεκρῶν, οὐδαμῶς ἐδεδίεσαν τὰ φοβερὰ ταῦτα ἀλλ' ἵσταντο ἐν εὐμενείᾳ πολλῇ εὐφραινόμενοι.

μετὰ δὲ ταῦτα ἰδοὺ στρατεύματα μεγάλων ταγμάτων ὑπὲρ λίαν, οἷα τὰ τοῦ κόσμου ὄρη τὰ ὑψηλὰ καὶ μεγάλα, καὶ τὰ ὑπερμεγέθη δένδρα. καὶ ἦν σπινθηροβολοῦσα ἡ παράταξις αὐτῶν, καὶ ἕκαστος αὐτῶν ἐν τῷ πορεύεσθαι πῦρ ἔβαλε κατὰ πρόσωπον οὗ ἐπορεύετο καὶ τῆς ὡραιότητος αὐτῶν κόρος οὐκ ἦν. καὶ ὁ ἀὴρ ἥπτεν ἐν τῷ πορεύεσθαι ἕκαστον αὐτῶν καὶ ἀπὸ τῆς ἐν αὐτοῖς καλλονῆς θάμβος ἦν τοῖς υἱοῖς τῶν γηγενῶν, καὶ εἰκασίαν τῆς ὡραιότητος καὶ τῆς δυνάμεως αὐτῶν οὐκ ἦν εὑρέσθαι δυνατόν. καταβάντα [1] οὖν καὶ ταῦτα τὰ τάγματα ἐν εὐλαβείᾳ καὶ σιωπῇ βαθείᾳ, ἔστησαν κατὰ τὸν τόπον τῆς κρίσεως καὶ ἐκάλυψαν κύκλωθεν κύκλῳ τὰ προγεγονότα στρατεύματα πάντα. καὶ ἦν ἡ ὅρασις αὐτῶν φωτοβολοῦσα σφόδρα καὶ ὑπὲρ ἐκ περισσοῦ ἐξεπλήσσοντο αἱ γενεαὶ τῶν ἀνθρώπων, διότι ἡ ὡραιότης καὶ ἡ εὐπρέπεια αὐτῶν εἰς περισσοτέραν ἔκστασιν ἐνῆγεν αὐτούς. οἱ γοῦν δῆμοι τῶν ἐν ἀπιστίᾳ καὶ ἀγνοίᾳ τῆς ἀληθείας τὴν ἐν τῷ κόσμῳ τούτῳ ζωὴν αὐτῶν διεξαγαγόντων καθάπερ τὰ ἄλογα κτήνη, οὕτως ἵσταντο ἀπείρῳ φόβῳ βαλλόμενοι οὐδέ πω γὰρ ᾔδεσαν τὰ νῦν ἐπ' αὐτοῖς δρώμενα, μόνον γὰρ ἵσταντο καὶ ἐξεπλήττοντο καὶ τῷ ἀπείρῳ φωτὶ ἐδεδίεσαν. οἵ τε γὰρ ἑβραῖοι πρότερον μὲν ἵσταντο ὡς εὐφραινόμενοι [2] δηλονότι τοῖς εἰδώλοις οὐκ ἐλάτρευσαν, οἱ ἀπὸ Ἀβραὰμ μέχρι τῆς συντελείας τοῦ κόσμου. ἐδόκουν γὰρ ἐγὼ ὅτι συντέλεια ἐγεγόνει. οἱ δὲ τοῖς εἰδώλοις λατρεύσαντες ἐξ αὐτῶν, ἵσταντο μελανὰ τὰ πρόσωπα ὡς ἀσβόλην κεκτημένα [3] καὶ κατηισχύνοντο· ὁπόταν δὲ κατῆλθεν ὁ Σταυρὸς τοῦ Κυρίου δεδοξασμένος εἰς τὸν τόπον τῆς κρίσεως, οἱ ἀπὸ τοῦ Ἀβραὰμ μέχρι τοῦ Χριστοῦ πιστοὶ ἑβραῖοι ἐφ' οἷς ἑώρων οὐδὲν ἐδεδοίκεσαν. οἱ δὲ ἀπὸ τῆς ἐνδόξου παρουσίας τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἰουδαῖοι καὶ μέχρι τῆς συντελείας μὴ πιστεύσαντες τῷ Χριστῷ, ἀλλὰ τῇ κακίᾳ αὐτῶν ἐναπομείναντες καὶ αὐτὸν ἀρνησάμενοι, ὡς ἐθεάσαντο τὸ σημεῖον διεστραμμένα τὰ πρόσωπα ἔχοντες, συμπεπτώκεισαν στυγνοὶ καὶ βαρεῖς τῇ καρδίᾳ καὶ πικρῶς σκυθρωπάζοντες καθωρῶντο, καὶ βλοσσυρῶς ἐνορῶντες τῷ τιμίῳ Σταυρῷ, ἐλεεινὸν ἐξέχεον δάκρυον καὶ πικρῶς ἐκραύ-

[1] καταβάντων.
[2] δοβ. ὅσοι.
[3] κεκτημένοι.

γαζον, γινώσκοντες ἀπάρτι ἀπὸ τῆς τοῦ Σταυροῦ ἐπιφανείας ὅτι ὄντως ὁ ὑπ' αὐτῶν σταυρωθεὶς ἐκεῖνος μέλλει παραγενέσθαι καὶ κρῖναι τὰ σύμπαντα.

[1]--οἱ σαρακηνοί. —[1] οἵ τε ἰσμαηλῖται καὶ αὐτοὶ μέχρι τῆς ἀπὸ τοῦ Σταυροῦ ἐπιδημίας σκληρὸν τὸ τράχηλον ἐκέκτηντο καὶ παμμέγιστον γαυρίαμα ἔχοντες, μέγαν τινὰ θεὸν ὀνομάζοντες ἐφρυάττοντο κατεπαιρόμενοι τῶν ἄλλων ἁπάντων. ὁπόταν δὲ τὸ φοβερὸν σημεῖον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἑωράκασιν ἐπάνω πάσης ἀρχῆς καὶ ἐξουσίας παραγεγονὸς ὡς ὅπλον κραταιὸν καὶ ὡς σκῆπτρον βασιλικὸν ἐξαστράπτον ὑπὲρ τὰς χρυσαυγεῖς ἀκτῖνας τοῦ ἡλίου, ἐμπυρίζον τὸν αἰθέρα καὶ χαρὰν ἀνεκλάλητον καὶ ἀνεκδιήγητον ἀγαλλίασιν ἐμποιοῦν πᾶσι τοῖς χριστιανοῖς. γνωρίσαντες οὖν καὶ αὐτοὶ ὁποίας πίστεως τὸ σημεῖον τοῦτο ἐστί, τὸ οὐαὶ οὐαὶ ἐπειπόντες ἠλάλαξαν πικρῶς ὀδυρόμενοι, καὶ εἱστήκεισαν ὥσπερ ἐξεστηκότες τινές καὶ παράφοροι, τὴν ἰδίαν σαφῶς κατανοήσαντες ἀποπλάνησιν καὶ ὅτι ὁ τοῖς χριστιανοῖς ἐπιφημιζόμενος Θεὸς ὃν λέγουσιν Ἰησοῦν Χριστόν, αὐτὸς ὀφείλει κρῖναι, ἐξέχεον δάκρουν σὺν οἰμωγῇ ὡς ἐν τῷ ἐληλυθότι σφόδρα καὶ κατεπρίοντο οἱ δεινοὶ ταῖς καρδίαις ὅτι ἠστόχησαν ὑπῆρχον δὲ δυσειδεῖς τῇ ἰδέᾳ καὶ ἀντὶ ἱδρῶτος αἷμα ἀπὸ τοῦ προσώπου αὐτῶν καὶ ὡς ἀπὸ βαλάνου λιγδώδης δυσωδία ἐν τῷ ἀγωνιᾶν αὐτοὺς ἐξεπορεύετο. οἱ δὲ χριστιανοί, ὁρῶντες τὸν τίμιον Σταυρόν, ἔχαιρον χαρὰν ἀνεκλάλητον, γινώσκοντες ὅτι ἐν αὐτῷ ἑκουσίᾳ βουλῇ προσηλώθη ὁ Βασιλεὺς τῆς δόξης, καὶ δι' αὐτοῦ κατέβαλε τοῦ πονηροῦ βελίαρ τὰ μηχανήματα.

τούτων οὕτως τελουμένων, ἰδοὺ ἦκεν ἀπὸ τῶν ἀνωτάτων νεφέλη φωτεινή, μέσον δὲ ταύτης ὑπῆρχεν αὐγάζουσα ἀστραπή, φρικτὰς λαμπρότητας ἐν ἑαυτῇ κεκτημένη ἐκ μυρίων εὐχροιῶν. ἦκεν οὖν αὕτη καὶ ἔστη ἄνωθεν τοῦ τιμίου Σταυροῦ καὶ ἁπλωθεῖσα κατεκάλυψεν αὐτὸν ἐφ' ὥραν ἱκανήν, εἶτα ἀνέβη ὅθεν ἐλήλυθεν, καὶ ἰδοὺ ἐφάνη περικύκλῳ τοῦ τιμίου Σταυροῦ στέφανος μυριοπρεπής, χιλιοβαφής, φρικτός, ἀνεξιχνίαστος οὐκ ἐν σοφίᾳ ἀνθρωπίνῃ, ἐκ πνευματικῶν, λίθων τιμίων ὑπερφυῶς χειρὶ Θεοῦ Παντοκράτορος συντεθειμένος, ὅς ἦν ὑπεράνω κορυφῆς τοῦ Σταυροῦ θαυμαστὸς ἐπὶ τοῦ ἀέρος, καθαπερεὶ στεφανῶν τὴν κάραν αὐτοῦ. εἶδον οὖν οἱ Ἰουδαῖοι καὶ ἐπὶ πλεῖον ἐξέστησαν φρίττοντες καὶ τρέμοντες. ἐθεάσαντο εἰδωλολάτραι οἱ τοὺς ἁγίους μαρτυρίσαντες καὶ φρίξαντες ἰλιγγίασαν. εἶδον οὖν οἱ ἀγαρηνοὶ τὸν τοῦ Κυρίου Σταυρόν δόξῃ καὶ τιμῇ ἐστεφανωμένον καὶ

[1] нѣтъ.

φόβῳ πολλῷ συνεσχέθησαν. θεασάμενοι δὲ οἱ χριστιανοὶ ἀπείρῳ χαρᾷ καὶ εὐφροσύνῃ συνεχόμενοι, ἀνυψοῦντες ἑαυτῶν τὰς χεῖρας κατέναντι τῆς ἐκείνου ἐλλάμψεώς τε καὶ ὡραιότητος, τὸν ἐν τούτῳ ἑκουσίως προπαγέντα Χριστὸν τὸν Θεὸν ἡμῶν ὑπερεμεγάλυναν. ἐν τῷ γοῦν ταῦτα οὕτως γίνεσθαι, ἰδοὺ ἦχος φοβερὸς ἀπὸ τῶν ὑψωμάτων ἠκούετο καὶ βρονταὶ μείζονες τῶν προτέρων καὶ ἀστραπαὶ ἐθεωροῦντο φρικταί, καὶ [1] ἰδοὺ ἄγγελοι καὶ ἀρχάγγελοι καὶ φόνος καί τρόμος καὶ κλόνος καὶ ἔκστασις καὶ συντριμμὸς καὶ φρίκη καὶ ἀγωνία μεγίστη ἀπὸ τῆς ὀξείας καταβάσεως τῶν φοβερωτάτων ἐκείνων ταγμάτων καὶ στρατευμάτων τῶν πολλῶν καὶ ἀναριθμήτων, καὶ αὐτοὶ ἀχράντῳ καὶ πανευλαβεστάτῳ καταστάσει ἐνσεμνυθέντες καὶ ἐμφαιδρυθέντες ἐπὶ τὸν τόπον τῆς κρίσεως παραγενόμενοι μετ᾽ εὐμενείας κατέπαυσαν· οἱ δὲ τὴν ἀσχημοσύνην τοῦ ἰδίου βλέποντες σώματος καὶ τὴν πικρίαν τῆς παναθλίας αὐτῶν ψυχῆς, τὴν ἔνδοθεν αὐτοὺς κατατιτρώσκουσαν, περισσοτέρως φόβῳ καὶ τρόμῳ καὶ πλείονι τῇ ἐκστάσει καὶ τῇ ἀγωνίᾳ συνείχοντο. ἤλεγχε γὰρ αὐτοὺς οὐ μικρῶς τὸ οἰκεῖον συνειδὸς καὶ χαλεπῶς λίαν εἶχον, ἀπολογίαν τινὰ μὴ κεκτημένοι.

ὁ θρόνος οὖν τοῦ Κριτοῦ οὐκ ἐν τῷ ἐδάφει τῆς γῆς ἡτοίμαστο, ἀλλ᾽ ἐπὶ τοῦ αἰθερος ὑπερανεστηκὼς τῆς γῆς, ὡσεὶ πήχεων τεσσαράκοντα, τά τε παραγενόμενα ἀπὸ τῶν ἀνωτάτων τάγματα θεῖα τῷ ἀστέκτῳ θρόνῳ, οὐκ ἐπὶ τοῦ ἐδάφους τῆς γῆς κατερχόμενα ἵσταντο, ἀλλ᾽ ἐπὶ τοῦ ἀέρος θαυμαστικῶς καὶ ἐξαισίως παραδόξοις ῥήμασιν ἅπαντα ἵσταντο, ὥσπερ δὴ καὶ ἡμεῖς ἐρηρεισμένως καὶ ἀσφαλῶς ἐπὶ τοῦ ἐδάφους τῆς γῆς εἰώθαμεν ἵστασθαι. ἐπὶ δὲ τῇ τοιαύτῃ θεωρίᾳ τῆς τοῦ φοβεροῦ θρόνου ἑτοιμασίας πάλαι τὸν νοῦν ἡμῶν ἦμεν ἀπησχοληκότες, ξένα γὰρ καὶ πάντα λόγον ὑπερβαίνοντα καθωρῶντο τὰ τῆδε τελούμενα, τὸ θαυμάσιον ἐκεῖνο τεχνούργημα τῆς ἄνω πόλεως Ἱερουσαλὴμ ὁρᾶν κατελίπομεν. ἔτι δέ τούτοις ἡμῶν τοῖς θεωρήμασιν ἐναβρυνομένων καὶ τοῦ κόσμου παντὸς ὡς ἡμῖν ἐδόκει ἐξαναστάντος, καὶ ἁπάσης πνοῆς ἑστώσης κατὰ πρόσωπον πάσης τῆς γῆς ἀπὸ Ἀδὰμ καὶ μέχρι τοῦ ἐσχάτως πάντων γεννηθέντος, καὶ του φρικωδεστάτου καὶ πυριμόρφου θρόνου τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ἐξαισίως ὡς εἴρηται ἑτοιμασθέντος, καὶ τοῦ θειοτάτου τῶν ἁγίων ἀγγέλων στρατοῦ θεοπρεπῶς παρισταμένου τῷ πυριμόρφῳ· θρόνῳ τῆς φοβερωτάτης ἐκείνης ἑτοιμασίας φλόγα μυριοπλασίως ἐν χρωμάτων ἰδέαις ἰσχυρῶς, καὶ πῦρ ἄϋλον γαληνομόρφως τοῦ φοβεροῦ καὶ ἁγίου θρόνου τοῦ ἁγίου τῶν ἁγίων καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

[1] нѣтъ.

θαυμασίως ἐκπέμποντος, ἀγῶνα καὶ κλόνον καὶ φρίκην οὐ τὴν τυχοῦσαν εἶχεν ὁ τούτους ἐπὶ πλεῖον ἐνατενίζειν τολμῶν. ἔτι ὁρώντων ἡμῶν, ἰδοὺ παρεμβολαὶ ἀγγέλων εἰς ἅπαξ κατήλθοσαν. παρῆλθε τοιγαροῦν μία παρεμβολὴ μεγάλη σφόδρα καὶ ἔστη κατὰ ἀνατολὰς φόβῳ καὶ τρόμῳ. κατῆλθεν οὖν καὶ μετ' αὐτὴν δευτέρα καὶ ἔστη καὶ αὕτη κατὰ μεσημβρίαν, ἐν ἰσχύι καὶ αὕτη ἐναγωνίως καὶ ὡς ἐν ἐκστάσει περιβεβλημένη ἀστραπήν, καὶ περιεζωμένη φρικωδεστάτην δύναμιν. κατῆλθεν οὖν καὶ μετ' αὐτὴν τρίτη, καὶ παρελθοῦσα ἔστη κατὰ ἄρκτον, καὶ γαυρίαμα δόξης ἐν μέσῳ αὐτῆς, καὶ μεγάλη ἐξουσία καὶ φόβος καὶ τρόμος παρῆλθεν οὖν ἐν μεγάλῃ καὶ βαθείᾳ σιωπῇ καὶ ἡ τετάρτη παρεμβολή, καὶ παραγενομένη ἔστη κατὰ δυσμάς. καὶ σκῆπτρα βασιλικὰ καὶ φοβερὰ ἐν ταῖς χερσὶ τῶν ἀρχόντων τῶν τοιούτων παρεμβολῶν, καὶ κατάστασις καὶ τάξις θαυμασιωτάτη. καὶ στάσις φρικτὴ καὶ ὑπακοὴ καὶ ὑποταγὴ πολυθαύμαστος ἀπὸ τῶν καταδεεστέρων τοῖς βελτιωτέροις ἀπονενέμητο καὶ ἐπεστράφη ἡ παρεμβολὴ ὡς κατὰ ἀνατολὰς βλέπειν, καὶ ηὔγαζον τὰ πρόσωπα αὐτῶν δόξαν Θεοῦ, καὶ ἀγαθὸν ἦν καὶ μακάριον καὶ ὑπὲρ πᾶσαν φύσιν ἀγαλλιάσεως τὸ καὶ μόνον θεωρεῖν τὴν τερπνότητα αὐτῶν. μετὰ γοῦν ταύτας, κατέβη ἑτέρα συναγωγὴ ὀχεῖα σφόδρα ὡσεὶ τάχος ἀστραπῆς καὶ μετὰ ταύτην ἑτέρα καὶ κατόπιν αὐτῆς ἄλλη. οὐχ ὁμοίαν δὲ ἀλλήλαις αἱ παρεμβολαὶ τοῖς σχήμασιν, ἀλλ' ἡ μὲν ὑπῆρχε λευκὴ ὡς τὸ φῶς, ἡ δὲ πυρκαιὴ ὡς ροδῆς φύλλον ἐρυθρὸν καὶ λίαν ὡραιόμορφον. καὶ ἡ μὲν ὡς χρυσίον καθαρὸν τῇ διαυγείᾳ καὶ τῇ στιλπνότητι καὶ τερπνότητι. ἡ δὲ ὡς ρόδον λευκὸν περιβεβλημένη καὶ πεποικιλμένη τηλικαύτης εὐπρεπείας τὴν ὠχρότητα. ἐλθοῦσαι τοίνυν ἄμφω ἔστησαν ἐν μέσῳ τῆς ὑπ' οὐρανὸν, καὶ εἰρηνεύσασαι ἐφ' ἑαυτὰς ἐχώρησαν μετὰ τοῦτο εἰς τέσσαρας ἀρχὰς καὶ ἐπορεύθη ἡ μία αὐτῶν καὶ κατεκράτησε τῆς μιᾶς γωνίας τῆς ὑπ' οὐρανόν. καὶ ἐπορεύθη ἡ ἑτέρα καὶ κατεκράτησε τῆς ἄλλης γωνίας τῆς ὑπ' οὐρανόν. καὶ αἱ ἄλλαι δύο παρεμβολαὶ πορευθεῖσαι ἐχόμεναι αὐτῶν κατέσχον τὰς ὑπολοίπους δύο γωνίας τῆς ὑπ' οὐρανόν καὶ παρέστησαν ἑτοιμάσαι ἐν ταῖς τάξεσιν αὐτῶν, καθὰ δὴ καὶ ἐκελεύσθη αὐταῖς. προσδεχόμεναι τοῦ Κριτοῦ τὴν ἐπέλευσιν. ἦν οὖν ἡ γῆ πεπλησμένη πλήθους ἀνθρώπων, ὁ ἀὴρ πλήθους ἀγγέλων καὶ ἀρχαγγέλων καὶ θείων στρατευμάτων τε καὶ δυνάμεων.

καὶ ἰδοὺ ἐξαίφνης ἐπάραντες τοὺς ὀφθαλμοὺς ἡμῶν ἀπὸ τῆς ἐν τούτοις θεωρίας ἐπὶ τὰ ἀνώτερα, ὁρῶμεν καὶ ἰδοὺ ἐπλήσθη ὁ οὐράνιος ἐκεῖνος ἀὴρ καθαπερεὶ ἀνθέων ἀφράστων νοητῶν δηλαδὴ πυρπνόων ῥόδων καὶ κρίνων πνευματικῶν ὅλων ἐπουρανίων καὶ ἰδοὺ ἅρματα πυρὸς προπορευόμενα καὶ ἐξαπτέρυγα καὶ πολυόμματα. καὶ ἐγέ-

νετο αὐτοῖς ῥῆμα Κυρίου, καὶ ἐν μέσῳ αὐτῶν ὁρῶντο φιάλαι πεπληρωμέναι ἀρωμάτων ἀνεκλαλήτων καὶ μύρων θεικῶν, καὶ ἐκέκραγον πορευόμενα βοῇ ἰσχυρᾷ καὶ κραταιᾷ σφόδρα· ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης Αὐτοῦ. ἀπὸ γοῦν τῆς κραυγῆς τούτων ἐτρόμαξεν ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ ἐκέκραξαν οἱ εἰς τὸ πρόσωπον τῆς γῆς καταβεβηκότες πάντες ἅγιοι ἄγγελοι, ἐν σεμνοτάτῃ καὶ ἱερεμαίᾳ φωνῇ, ἐπίσης καὶ ἐναρμονίως οἱ πάντες,—εὐλόγησον Πάτερ Παντοκράτορ εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Κύριος Ἰησοῦς Χριστός, Λόγος ὁ συναίδιος τῷ Πατρί, τὸ ἄναρχον γέννημα, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, ὁ Βασιλεὺς τῶν οὐρανῶν, ὁ Κύριος τῆς δόξης, ὁ Κυριος τῆς γῆς, ὁ λέων ὁ παμμέγιστος, ὁ Κριτὴς καὶ ἐξεταστὴς καὶ δικαστὴς ζώντων καὶ νεκρῶν, ἐπουρανίων, ἐπιγείων καὶ καταχθονίων, καὶ παντὸς ὀνόματος ὀνομαζομένου ἔν τε τοῖς ἄνω καὶ τοῖς κάτω καὶ πάσης ἀρχῆς καὶ ἐξουσίας. τούτων οὕτως λεχθέντων ὑπὸ πάσης ἀγγελικῆς στρατιᾶς, συνεστάλη φόβῳ πολλῷ ὁ οὐρανὸς καὶ ἡ γῆ ἀπὸ τῆς φρικτῆς ταύτης κραυγῆς καὶ κατέβη εἰς πρόσωπον τῆς γῆς τὰ τε τοῦ πυρὸς ἅρματα, καὶ τὰ ἐξαπτέρυγα καὶ τὰ πολυόμματα, καὶ ἐδόθη αὐτῶν τόπος καὶ παρελθόντες ἐκύκλωσαν αὐτὸν τὸν ἄστεκτον θρόνον τῆς θεότητος, ἤγουν τῆς φρικώδους ἑτοιμασίας τοῦ Κυρίου καὶ Βασιλέως καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἐνωτισάμενα οὖν τὰ πλήθη τῶν ἑβραίων καὶ τῶν ἀγαρηνῶν τὴν θείαν τῶν ἀγγέλων αἴνεσιν, καὶ ὅτι σύν τῷ Πατρὶ καὶ τὸν Υἱὸν ἐμεγάλυναν καὶ ὅτι Κριτὴν ζώντων καὶ νεκρῶν ἀπέφηναν τὸν Κύριον Ἰησοῦν Χριστόν, ἐλεεινὸν θρῆνον καὶ ὀδυνηρὸν ἀναδεξάμενοι λυγρῶς ἀπωδύροντο τὴν ἰδίαν ἀπώλειαν τούτων ὀδυρομένων ἰδοὺ σάλπιγγος φωνὴ λυγρὰ ἄνωθεν, καὶ αὕτη ἤχησε μάλα σφοδρῶς, ὥστε ἐφάψασθαι τὴν ταύτης φωνὴν καὶ ἠχὴν πασῶν τῶν διανοιῶν ἀγγελικῶν φημὶ καὶ ἀνθρωπίνων. καὶ ἐπέπεσε φόβος καὶ τρόμος εἰς τάς τάξεις τῶν ἀγγέλων τοῦ Θεοῦ. ἔγνωσαν γὰρ ἀπὸ τῆς φωνῆς ταύτης ἤδη παραγίνεσθαι τὸν Κριτήν.

καὶ ἰδοὺ εὐθέως νεφέλη φωτεινὴ λευκὴ ὥσπερ χιών καὶ αὕτη δρόσον εὐωδίας σταλάζουσα, καὶ ἐπ' αὐτῆς ὁ Κύριος Ἰησοῦς Χριστός. καὶ ἀπῆρεν αὐτὸν ἡ νεφέλη ὡς κατὰ ἀνατολὰς ἐπάνω τοῦ στερώματος καὶ ἀπήστραψε Κύριος ἀπὸ ἀνατολῶν. καὶ εὐθέως ἐβρόντησεν ἠχὼ πνοῆς βιαιοτάτης, ὥστε προσχεῖν πάντας πρὸς ἀνατολὰς ἀγγέλους καὶ ἀνθρώπους, καὶ εὐθέως αὐτὸς ἀνέτειλε πάσης πνοῆς ἀγγέλων καὶ ἀνθρώπων καθορώσης αὐτόν. καὶ ἐγένετο ἐν τῷ καθέζεσθαι ἐπὶ τοῖς φρικωδεστάτοις ἐκείνης νεφέλης πεπυρακτωμένον σφό-

δρα τῇ αἴγλῃ τῆς θεότητος, ἔρχεται ἡ νεφέλη φέρουσα αὐτὸν, ὡς ἐπὶ τὸν θεῖον θρόνον τῆς δόξης αὐτοῦ. καὶ πᾶς ὀφθαλμὸς ἑώρα αὐτὸν, καὶ ἔφριττον οἱ υἱοὶ τῶν ἀνθρώπων φόβῳ καὶ τρόμῳ, καὶ οἱ ἰσραηλῖται ἰλιγγίων. καὶ εὐθέως ἐβόησε πρὸς αὐτὸν πᾶσα πνοὴ ἀγγέλων καὶ ἀνθρώπων οὑτωσὶ κραυγάζουσαι· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Θεὸς Κύριος. καὶ ἐληλύθει Κριτὴς ζώντων καὶ νεκρῶν. καὶ μετὰ τὴν ἐξομολόγησιν ταύτην, ἔπεσον ἐπὶ πρόσωπον αὐτοῦ πάντες οἱ ἄγγελοι ἐπὶ τοῦ ἀέρος καὶ προσεκύνησαν τῷ δικαίῳ Κριτῇ. καὶ τοῦτο θεασάμενοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ἔπεσον καὶ αὐτοὶ πάντες ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν φόβῳ καὶ τρόμῳ, καὶ προσεκύνησαν τῷ φοβερῷ Θεῷ καὶ Κριτῇ καὶ Βασιλεῖ τῶν αἰώνων. καὶ πρὸ τοῦ ἀναστῆναι αὐτούς, κουφίσας ὁ Κύριος ἑαυτὸν ἀπὸ τῆς φωτεινῆς νεφέλης ἐκάθισεν ἐπὶ θρόνου δόξης ἁγίου αὐτοῦ φοβερὰν τὴν εἴσβλεψιν ἐπιδεικνύμενος. καὶ ὁ θυμὸς ὁ ἅγιος τῆς δικαιοσύνης θερμῶς καὶ ζέων ἐν τῇ δυνάμει αὐτοῦ καὶ ἀνέστησαν πάντες οἱ υἱοὶ τῶν ἀνθρώπων ἀπὸ τῆς εἰς γῆν προσκυνήσεως. καὶ θεασάμενοι αὐτὸν ἐπὶ θρόνου δόξης αὐτοῦ ἐπαναπαυόμενον, φρίκῃ φρικωδεστάτῃ καὶ ἀγωνίᾳ σὺν τρόμῳ συνεσχέθησαν. καὶ ἰδοὺ ἔτρεμεν ὁ οὐρανὸς ὡς δορὰ μεμβράνης ὑπὸ χειρὸς ἀνθρώπου σπαρασσομένη, καὶ ἰδοὺ ἐκλονεῖτο πᾶσα ἡ γῆ ὡς παιδίου γαλακτοτροφουμένου κούνα βιαίως ὑπὸ τινος σειομένη, καὶ ἐβόησαν φωνῇ μεγάλῃ πάντες οἱ ἄγγελοι τῶν οὐρανῶν κατὰ πρόσωπον πάντων τῶν υἱῶν τῶν ἀνθρώπων εὐδοκοῦντες τοῦ Κυρίου, καὶ νεύματι προτρεπομένου αὐτοὺς εἰς τοῦτο, ὥστε αἰσχυνθῆναι πάντας τοὺς αἱρετικοὺς καὶ ἀπίστους καὶ αὐτοὺς δὴ τοὺς βεβήλους ἰουδαίους καὶ ἀγαρηνοὺς καὶ πάντα τὰ ἔθνη τὰ μὴ δεξάμενα τὸ ἅγιον αὐτοῦ Εὐαγγέλιον καὶ τὸ κήρυγμα τῶν ἁγίων αὐτοῦ μαθητῶν καὶ ἀποστόλων. καὶ εἶπον· σὺ εἶ ὁ Υἱὸς καὶ Λόγος τοῦ Ὑψίστου, ὃν γεγέννηκεν ὁ Πατὴρ πρὸ τῶν αἰώνων ἀπαθῶς ἀρρεύστως καὶ ἀμειώτως, ὁ διπλοῦς ταῖς φύσεσι καὶ ταῖς οὐσίαις καὶ ταῖς θελήμασι. μιᾷ δὲ τῇ ὑποστάσει γνωριζόμενος, εἷς Κύριος Ἰησοῦς Χριστός, Λόγος Θεοῦ ἐνυπόστατος, ὁ εἰς σάρκα παγεὶς καὶ μὴ τραπεὶς τοῦ εἶναι Θεός. ὁ ἐκ τῆς Θεοτόκου Μαρίας σάρκα προσλαβόμενος ἄνευ θελήματος σαρκός, καὶ εἰς τὸν κόσμον προβάς, καὶ σημεῖα καὶ τέρατα ποιήσας, καὶ κηρύξας τῷ κόσμῳ τὴν βασιλείαν τοῦ Πατρός. σὺ εἶ ὁ Θεὸς ἡμῶν σὺν τῷ Πατρὶ καὶ Πνεύματι, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν θεόν. καὶ σεσιγήκασι ταῦτα εἰρηκότες οἱ ἅγιοι ἄγγελοι.

καὶ ἔφριξεν Ἄννας καὶ Καϊάφας οἱ παράνομοι, καὶ πᾶς ὁ δῆμος αὐτῶν, καὶ ἐτρόμαξεν Ἄρειος ὁ ἄφρων, καὶ Μωάμεθ ὁ ἐπάρατος, καὶ

ἁπάσης αἱρέσεως οἱ πονηρότατοι ἔξαρχοι σὺν ταῖς κουστωδίαις αὐτῶν. εὐθέως οὖν ἐπέβλεψεν ὁ Κύριος εἰς τὸ πρόσωπον τοῦ οὐρανοῦ, ὅς καὶ ἔφυγεν ἀπὸ προσώπου αὐτοῦ ἐκ τοῦ φόβου καὶ τόπος οὐχ εὑρέθη ἐν αὐτῷ καὶ μεμενήκαμεν ἡμεῖς ἐπὶ τοῦ σκοποῦ, διότι πέφευγε τὰ ὑποκάτω ἡμῶν, καὶ αὐτὸς ἵστατο ἀκλόνητος ἐπὶ τοῦ ἀέρος, καὶ ἡ πόλις ἡ θαυμαστὴ μεμένηκε στερεὰ ἐπὶ τὸν τόπον ἐφ' ὃν ᾠκοδόμητο, ὅτι Πνεῦμα Κυρίου συνέσχεν αὐτήν.

καὶ εὐθέως ἐπεῖδε Κύριος ἐν ὀργῇ αὐτοῦ ἐπὶ πρόσωπον τῆς γῆς. καὶ εἶδεν αὐτὸ καὶ ἦν μεμολυσμένον σφόδρα ἀπὸ τοῦ πλήθους τῶν ἁμαρτιῶν τῶν υἱῶν τῶν ἀνθρώπων, αἷς ἐμόλυνεν αὐτὸ οἱ ἀπ' αἰῶνος ἄνθρωποι οἱ τοῖς εἰδώλοις λατρεύσαντες καὶ ταῖς μαγείαις καί φαρμακείαις καὶ αἱμομιξίαις ἀκολουθοῦντες ἠσχολοῦντο. οἱ ταῖς ἀνδρομανίαις καὶ μοιχείαις καὶ μιαιφονίαις ἐλεεινῶς συμφυραθέντες. καὶ εἶδε Κύριος τὴν γῆν ἐν θυμῷ Αὐτοῦ, καὶ αὕτη ἔφυγεν ἀπὸ προσώπου αὐτοῦ, καὶ τόπος οὐχ εὑρέθη ἐν αὐτῇ. καὶ ἰδού εἱστήκεσαν οἱ πάντες ἐπὶ τοῦ ἀέρος ἀκλονήτως.

καὶ ἐξέτεινεν ὁ φοβερὸς Κύριος τὴν χεῖρα αὐτοῦ καὶ ἐπέβλεψεν ἐπὶ τὰ ἄνω βάθη τῶν ὑψωμάτων, καὶ επὶ τὰ κάτω βάθη τῆς ἀβύσσου καὶ ἰδοὺ νέος οὐρανός καινὸς καὶ νέα καὶ καινὴ γῆ, τὸ πρόσωπον αὐτῆς δεδοξασμένον σφόδρα, ὥσπερ χιόνος ἄρτι πεσούσης, ἠλλοίωτο γὰρ ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν ἐπελθοῦσα καὶ ἔστη καὶ ἰδοὺ τὸ στερέωμα τοῦ οὐρανοῦ ἅπαν ὡς ἡ ὅρασις τοῦ ἡλίου, ὁπόταν τῷ πρωῒ ἀνατέλλοντος αὐτοῦ καθορᾶται μὴ ἔχουσα ἀκτῖνας. τὰ δὲ ἄστρα ἀπώλοντο ἐξ αὐτοῦ. οἱ γὰρ ἅγιοι ἀναπληροῦσι τὸν τῶν ἀστέρων τόπον, καὶ ἥλιος οὐκ ἦν ἐν αὐτῷ, ἐπειδή ἀνατολή ἀνέτειλε πᾶσι τοῖς υἱοῖς τῶν ἀνθρώπων—ὁ τῆς δικαιοσύνης ἥλιος Ἰησοῦς ὁ Κύριος.

καὶ ἐπέβλεψεν αὖθις ὁ Κύριος ἐπὶ τὸ κάλλος τοῦ προσώπου τῆς γῆς καὶ ἐπὶ τὸν τόπον τῆς θαλάσσης ἐν ᾧ ὑπῆρχον συνηγμένα τὰ ἁλμυρὰ ὕδατα πρὸ τῆς καινῆς ἀλλοιώσεως. καὶ ἰδοὺ ἐξανέτειλεν ἀντὶ τοῦ ὕδατος τῆς θαλάσσης ποταμὸς πυρός, οὗπερ ἡ φλόξ ἀνῆπτε καί ἀφικνεῖτο μέχρι τοῦ στερεώματος τοῦ οὐρανοῦ καὶ ἐξήρχετο βρέμων καὶ παφλάζων καὶ πελαγίζων ἕως οὗ ἐκάλυψε πάντα τὰ πληρώματα τὰ ἀφορισθέντα αὐτῷ.

μετὰ τοῦτο ὁρῶμεν, καὶ ἐπέβλεψεν ὁ Κύριος ἐπί πάντα υἱὸν ἀνθρώπου καὶ ἐπὶ πάντα εἰδωλολάτρην, οἵτινες ἐπορεύθησαν ἐν ματαιότητι καὶ δολιότητι ζωὴν πονηρὰν καὶ μοχθηρὰν ζήσαντες ὡς τὰ ἄλογα κτήνη. καὶ ἰδού τάγμα φοβερὸν πυρίνων ἀγγέλων ἀπὸ δυσμῶν παρεγένετο, καὶ ἐπέβαλλον τὰς χεῖρας αὐτῶν ἐπὶ πάντας τοὺς ἀνόμους καὶ ἁμαρτωλοὺς τῆς γῆς, καὶ κατενώπιον ἀγγέλων καὶ ἁγίων ἀνθρώ-

πων τῶν ἔτι κριθήσεσθαι μελλόντων κατὰ τὰ ἔργα αὐτῶν, ἐνέβαλλον αὐτοὺς ἅπαντας ἕνα καθ' ἕνα εἰς τὴν θάλασσαν ἐκείνην τοῦ πυρὸς ἕως εἰς τέλος ἐξέλιπον. τὸ μέντοι τάγμα τὸ ὑπερετῆσαν τῷ τοῦ Κυρίου προστάγματι παρελθόν ἔστη σὺν εὐλαβείᾳ καὶ φόβῳ ἐν τῇ τάξει αὐτοῦ καὶ κατελείφθησαν οἱ πρὸ τοῦ κατακλυσμοῦ ἐκλεκτοὶ Κυρίου. καὶ κατελείφθησαν πάντες οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ Αβραάμ, ἀπὸ Μωϋσέως καὶ μέχρι τῆς συντελείας. καὶ οἱ ἀπὸ τῶν ἁγίων ἀποστόλων χριστιανοὶ καὶ ἅπαν τὸ γένος αὐτῶν ἄχρι τῆς συντελείας. καὶ κατελείφθησαν οἱ ἀπὸ παντὸς γένους καὶ ἔθνους χριστιανοὶ καὶ οἱ ἀπὸ τῶν ἐθνῶν τὴν ἄνω πρόνοιαν σεβασθέντες, οἵτινες οὐκ ἔκλιναν γόνυ τοῖς εἰδώλοις πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας γεννηθέντες.

ἐν δὲ τῷ εἰσάγεσθαι τοὺς ἀσεβεῖς ἐκείνους εἰς τὴν θάλασσαν τοῦ πυρός, ἦν θρῆνος μέγας καὶ ὀδυρμὸς φοβερὸς ἐν μέσῳ τῆς συναγωγῆς αὐτῶν, ὡς εἰπεῖν σχεδὸν καὶ αὐτὸν τὸν οὐρανὸν καὶ τοὺς ἁγίους ἀγγέλους τοῦ Θεοῦ κατανυσσομένους καὶ ἀποδύρεσθαι ἐπὶ τῇ αἰωνίῳ ἀτελευτήτῳ κατακρίσει αὐτῶν. οἱ οὖν ἐναπομείναντες καθὼς εἴρηται βλέποντες τοὺς εἰδωλολάτρας βαλλομένους ἐν τῇ φοβερᾷ πυρκαϊᾷ ἐκείνῃ οὕτως ἀποτόμως, ἔφριττον ἱλιγγιῶντες καὶ ἔτρεμον συνορῶντες καὶ μᾶλλον οἱ πλείους ἐξ αὐτῶν σκοτιζομένους ἑαυτοὺς καὶ τὴν δυσείμονα μορφὴν τῶν ἔργων αὐτῶν αἰσχρῶς περιφέροντας καὶ τὴν ἐπιγραφὴν τὴν ἐνὶ ἑκάστῳ ἐγκειμένην καὶ δηλοῦσαν ἢ τὴν σωτηρίαν ἢ τὴν καταδίκην ἑκάστου.

ὡς οὖν ἀπέμειναν οἱ τὸν νόμον δεξάμενοι ἵνα τίσωσι δίκην ὅπως τὸν νόμον ἐτήρησαν, ἐπέβλεψεν ὁ Κύριος κατὰ ἀνατολὰς τῷ περιστρατεύματι αὐτοῦ, καὶ ἰδοὺ τὰ κατὰ ἀνατολὰς στρατεύματα ἐσάλπισαν ἐν σάλπιγγι φρικωδεστάτῃ, καὶ ἐγένετο τόπος ἑτοιμασίας ἐν τοῖς δεξιοῖς τοῦ Κριτοῦ φοβερὸς καὶ μέγας, καὶ διεσπάρη τὸ κατ' ἀνατολὰς στράτευμα τοῦ Θεοῦ τὸ σαλπίσαν, καὶ διεσκορπίσθη εἰς πᾶσαν τὴν τετραπέρατον ὡσεὶ τάχος ἀστραπῆς. σαλπίζοντες μὲν οἱ ἐν τούτῳ ἐξάρχοντες ἐν εὐήχοις σάλπιγξιν, οἱ δὲ λοιποὶ αὐτῶν ἐπετήρουν εἰς τὸ πρόσωπον τῆς γῆς. καὶ ἔνθα ἂν ηὕρισκον τοὺς τὰ φαιδρὰ πρόσωπα κεκτημένους, καὶ τοὺς τὴν ἀνεκλάλητον εὐφροσύνην ἔχοντας ἐν ἑαυτοῖς, καὶ τοὺς τῇ καθαρᾷ αἴγλῃ τῆς δικαιοσύνης περιαστραπτομένους ἀσπαζόμενοι καὶ ἐντίμως λαμβάνοντες αὐτοὺς ροίζῳ τῶν πτερύγων αὐτῶν, ἐν μεγίστῃ καὶ ἀνεκλαλήτῳ εὐφροσύνῃ ἀπεκόμιζον αὐτοὺς ἐν τοῖς δεδοξασμένοις τόποις ἐκ δεξιῶν τοῦ Κριτοῦ. καὶ πάλιν ἐξεπορεύοντο ἐκεῖθεν καὶ διεσκορπίζοντο ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς, καὶ ἠφόριζον τοὺς ἐκλεκτοὺς τοῦ Θεοῦ ἀπὸ τῶν ἐν ἀνομίαις τὸν βίον αὐτῶν καταμολυνάντων. καὶ σὺν μεγίστῃ παρρη-

σίᾳ καὶ δόξῃ καί τιμῇ τούτους ἐπέφερον ἐν τοῖς δεξιοῖς τοῦ Κριτοῦ. καὶ ἐγένετο ἐν τῷ ἐπισυναχθῆναι πάντας τοὺς ἐκλεκτοὺς διὰ νεφελῶν ἀέρων καὶ στῆναι ἐκ δεξιῶν τοῦ Κριτοῦ. ἐπέβλεψεν ὁ Κύριος πρὸς ἄρκτον καὶ μεσημβρίαν, καὶ ἰδοὺ δὶς δύο παρεμβολαὶ τῶν ἀγγέλων ἐπορεύθησαν καὶ ἀποκατέστησαν πάντας τοὺς ὑπολειφθέντας υἱοὺς αὐτῶν τῶν γηγενῶν ἐν τοῖς εὐωνύμοις τοῦ Κριτοῦ τύπτοντες καὶ μαστίζοντες τοὺς μὴ πειθομένους σπουδαίως ἔπεσθαι. καὶ ἐν τῷ ἀποκαταστῆναι πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς εἰς τὰ εὐώνυμα τοῦ Κριτοῦ καὶ οὗτοι ἦσαν ὑπὲρ τὴν ψάμμον τῆς θαλάσσης. ἀπὸ γὰρ τοῦ σωτηρίου σπόρου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἤτοι τοῦ διὰ τοῦ ἁγίου εὐαγγελίου ἐφ' ὅλην τὴν οἰκουμένην σπαρέντος, τὰ τρία ἀπώλετο καὶ τὸ ἓν περισέσωστο. καὶ ἦσαν τὰ μὲν δεξιὰ τοῦ Κριτοῦ λαμπρότητι λάμποντα καὶ φαιδρὰ αἴγλῃ περιαυγαζόμενα. τὰ δέ γε εὐώνυμα ὀκυθρωπὰ καὶ κατανενυγμένα. θεασάμενος δὲ ὁ Κύριος τὴν τῶν ἁγίων αὐτοῦ φαιδρότητα, καὶ ἀγαλλιασθεὶς ἐπ' αὐτοῖς, ἐφώνησε φωνῇ μεγάλῃ καὶ εἶπεν αὐτοῖς τοῖς ἐκ δεξιῶν αὐτοῦ· δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου. ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν ἐδίψησα καὶ ἐποτίσατέ με. ξένος ἤμην καὶ συνηγάγετέ με ἕως τῆς οἰκίας ὑμῶν. γυμνὸς καὶ ἱματίοις ὑμῶν περιεβάλετέ με. ἐν φυλακῇ καὶ ἐπεσκέψασθέ με ἐν ἀσθενείᾳ καὶ ἀπορίᾳ τῶν προσηκόντων καὶ διηκονήσατέ μοι ἐν θλίψεσι καὶ πειρασμοῖς ποικίλοις περιπέπτωκα καὶ ἐληλύθατε τοῦ παρακαλέσαι με, καὶ πᾶσι τρόποις ἀγαθοῖς μετὰ τῆς εἰς τὸν πλησίον ἀγάπης ἐμὲ ἐθεραπεύσατε οἱ δὲ ἀποκριθέντες εἶπον· Δέσποτα, πότε σὲ εἴδομεν πεινῶντα καὶ ἐθρέψαμεν, ἢ διψῶντα καὶ ἐποτίσαμεν; πότε δὲ ξένος γέγονας ἢ γυμνὸς ἢ ἐν φυλακῇ ἢ ἐν ἀσθενείᾳ ἢ ἐν θλίψεσι καὶ πειρατηρίοις διαφόροις, καὶ διηκονήσαμέν σοι, παράκλησις καὶ παραμυθία σοι γεγενημένοι; καὶ ἀπεκρίθη ὁ Κύριος καὶ εἶπεν αὐτοῖς· ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τουτῶν τῶν ἀδελφῶν Μου τῶν ἐλαχίστων, ἐμὲ ἐποιήσατε (δείξας αὐτοῖς τοὺς παρισταμένους αὐτῷ ἁγίους πένητας) ἐπείνασα δὲ καὶ ἐδίψησα καὶ ἐζήτησα τὴν ὑμῶν σωτηρίαν, καὶ ἐνεπλήσατε καὶ εὐφράνατέ με ταῖς ἀγαθοπραγίαις ὑμῶν. τοῦτο γὰρ ἐμὸν βρῶμα καὶ πόμα καὶ περιβόλαιον καὶ πᾶσα ἀνάπαυσις καὶ εὐφροσύνη ἐστὶ καὶ θέλημα τοῦ Πατρός μου, τὸ σωθῆναι πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

τότε ἐπέβλεψε καὶ τοῖς ἐξ εὐωνύμων καὶ εἶδε πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς καὶ ἐταράχθη καὶ ἐν θυμῷ καὶ ὀργῇ τῇ δικαίᾳ, καὶ ἐβδελύξατο τὴν ἀσχημοσύνην αὐτῶν, καὶ ἀποτόμως εἶπεν αὐτοῖς· ἀπέλθετε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ ἄσβεστον τὸ ἡτοιμασμένον οὐχ ὑμῖν, ἀλλὰ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐπεί-

νασα γὰρ καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα καὶ οὐκ ἐποτίσατέ με, ξένος ἤμην καὶ οὐ συνηγάγετέ με, γυμνὸς καὶ ἐν φυλακῇ καὶ οὐκ ἐπεσκέψασθέ με, ἀσθενὴς καὶ ἐν ἀπορίᾳ τῶν ἀναγκαίων καὶ οὐ διηκονήσατέ μοι. ἀπέλθετε ἀπ᾽ ἐμοῦ πάντες οἱ ἁμαρτωλοὶ καὶ βέβηλοι, οἱ ἐργάται τῆς ἀνομίας καὶ πάσης αἰσχρουργίας καὶ ἀκαθαρσίας, οἱ λαθροκακοῦργοι, οἱ ἀμετανόητοι, οἱ ἀνεξαγόρευτοι, οἱ κτηνώδεις καὶ τὴν ἑαυτῶν σάρκα καταμιάναντες, οἱ μνησίκακοι, οἱ φιλολοίδοροι, οἱ κατάλαλοι, οἱ ράθυμοι, οἱ τὸν ἑαυτῶν βίον ἐν ματαίοις καταναλώσαντες καὶ τοῦτον ὑπεξελθόντες ἀμετανόητοι, οἱ ἀνελεήμονες, οἱ τὰ τῶν ἀδελφῶν μου τῶν πενήτων ἁρπάσαντες καὶ εἰς τὰς ἰδίας ἐπιθυμίας κενώσαντες καὶ παρ᾽ ἑαυτῶν ἀποθησαυρίσαντες. οὐκ οἶδα ὑμᾶς, οὐ γνωρίζω τινὰ ἐξ ὑμῶν. τότε ἀκούσαντες ἐκεῖνοι τὴν φοβερὰν ταύτην ἀπόφασιν ἐταράχθησαν, ἐσαλεύθησαν, τρόμος ἐπελάβετο αὐτῶν, καί ὀδυρόμενοι εἶπον Κριτὰ ἀπροσωπόληπτε, πότε σὲ εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ γυμνόν, ἢ ξένον, ἢ ἐν ἀσθενείᾳ, καὶ οὐ διηκονήσαμέν σοι, τότε ὁ Βασιλεὺς ἐταράχθη καὶ ἀπεκρίθη αὐτοῖς μετ᾽ ὀργῆς· ἐφ᾽ ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, οὐδ᾽ ἐμοὶ ἐποιήσατε. ἑαυτοὺς οὐκ ἠλεήσατε, οὐδὲ ἐθρέψατε ἐμὲ πεινῶντα καὶ διψῶντα τὴν ὑμῶν σωτηρίαν. ἀπόστητε ἀπ᾽ ἐμοῦ, οἱ ἐμὲ λυπήσαντες [1—, ἐπὶ τῇ ὑμῶν ἀπωλείᾳ καὶ τὸν διάβολον θεραπεύσαντες —1]. καὶ μηδὲ κἂν ἐν ταῖς ἐσχάταις ὑμῶν ἀναπνοαῖς μετανοήσαντες. οἱ δὲ τὰ φρικώδη ταῦτα καὶ θεῖα ῥήματα παρὰ τοῦ δικαίου Κριτοῦ ἐνωτισάμενοι δάκρυσι ἐλεεινοῖς ἑαυτοὺς ἀπωδύροντο, καὶ ὁ ἐλεῶν οὐκ ἦν, καὶ ὁ σπλαγχνιζόμενος οὐχ εὑρίσκετο.

καὶ ἐπέβλεψεν ἔτι ὁ Κύριος ἐπὶ τὸ πρόσωπον τῆς νέας γῆς, καὶ ἐπ᾽ αὐτῇ ὄρη οὐκ ἦν ἀναβαίνοντα, καὶ πεδιάδες καταβαίνουσαι οὐκ ἐχρημάτιζον. ἀλλ᾽ ἦν τὸ πρόσωπον αὐτῆς καθαρὸν καὶ λευκὸν ὡσεὶ γάλα τετυρωμένον ἢ χιὼν ἄρτι τῶν οὐρανῶν κατιοῦσα. καὶ ἦν ὅλη δεδοξασμένη. καὶ ἰδοὺ ἐπ᾽ αὐτῇ φυτὰ πολυειδῆ, ἃ σοφία ἀνθρωπίνη ἐπεξηγήσασθαι οὐ δύναται. καὶ ὅτι ἀνέβη τὰ φρικώδη ταῦτα φυτὰ εἰς τὸ πρόσωπον αὐτῆς, ἐξήνθησε μυριοπλασίως εἴδη ἀνθέων ἀπόρρητα καὶ τερπνότατα, ὧν τὴν θέαν καὶ τὴν ἡδύτητα τῆς ὀδμῆς τῆς ἐξ αὐτῶν ἐκπεμπομένης διηγήσασθαι νοῦς βρότειος ἀδυνατεῖ, καὶ ὅλως ἰλιγγιᾷ τὴν αὐτῆς ἑρμηνείαν ἐξειπεῖν. τηλικαύτην γὰρ εὐπρέπειαν τοῦ ἐξανθισμοῦ αὐτῶν ἐνεδύσατο ἡ θαυμασία ἐκείνη γῆ ὡς ἐμὲ ὑπερεκπλαγέντα τῇ ταύτης θεωρίᾳ [2] καὶ εὐμορφίᾳ καὶ ἡδύτητι, τολμη-

---

1—1 нѣтъ.

2 нѣтъ.

ρῶς εἰπεῖν πρὸς τὸν σὺν ἐμοὶ θεῖον ἄγγελον ὄντα, τίς ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν περὶ ἧς ἐγὼ ἀκούω ὅτι θαυμαστή τίς ἐστι καὶ ἀπόρρητος. τί περισσότερον ταύτης ἔχειν ὀφείλει ἐκείνη; ὄντως αὕτη ἀληθινὴ βασιλεία τῶν οὐρανῶν; ὁ δὲ ἀποκριθεὶς ἔφησε πρός με οὐκ οἶδας σύ τι περὶ ὧν νῦν λέγεις αὕτη γὰρ ἣν νῦν ὁρᾷς γῆν τῶν πραέων ἐστί, περὶ ἧς ἐν τοῖς ἁγίοις εὐαγγελίοις εἴρηται, ὅτι [1] μακάριοι οἱ πραεῖς, ὅτι [2] αὐτοὶ κληρονομήσουσι τὴν γῆν. ἡ δὲ τῶν οὐρανῶν βασιλεία ἐν τοῖς οὐρανοῖς ἐστί καὶ πᾶσιν ἀκατάληπτος καὶ οὐδενὶ τῶν κατ᾽ αἴσθησιν ἰσόρροπος. ἐπεὶ δὲ ἐθαυμάζομεν ἐπὶ τῇ ἐξανθήσει τῶν ἐξαισίων ἐκείνων καὶ μυριπνόων ποικιλομόρφων ἀνθέων καὶ οἷον σκιρτῶντες καὶ τούτοις ἐπαγαλλόμενοι, ὁρῶμεν καὶ ἰδοὺ ἕτερα φυτὰ πλείονα τῶν πρώτων σφόδρα, ἃ καὶ ἀνέτειλε καρπὸν ἀσύγκριτον τῷ πλήθει, ξένον τῇ ἰδέᾳ θαυμαστὸν τῇ εὐωδίᾳ καὶ ἡδὺν τῇ γεύσει καὶ τῇ ἀιδιότητι τῇ ἀγήρῳ.

καὶ ἰδοὺ ἐπέβλεψεν ὁ Κύριος ἐπὶ τὴν τοιαύτην ἄφθαρτον γῆν, καὶ ἐπλήσθη ἅπαν τὸ πρόσωπον αὐτῆς βοτάνης θαυμαστῆς, ἥτις ἦν χρυσαυγίζουσα καὶ μυρμηδὸν ἀσυγκρίτως τὰ ἐπ᾽ αὐτῇ, ρόδα καὶ κρίνα ἀνατέλλουσα, καὶ ἐξέστην ἐγὼ ἐπὶ τῷ κάλλει αὐτῆς, καὶ ἰλιγγίασα καὶ ἔφριξα, ἐπειδὴ κόρος οὐκ ἦν τῆς γλυκείας ὁράσεως αὐτῆς. ὁ γὰρ Κύριος Θεὸς ἐστόλισε τὴν γῆν ταύτην ὡς νύμφην ἐν παστῷ φαιδρύνας καὶ καλλύνας αὐτὴν ἐξαισίως ἐν ὡραιότητι ἀπείρῳ καὶ φαιδρότητι εἰς ὑποδοχὴν τῶν τέκνων Αὐτοῦ.

μετὰ ταῦτα ἐπέβλεψεν αὖθις ὁ Κύριος ἐπὶ πρόσωπον πάσης τῆς θαυμαστῆς γῆς ἐκείνης, καὶ αὕτη ἀνέβλυσε ποταμὸν μέλιτος καὶ ποταμὸν γάλακτος ἐπὶ τὸ αὐτό. τὸ δὲ μέλι ὑπῆρχε καθαρώτατον καθαπερεὶ δάκρυον καὶ διεπορεύετο ἐπὶ πᾶν τὸ πρόσωπον τῆς [3] ξηρᾶς [4] μὴ συμμεμιγμένον τῷ ἡδεῖ ἐκεῖνο μέλιτι, ἀλλὰ ἰδίως κλύζον καὶ αὐτὸ τὰς ρίζας τῶν φυτῶν τῆς αὐτῆς μακαρίας γῆς, τῶν τοῖς ἄνθεσι καὶ μόνοις ἀιδίως ὡραιζομένων δηλονότι, τῶν γὰρ τῷ ὡραιοτάτῳ καρπῷ βριθόντων δένδρων τὰς ρίζας, ὁ ποταμὸς τοῦ καθαρωτάτου μέλιτος καὶ μόνος ἀϊδίως ὡς λόγου μετέχων εὐφυῶς καὶ ἁρμοζόντως ἤρδευε καὶ ἐπέκλυσε καὶ τούτους ἠρέμα ἐχεχεῖτο. πρὸς ἐπὶ τούτοις ὁρῶμεν, καὶ ἰδοὺ τί εἰς αὐτὰ προβλέψει τοῦ Κριτοῦ, ἦλθον ὡς ἀπὸ ἀνατολῶν στρουθία ὡραίομορφα ὡς νέφος, καὶ ἡπλώθη ἐπὶ πᾶν

---

[1] нѣтъ.

[2] ἐπειδή.

[3] доб. τὸ δὲ γάλα καὶ αὐτὸ παραπλησίως κεκαθαρμένον ὡσεὶ χιὼν ἐκπορευόμενον ἐπὶ πᾶν τὸ πρόσωπον τῆς.

[4] доб. τῆς.

τὸ πρόσωπον τῆς γῆς ἐκείνης καὶ ἐπλήσθη τὰ πάντα τὰ φυτὰ ἀπὸ τῶν τοιούτων στρουθίων, καὶ αὐτὰ ἐτέρφθη ἐπὶ τῷ κάλλει τῆς ἀφθαρτισθείσης κτίσεως καὶ ἀγαλλιασθέντα σφόδρα ἤρξαντο ἐκ περιχαρείας κελαδεῖν λίαν γεγωνοτέρᾳ καὶ ἡδυτάτῃ φθογγῇ, ὡς ἐχηχεῖσθαι καὶ τὴν τούτων φωνὴν ἀνέρχεσθαι μέχρι τῶν ἀψίδων τοῦ οὐρανοῦ· ἔφριξεν οὖν καὶ ἐξέστη πᾶσα ἡ συναγωγὴ τῶν παρισταμένων τῷ αἰωνίῳ Κριτῇ ἀπὸ τῆς αἰφνιδίου κραυγῆς τῶν ἀρξαμένων κελαδεῖν καὶ ὑμνεῖν αὐτὸν τὸν Κύριον καὶ Θεὸν φοβερώτατων ἐκείνων στρουθίων. καὶ ταῦτα τὰ στρουθία ὡς ὁ συνών μοι διηγήσατο ὁ θεῖος καὶ θαυμαστότατος ἄγγελος, οὐ τῇ φθορᾷ καὶ ἀλλοιώσει καὶ τῆς γονῆς αὔξει ὡς τὰ ἐν τῷ παρόντι πολυστενάκτῳ βίῳ ὑπάρχοντα τυγχάνειν ἔφασκεν ὑποκείμενα, ἀλλ' ἐπίσης τῇ λοιπῇ κτίσει, καὶ ταῦτα ἀφθαρσίᾳ τετίμηντο, καὶ τῇ εἰς αἰῶνας αἰώνων ἀγήρῳ καὶ ἀϊδίῳ διαμονῇ.

καὶ μετὰ τὸ συντελεσθῆναι οὕτω ταῦτα, ἐπέβλεψεν αὖθις ὁ Κύριος ἐπὶ τὰ ὕψη τῶν οὐρανῶν, καὶ ἰδοὺ ἠνοίγη ὁ νέος οὐρανός, καὶ ἰδού στρατεύματα ἀγγέλων καὶ ἀρχαγγέλων ἐν δόξῃ πολλῇ κατερχόμενα, καὶ αὐτὰ ἔφερον τὴν πόλιν τοῦ Θεοῦ τὴν θαυμαστὴν ἐκείνην ἐπὶ τῆς γῆς κατὰ ἀνατολὰς καὶ ὁ παράδεισος τοῦ Θεοῦ ὁ κατὰ ἀνατολὰς καὶ ἡ Ἐδὲμ συμπεριελήφθη ἔνδον τῆς φρικωδεστάτης πόλεως ἐκείνης τῆς θαυμαστῆς. καὶ ἐπέβλεψεν ὁ Κύριος ἐπὶ τὴν πόλιν καὶ ἐστερεώθη θαυμαστῶς ἐπὶ τῷ τόπῳ καὶ πάντα τὰ ἀγαθὰ αὐτῆς ἐν μέσῳ αὐτῆς. καὶ ἐξερεύνησις τῆς καλλονῆς τῆς πόλεως οὐχ ηὑρίσκετο, διότι αὕτη ἦν ἡ πόλις τοῦ Θεοῦ ἡ μεγάλη, ἡ ἄνω μητρόπολις Σιών, ἡ ἄνω Ἱερουσαλήμ, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός, ἧς ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ. κύκλῳ γὰρ αὐτῆς αἱ στρατιαὶ πᾶσαι τῶν οὐρανίων δυνάμεων, καὶ Κύριος Ἰησοῦς Χριστός κύκλῳ τοῦ ἐκεῖσε κατατομένου λαοῦ. καὶ ἐν τῷ στερεωθῆναι τὴν πόλιν ἐπὶ τὸν τόπον αὐτῆς ἠῦγασε τὰ πέρατα ἀπὸ τοῦ ἀπείρου φέγγους τῶν ὑπερλάμπρων θεμελίων αὐτῆς καὶ τῶν ἀκτίνων τῆς δυνάμεως αὐτῆς οἱ γὰρ δόμοι αὐτῆς ὡς εἴρηται ἐκ μυριοφανῶν πνευματικῶν βαφῶν ξένως πως καὶ ἀνερμηνεύτως συντεθειμμένοι ἀγαλλίασιν ἀνερμήνευτον τοῖς ὁρῶσιν κατέχουσιν. αἱ δὲ πύλαι αὐτῆς ἀνατέλλουσαι ὥσπερ ἥλιος, καὶ λαμπρότης φρικωδεστάτη περικύκλῳ αὐτῆς. καὶ θεασάμενος ὁ φοβερώτατος Κριτὴς ἐκεῖνος τῷ περιστρέμματι Αὐτοῦ τὴν ὡραιότητα τῆς πνευματικῆς πόλεως αὐτοῦ, ἐπένευσε ταῖς δυνάμεσιν Αὐτοῦ καὶ ταῖς στρατηγίαις καὶ ἐσάλπισαν σάλπιγγιν ἐπουρανίοις ὡς φρίκῃ συσχεθῆναι πάντα τὰ πέρατα καὶ ἐδόξαζαν Αὐτὸν οἵ τε ἀπὸ ἀνατολῶν καὶ μέχρι δύσεως ἱστάμενοι. καὶ οἱ ἀπὸ τοῦ ἄρκτου καὶ μεσημβρίας καὶ οἱ τούτων πάντων κύκλωθεν σὺν πά-

σαις ταῖς δυνάμεσιν αὐτῶν. καὶ ὡς ἐκέκραγον ἐν ταῖς ἀνεκλαλήτοις ὑμνῳδίαις καὶ μελῳδίαις τὸν ξένον ἐκεῖνον καὶ ἀπόρρητον αἶνον ἀναπέμποντες τῷ ἐπὶ τοῦ θρόνου καθημένῳ Ἰησοῦ Χριστῷ τῷ Θεῷ ἡμῶν, ἡ θρὶξ τῆς κεφαλῆς μου πᾶσα ἀπὸ τοῦ θάμβους τοῦ ἐξαισίου ἔστη ὄρθιος. καὶ προσέσχον ἐγὼ τοῖς ἐξ εὐωνύμων τοῦ Κριτοῦ, καὶ αὐτοὶ ἔτυπτον τὰ πρόσωπα αὐτῶν, καὶ ἀπεδίδουν θρῆνον πικρότατον καὶ ὀλολυγμὸν καὶ στεναγμὸν ἐκ βάθους καρδίας αὐτῶν. ἐλαλήθη γὰρ αὐτοῖς φησὶν παρὰ τοῦ Κριτοῦ θεάσασθαι οἱ κατάρατοι ὁποίων ἀγαθῶν ἐστερήθησαν. ὑπῆρχεν οὖν ἡ τοιαύτη αἴνεσις τῶν ἁγίων ἀγγέλων γλυκυτάτη καὶ ἐπιτερπὴς καὶ ἡδίων, ἣν λόγος βρότειος ἀμηχανεῖ ἐξειπεῖν. τῇ γὰρ ἡδύτητι ταύτης καὶ τῷ κάλλει τοῦ φθέγματος τοῦ ἦχ υ καὶ τῆς ἁρμονίας καὶ ἰσότητος καὶ τοῦ ρυθμοῦ τῆς ἀπαραλλάκτου τῶν πάντων ἡδυφωνίας τὰ νευρὰ καὶ ὀστᾶ τῶν ἀκουόντων, εἰ φθαρτὰ ὑπῆρχον ἐλύθησαν, ἂν καὶ ὡσεὶ ὕδωρ ἐρρύησαν. μετὰ δὲ ταύτην τὴν φρικτὴν τῶν ἀγγέλων ὑμνῳδίαν, εὐθὺς ἀνέστη ἀπὸ τοῦ θρόνου τῆς ἑτοιμασίας ὁ Κύριος καὶ Αὐτὸς περιπατῶν ἐπὶ πτερύγων ἀνέμων πρὸς τὴν πόλιν τὴν θαυμαστὴν ἐκείνην ἐπορεύετο. καὶ ἰδοὺ κατόπιν αὐτοῦ πάντες οἱ ἐκ δεξιῶν Αὐτοῦ τῷ σχήματι συνεπορεύοντο Αὐτῷ καὶ ὕμνησαν αὖθις τῇ ἐξαναστάσει Αὐτοῦ. καὶ ἐν τῷ ἐλθεῖν αὐτοὺς πλησίον τῆς φοβερᾶς ἐκείνης πόλεως ἔστη ὁ Κύριος ἔμπροσθεν τῆς πύλης τῆς πόλεως τῆς βλεπούσης πρὸς δυσμάς, καὶ ἰδοὺ ἀνεῴχθη Αὐτῷ ἡ τοιαύτη πύλη φόβῳ καὶ τρόμῳ καὶ ἤγγισαν πρὸς Αὐτὸν πάντες οἱ ἐκ δεξιῶν Αὐτοῦ οἱ συνακολουθοῦντες Αὐτῷ, καὶ πάντα τὰ στρατεύματα σὺν πάσῃ τῇ δορυφορίᾳ παραγενόμενα παρειστήκεσαν Αὐτῷ. καὶ ἰδοὺ οἱ ἐξ εὐωνύμων καὶ αὐτοὶ πεζοποροῦντες μήκοθεν κατὰ θέαν τῶν γενομένων παρέστησαν. ὡς οὖν ἀνεῴκτο ἡ πύλη τοῦ Κυρίου αὐτομάτως ὡς ἤδη εἴρηται, ἔστη κατὰ πρόσωπον τῆς εἰσόδου αὐτῆς [1] Αὐτὸς μόνος κεχωρισμένος ἐκ πάντων, καὶ εἴρηκε φωνῇ πραείᾳ πρὸς τοὺς ἐκ δεξιῶν αὐτοῦ ἡμέρως εἰς αὐτοὺς ἀπιδών· δευτε, οἱ εὐλογημένοι τοῦ Πατρός Μου, εἰσελθετε εἰς τὴς εὐπρέπειαν τῆς καλλινύμφου Μου ἐκκλησίας τῆς νέας Ἱερουσαλήμ. δεῦτε ἀγαπητοὶ Μου, εἰσέλθετε εἰς τὴν χαρὰν τοῦ Κυρίου ὑμῶν ἣν ἐπηγγειλάμην ὑμῖν· Ἐγώ εἰμι ἡ θύρα, οὐδεὶς δύναται εἰσελθεῖν εἰ μὴ δι' Ἐμοῦ.

Ἡ Θεοτόκος. καὶ μετὰ τὸ εἰρηκέναι ταῦτα τὸν Κύριον, ἰδοὺ γυνὴ ἀπὸ τῆς ἐκ δεξιῶν τάξεως ἦκεν ἐπὶ τὴν κλῆσιν τοῦ μονογενοῦς

[1] Въ Синод. рукописи № 250 здѣсь оканчивается л. 110 об., слѣдующій 111 листъ вставленъ неправильно, ибо продолженіе текста на л. 112, а текстъ, помѣщенный на 111 листѣ, долженъ слѣдовать послѣ листа 126.

Υἱοῦ τοῦ Θεοῦ. καὶ ἐν τῷ βαδίζειν Αὐτὴν πῦρ τῶν ποδῶν Αὐτῆς ἐξήρχετο καὶ πορφύρα δόξης ἐπ᾽ Αὐτὴν ἀσύγκριτος. καὶ ἦν ἀστραπῇ περιειλημένη τὰς ἀχράντους πλευρὰς Αὐτῆς καὶ τὸ πρόσωπον Αὐτῆς ὡς ὁ ἥλιος, καί δόξα Κυρίου προσῆν Αὐτῇ φρικωδεστάτη. ἥτις παραγενομένη προσεκύνησε τῷ δικαίῳ Κριτῇ, καὶ οὗτος ἀσμενέστατα ὑποδεξάμενος Αὐτὴν σὺν τιμῇ καὶ φιλοφροσύνῃ καὶ τὴν Αὐτοῦ ἄχραντον κορυφὴν βραχύ τι ὑποκλίνας φησὶ πρὸς Αὐτήν· εἴσελθε ὦ Μῆτερ ἁγία· ταῦτα πάντα δοῦλα Σὰ καὶ οἰκεῖα Σοί, καὶ αὕτη ἡ κληρονομία Σου μετὰ τῶν φιλτάτων Σου τέκνων εἰς αἰῶνας αἰώνων. ἡ δέ καταφιλοῦσα τὰς ἀχράντους χεῖρας τοῦ φρικτοῦ Βασιλέως ἐκείνου, ὡραιζομένη ἔνδον τῆς θαυμαστῆς ἐκείνης πόλεως εἰσεχώρησε. καὶ εἰσελθούσης ἔνδον Αὐτῆς, ἠκούσθη ὕμνος θαυμαστὸς ἔνδον αὐτῆς τῶν ἀγγέλων τοῦ Θεοῦ ὑποδεξαμένων Αὐτὴν ἐν τῇ αἰωνίᾳ ἑτοιμασίᾳ Αὐτῆς ἐν τῷ ζωοποιῷ ἀναπαύσει τῶν κοιτώνων αὐτῆς.

οἱ ιβ᾽ ἀπόστολοι. καὶ μετὰ τὴν ταύτης κατάπαυσιν, ἰδοὺ ἀπὸ τῶν δεξιῶν ἐκκριθέντες παραγένοντο ἐπὶ τὴν πύλην τῆς πόλεως ἄνδρες θαυμαστοὶ λίαν. στολαὶ γὰρ αὐτοῖς περιέκειντο παραπλήσιοι τῆς τοῦ μεγάλου Βασιλέως. καὶ χαριέντως ὑπεδέξατο αὐτοὺς καὶ ἐπευφραινόμενος αὐτοῖς φιλήματι ἁγίῳ κατησπάζετο αὐτοῖς, καὶ αὐτοὶ προσκυνήσαντες Αὐτὸν καὶ ὡς εἰκὸς ἦν τιμήσαντες καὶ εἰς εἶδος ἀστραπῆς μεταβληθέντες τοῖς ἔνδοθεν ἐπορεύθησαν, καὶ ἠκούσθη ἐπὶ τῇ εἰσόδῳ τῆς αἰωνίου καταπαύσεως αὐτῶν αἶνος θαυμαστός.

οἱ ὁ᾽ ἀπόστολοι. μετὰ δὲ τούτους τῇ ἐπινεύσει τοῦ μεγάλου Βασιλέως, ἰδοὺ ἑβδομήκοντα ἄνδρες ἀπὸ τῶν ἐκ δεξιῶν παραγενόμενοι ἔστησαν πρὸς τῇ πύλῃ τῆς πόλεως. αἱ δὲ στολαὶ αὐτῶν ὡς ὅρασις πυρᾶς αὔρας ἢ πυραμίδος τινὸς ἐν ἀσελήνῳ νυκτὶ φαεινὸν ἀστραπτούσης, καὶ προσελθόντες ἔπεσον παρὰ τοὺς πόδας τοῦ μόνου ἀληθινοῦ καὶ αἰωνίου Θεοῦ. καὶ οὗτοι λοιπὸν τὸν ἔπαινον παρ᾽ αὐτοῦ ἁρμοζόντως δεξόμενοι, χαρᾷ μεγίστῃ ἐξαφθέντες ἔνδον τῆς περιφανεστάτης ἐκείνης πόλεως εἰσεληλύθασι. τούτων τοιγαροῦν τοιουτοτρόπως τὴν πόλιν ἐκείνην ἐξαισίως εἰσερχομένων, ὁ τίμιος καὶ ζωοποιὸς Σταυρὸς ἵστατο ἐπὶ τοῦ ἀέρος ὑπεράνω τῶν δεξιῶν Κυρίου ἀφ᾽ ὕψους ἀπηωρημένος καὶ στίλβων δόξαν ὑπερθαύμαστον. καὶ ἐξαποστέλλων τὰς ἑαυτοῦ φρυκτωρίας ἐπὶ τοὺς εἰς αὐτὸν τὰς ἐλπίδας κεκτημένους. καθορῶντες αὐτὸν οἱ ἐξ εὐωνύμων ἔκλαιον δεινῶς κοπτόμενοι καὶ δάκρυα ἐκ τῶν ὀφθαλμῶν αὐτῶν πικρὰ ἐξέχεον. καὶ ἐκ βάθους καρδίας στεναγμοὺς ἀνέπεμπον καὶ διεπρίοντο καὶ ἑαυτοὺς κατέκοπτον μεταμελούμενοι ἐφ᾽ οἷς ἠγνόησαν τὸ τῆς οἰκονομίας φρικτὸν μυστήριον. καὶ ὅτι οὐκ ἐπορεύθησαν κατὰ τὰς ἐντολὰς τοῦ Κυρίου

καὶ ὅπως ἐστεροῦντο τῶν ἀνεκδιηγήτων ἐκείνων καὶ μακαρίων καὶ αἰωνίων καὶ ἀνεκλαλήτων καὶ ἀφθάρτων ἀγαθῶν. καὶ κατηρῶντο ἑκάστης καὶ αἱρέσεως οἱ λαοὶ τοὺς γενομένους διδασκάλους αὐτῶν καὶ ἀρχηγούς, οἵτινες τὴν τοιαύτην αὐτοῖς ἀπώλειαν προυξένησαν. οἱ δὲ γε ἑβραῖοι [1] ἀπὸ τῆς τοῦ Κυρίου [2] παρουσίας καὶ ἄχρι συντελείας γεγεννημένοι καὶ τῷ ἁγίῳ μὴ προσελθόντες βαπτίσματι κατηρῶντο τὸν Μωϋσέα ἐξ ὅλης τῆς ἰσχύος αὐτῶν λέγοντες· ποῦ ἐστὶ νῦν ἐκεῖνος ᾧ πειθόμενοι οὐχ ὑπηκούσαμεν τῷ Χριστῷ, καὶ ἐζήτουν ἰδεῖν αὐτὸν ἐν μέσῳ αὐτῶν καὶ οὐχ εὑρίσκετο. καὶ γὰρ ἐν τοῖς δεξιοῖς ἦν οὗτος μετὰ Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τῶν λοιπῶν προφητῶν.

οἱ μάρτυρες. καὶ μετὰ τὸ εἰσελθεῖν τοὺς ἑβδομήκοντα ἄνδρας τούτους εἰς τὴν ἀτελεύτητον ἐκείνην πόλιν, ἐπένευσεν ὁ Κύριος αὖθις, καὶ ἰδοὺ διεχωρίσθη ἀπὸ τῶν ἐν τοῖς δεξιοῖς παρεμβολὴ μεγάλη σφόδρα καὶ αὐτῶν τὰ τίμια πρόσωπα ἦσαν [3] ἐκ πορφύρας καὶ βύσσου φρικτὰς ἀκτῖνας ἐν τῇ χρόᾳ αὐτῶν ἐξαποστέλλουσαι, καὶ οὐχ ὑπῆρχον ἔνυλοι αἱ τοιαῦται στολαί, ἀλλὰ πᾶσαι νοηταὶ καὶ πνευματικαὶ ὁρώμεναι ἡμῖν δηλονότι μετὰ καὶ τῶν ἄλλων ἁπάντων τερπνῶν κατὰ τὸ ἐγχωροῦν νοηθῆναι καὶ λαληθῆναι ὑφ᾽ ἡμῶν. ἐληλύθει οὖν ἡ θαυμασιωτάτη αὕτη τῶν ἁγίων μαρτύρων παρεμβολή, μυριάδες πολλαὶ σφόδρα σφόδρα, ἐξ ἄρρενος καὶ θηλείας φύσεως καθορώμεναι, ὅλοι δεδοξασμένοι γαυριάματι θεικῆς δόξης ἀπείρως κλειζόμενοι. ἦλθον οὖν ἀεροποροῦντες ἐπὶ τὴν ἀργυρᾶν πύλην τῆς πόλεως πρὸς τὸν Κύριον καὶ Αὐτὸς ἠγαλλιάσατο καὶ εὐφράνθη ἐπὶ τῇ ἐλεύσει αὐτῶν καὶ εὐθέως προσαναπέτασεν αὐτοῖς τὰς πύλας τῆς πόλεως, καὶ εἱστήκει θεωρῶν τὴν τούτων ἔλευσιν. καὶ ἐγεγήθει ἐπ᾽ αὐτοῖς ὥσπερ ὁ ποιμὴν ἐπὶ τοῖς ἰδίοις ποιμνίοις. ἐν τῷ γοῦν εἰσελθεῖν καὶ τούτους πάντας εἰς τὴν χαρὰν τοῦ Κυρίου αὐτῶν, ἠκούσθη φωνὴ αἰνούντων καὶ δοξαζόντων τὸν Θεόν, ὡς φωνὴ βροντῶν ἀπείρων ἢ ὑδάτων ὀχέως πορευομένων.

ὁμολογηταί. ἔτι ἐπένευσεν ὁ Κύριος καὶ ἰδοὺ ἑτέρα παρεμβολὴ ἐλάσσων τῆς προτέρας χωρισθεῖσα ἐπορεύετο εἰς τὴν εἴσοδον τῆς δεδοξασμένης πόλεως καὶ τὰ τούτων πρόσωπα ὡς ὁ ἑωσφόρος ὑπῆρχον αὐγάζοντα. καὶ αἱ τίμιαι αὐτῶν στολαὶ καὶ ἀμφιάσεις οἱονεὶ κοκκινοβαφὴς πυρσὸς ἐπὶ πυρσῷ ξενοτρόπως ἐν τῷ συνθέσει αὐτῶν ἀναφαινόμεναι προσαναπετάσθησαν οὖν καὶ ταύτῃ αἱ πύλαι τῆς πόλεως

[1] προ. οἱ.

[2] Χριστοῦ.

[3] προ. σπινθηροβολοῦντα, δόξῃ καὶ χάριτι ἀνεκλαλήτῳ, καθάπερ σίδηρος πεπυρακτωμένος ἄρτι τῆς καμίνου ἐξενεχθεὶς, αἱ δὲ στολαὶ αὐτῶν ἦσαν...

καὶ εἰσήρχοντο ὡραϊζόμενοι. πάλιν οὖν μετὰ τὴν τούτων κατάπαυσιν ὕμνος ἔνδον τῆς φοβερᾶς ἠκούετο πόλεως. ἐπυθόμην τοιγαροῦν ἐγὼ τὸν ὁδηγοῦντά με πρὸς τὴν τοιαύτην θεωρίαν ἆρά γε τίνες εἰσὶν αἱ δύο αὐταὶ παρεμβολαὶ αἱ εἰς τὴν πόλιν ἀρτίως εἰσελάσασαι. ὁ δὲ ἔφη πρός με· μάρτυρές εἰσιν οἱ πρῶτοι καὶ οἱ δεύτεροι τούτων ὁμολογηταί.

κήρυκες καὶ εὐαγγελισταί. καὶ πρὸς τούτους ἐπένευσεν ἔτι ὁ Κύριος, καὶ ἰδοὺ ἑτέρα συναγωγὴ πλούσιος καὶ αὕτη διαχωρισθεῖσα δεδοξασμένη ἔτι ἅπαξ πρὸς τὸν Κριτὴν ἐπὶ τὴν πύλην τῆς πόλεως παρεγένετο. καὶ αὐτῶν τὰ πρόσωπα ὑπῆρχον λευκὰ ὡς τὸ φῶς. καὶ αἱ τίμιαι αὐτῶν στολαὶ ὡς χρυσὸς καθαρὸς ἐξαστράπτων. καὶ ἰδοὺ ἀνέῳξεν αὐτοῖς ὁ Κύριος τὰς πύλας τῆς πόλεως τῆς πανενδόξου καὶ εἰσήεσαν μεγαλυνόμενοι, καὶ ἔνδοθεν ὕμνος ἠκούετο φρικωδέστατος. καὶ οὗτοι κήρυκες ἦσαν καὶ εὐαγγελισταί. καὶ εἰσεληλύθασιν εἰς τὴν χαρὰν τοῦ Κυρίου αὐτῶν.

ἱεράρχαι. καὶ προσθεὶς ἐπὶ τούτους ἔτι προσεπεφώνησεν ἥκειν ἐπεὶ τὴν θειοτάτην πόλιν αὐτοῦ ὁ Κύριος, καὶ ἰδοὺ ἑτέρα παρεμβολὴ ἀποσπασθεῖσα ἀπὸ τῶν [1] δεξιῶν παρεπορεύετο ἐπὶ μεγίστοις ἀγαθοῖς γεγαννυμένη. καὶ τὰ πρόσωπα αὐτῶν ἦπτεν ὥσπερ ἥλιος, καὶ οἱ χιτῶνες αὐτῶν χιονοφεγγεῖς λίαν κεκαθαρμένοι. καὶ ἐληλύθει πρὸς Κύριον. ἦσαν δὲ ἠμφιεσμένοι φέροντες ἐπὶ τὸν ὦμον πυραυγῆ ὠμόφορα. ἱεράρχαι γὰρ οἱ τοιοῦτοι ὑπῆρχον. καὶ ἀνέῳξεν ἐκείνην τὴν πύλην τὴν θαυμασιωτάτην ὁ Κύριος, καὶ μεγάλῃ χαρᾷ ἐξαφθέντες ἕτερος τὸν ἕτερον σὺν εὐφροσύνῃ προσονομάζοντες εἰσεπορεύθησαν ἐν μειδιῶσι προσώποις εἰς τὴν ἀτελεύτητον αὐτῶν ἀγαλλίασιν. καὶ ἐκέκραγον τὸν αἶνον ἔνδον τῆς πόλεως οἱ ὑπηρέται τοῦ μεγάλου Βασιλέως.

ἐγκρατεῖς. καὶ ἐγένετο μετὰ τὸ καὶ τούτους εἰσελθεῖν εἰς τὴν αἰώνιον ἐκείνην χαράν, ἐπένευσεν ὁ Κύριος ἔτι, καὶ ἰδοὺ ἑτέρα συναγωγὴ ἀποχωρισθεῖσα τοῦ πλήθους τῶν τῆς δεξιᾶς τυχόντων στάσεως [2] ἀφίκετο πρὸς τὴν πόλιν ἐπὶ τὸν Κύριον. καὶ ἡ εὔχροια τοῦ προσώπου αὐτῶν ὑπῆρχε δεδοξασμένη ὡς ὅρασις κοκκίνου τριάκοντα φύλλου. καὶ τὰ ἄμφια αὐτῶν ὡς λευκότης κρίνων περικαλλεστάτων. βαδίσαντες οὖν ἀεροπόρως ὥσπερ εἴρηται ἦλθον πρὸς τὸν Κύριον. ἀναπετάσας τοιγαροῦν καὶ τούτοις τὰς πύλας ὁ Κύριος ἔνδον ἥκειν εὐθέως παρεκελεύσατο. καὶ εἰσήεσαν τὸν τῶν ἀγγέλων αἶνον ἐπὶ στόματος ἔχοντες. ἐγκρατῶν δὲ ὁ τοιοῦτος ὑπῆρχεν ὅμιλος.

[1] δοβ. ἐκ.

[2] τάξεως.

οἱ διὰ Θεὸν μοναχοὶ γενόμενοι καὶ διὰ μετανοίας ἀληθοῦς ἑαυτοῦς καθάραντες. ἐπεὶ δὲ καὶ οὗτοι σύμπαντες εἰσήλθοσαν εἰς τὴν χαρὰν τοῦ Κυρίου αὐτῶν ἔτι προσέθετο ὁ Κύριος καὶ Θεὸς τῇ ἐπινεύσει τῶν ἀκαταλήπτων δυνάμεων τῆς δυναστείας Αὐτοῦ, καὶ ἰδοὺ πλῆθος πολὺ τοῦ δεξιοῦ μέρους ἀποκριθὲν ὀχέως ἐπορεύετο ἐπὶ τὴν ἁγίαν πόλιν, καὶ ὑπῆρχον συναγωγαὶ καὶ σχῆμα μοναζόντων ὡρᾶτο ἐν αὐτοῖς, πλὴν οὐ μέλαν ἀλλὰ λευκὸν λίαν ὡς χιὼν καὶ ἀστραπὴν ἀπαυγάζον. ἡ δὲ λαμπρότης τοῦ προσώπου αὐτῶν καὶ εἶδος ἀστραπῆς ἐν εὐχροίᾳ φοβερωτάτῃ πυρρακεῖ κοκκίνῃ. καὶ ὅλως ξένη τις καὶ ἀνείκαστος. καὶ ἐλθοῦσαι πλησίον τῆς πολέως ἀνεπετάσθη αὐτῶν ἡ εἴσοδος, καὶ εἰσήλθοσαν μετὰ περιφανείας φρικτῆς δεδοξασμέναι ἐν μεγίστῃ τιμῇ καὶ δόξῃ. τῷ εἰσιέναι ἀνύψουν τὰς χεῖρας αὐτῶν πρὸς τὸν Κύριον ἱστάμενον ἔτι πρὸ τῶν εἰσοδικῶν πυλῶν τῆς ἁγίας πόλεως καὶ εὐλογοῦντες τὸ ὄνομα τὸ ἅγιον Αὐτοῦ σὺν τῷ Πατρὶ καὶ τῷ Αὐτοῦ Πνεύματι μετὰ χαρᾶς πολλῆς ἔνδον εἰσπορεύοντο, καὶ ὑποδεξάμενοι τούτους οἱ ἐντὸς ὑπάρχοντες θεῖοι ἄγγελοι, ἐκρότησαν χεῖρας ἀλαλάξαντες αἶνον Θεῷ ἐν φωνῇ ἀγαλλίασεως ἐπὶ τῇ αἰωνίᾳ καταπαύσει αὐτῶν. ὁρῶντες τοιγαροῦν τὰ τοιαῦτα οἱ ἐξ εὐωνύμων ἔγγιστά που ἱστάμενοι γοερῶς ἀνοίμωζον καὶ ἑαυτοὺς κατέκοπτον, δάκρυα ἐκχεύοντες πικρὰ ποταμηδὸν καὶ μᾶλλον ἐπὶ πλέον κατετρύχοντο ὁρῶντες τὴν τῶν ἁγίων ἀΐδιον δόξαν καὶ ἀγαλλίασιν καὶ τὰ περικαλλῆ νεουργήματα τῆς νεωστὶ παραγεγονυίας ἀφθάρτου κτίσεως ὅπως ὑπῆρχον πλήρη ἀφάτου καὶ ἀνεκδιηγήτου ἀγαθότητος καὶ ἀγαλλιάσεως, καὶ τὴν ἐξαισίαν πόλιν ἐκείνην οἷα νύμφην ἐστολισμένην ἀσύγκριτον εὐπρέπειαν καὶ τὴν φρικτὴν ὡραιότητα τοῦ κάλλους Κυρίου, ὃς ἵστατο ἐπὶ τῆς εἰσόδου αὐτῆς φέρων τὸν γλυκὺν χαρακτῆρα τοῦ πρὸ αἰώνων Αὐτὸν γεννήσαντος. περιστρεφόμενος γὰρ ἔνθεν καὶ ἔνθεν ἠφίει ἀκτῖνας τὸ ἅγιον Αὐτοῦ καὶ θεῖον πρόσωπον μυριοφαεῖς ἐνιούσας τὰς καρδίας τῶν ὁρώντων ἡδονὴν καὶ θυμηδίαν ἄφατον καὶ ἀνεξιχνίαστον. ταῦτα τοιγαροῦν πάντα ἑνορῶντες καὶ κατανοοῦντες ὁποίων στερίσκεσθαι ἤμελλον ἀγαθῶν, ἐκόπτοντο, διεπρίοντο, ἐτιτρώσκοντο, ὅπως ἐθλίβοντο, οὐκ ἔστιν εἰπεῖν, ἢ γλώσσῃ διηγήσασθαι, θέας τῶν παρ᾽ αὐτῶν ὁρωμένων εἰς κατανόησιν δεομένων οὐ διηγήσεως.

οἱ δίκαιοι τῆς νέας διαθήκης. ἔτι ἐπέβλεψεν ὁ Κύριος ἐπὶ τοὺς ἐκ δεξιῶν Αὐτοῦ καὶ προσεκαλέσατο ἔτι τοὺς δικαίους τῆς νέας χάριτος, καὶ ἰδοὺ οὗτοι χωρισθέντες ἀπὸ τῶν σὺν αὐτοῖς καὶ χαρὰν μεγίστην ἀναλαβόντες χαίροντες καὶ εὐφραινόμενοι ᾤχοντο πρὸς τὸν κεκληκότα αὐτοὺς ἀθάνατον Νυμφίον. ἐν δὲ τῷ πορεύεσθαι αὐτοὺς

ἔλαμπον τὰ πρόσωπα ὥσπερ ἡ σελήνη φαίνει τὸ μέσον τῆς νυκτός. καὶ αἱ στολαὶ αὐτῶν ὑπῆρχον μυριοφαεῖς ὥσπερ τὰ ἄνθη καὶ κρίνα τοῦ ἀγροῦ. εἰσήλθοσαν οὖν καὶ οὗτοι πάντες ἐξαπτόμενοι τῷ γλυκυτάτῳ πυρὶ τῆς ἐνθέου ἀγαλλιάσεως εἰς τὴν ἀνεκλάλητον χαρὰν ἐκείνην καὶ εὐφροσύνην τοῦ Κυρίου αὐτῶν, καὶ ἐγένετο ἐν τῷ καταπαῦσαι πᾶσαν τὴν πληθὺν τῆς μακαρίας καὶ ἁγίας φάλαγγος ἐκείνης, ἰδοὺ φωναὶ ὕμνων καὶ κραυγαὶ φοβεραὶ καὶ τὸ εἰωθὸς ἔνδοθεν ἐξηκούοντο αἰνούντων καὶ ὑμνούντων τῶν ἁγίων ἀγγέλων σὺν πᾶσι τοῖς ἁγίοις τὴν ἁγίαν Τριάδα ἔξωθέν τε συνῆδον αὐτοῖς ἐν μελίσμασι καὶ συρισμοῖς ἄχρι τῶν ἀψίδων τοῦ μεταποιηθέντος στερεώματος. τὸν ἦχον τῆς ἡδίστης κραυγῆς αὐτῶν ἀνέπεμπον τὰ ἤδη παραχθέντα καὶ ἀφθαρτιθέντα στρουθία. ὁ μέν τοι νεωστὶ παραχθεὶς ἐν τῷ στερεώματι δίκην ἡλίου πυρσός, εἰ καὶ ἐπταπλασίως ὑπὲρ τὴν τοῦ φθαρτοῦ ἡλίου λαμπηδόνα φέγγων ἄδυτα ἦν. ἀλλ' οὐχὶ καὶ οὗτος ἐν μεσημβρίᾳ ἐκφλογούμενος ἀνίᾳ κἀκεῖνος ἐλύπει τοὺς ἐνορῶντας εἰς αὐτόν, ἀλλὰ πρὸς τὸ διηνεκῶς ἄσκια καὶ ἄδυτα φαίνειν ἡδονὴν ἀσύγκριτον παρεῖχε τοῖς ὁρῶσιν εἰς τὸ πρόσωπον αὐτοῦ.

οἱ τῆς παλαιᾶς πατριάρχαι. ἔτι ἐπέβλεψεν ὁ Κύριος ἐπὶ τοὺς εἰς τὰ δεξιὰ αὐτοῦ λαχόντας καὶ ἐπένευσεν ἥκειν πρὸς Αὐτὸν, καὶ ἰδοὺ Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ καὶ οἱ δώδεκα πατριάρχαι σὺν αὐτοῖς. καὶ αὐτῶν τὰ πρόσωπα ὑπῆρχον λευκὰ ὡσεὶ χιών, αἱ δὲ στολαὶ αὐτῶν ὡς εἶδος λευκῆς νεφέλης. καὶ πορευόμενοι εἰσήρχοντο εἰς τὴν ἁγίαν πόλιν ἀσπαζόμενοι σὺν τρόμῳ τοὺς ἁγίους πόδας τοῦ αἰωνίου Θεοῦ καὶ Βασιλέως. παραπλησίως δὲ ἐποίουν καὶ οἱ ἐκλεκτοὶ υἱοὶ αὐτῶν καὶ ἐν τῷ καὶ αὐτοὺς εἰσέρχεσθαι μετὰ φρίκης καὶ ἀπείρου ἀγαλλιάσεως ὕμνουν καὶ εὐλόγουν τὸν ἐξουσίαν ἔχοντα πάσης πνοῆς.

οἱ τῶν μακάρων νήσων οἰκήτορες. ἔτι ἐπένευσεν ὁ Κύριος ἐν τοῖς δεξιοῖς καὶ ἰδοὺ πλῆθος πολὺ τοῦ λαοῦ σφόδρα, καὶ αὐτοὶ πάντες ἦσαν μονότροποι ἴσοι τὸ σχῆμα καὶ τὴν λαμπρότητα ῥόδοις ἐοικότες, πυρρακίζοντες, ὅλοι τερπνοί, ὅλοι παμφαεῖς, τὰ πρόσωπα αὐτῶν ἔχοντες ἀσπράπτοντα ὑπὲρ τὸν αἰσθητὸν ἥλιον ἐπταπλασίως. καὶ προηγεῖτο αὐτῶν ἀστραπὴ καὶ μετ' αὐτὴν φρικτὸν φῶς, οἷον ὑπὲρ χιόνα μυριοπλάσιον· ὑπῆρχον ἐν καθαρότητι. ἐσπαργώνου δὲ αὐτοὺς κυκλόθεν ὡσεὶ τεῖχος νεφέλη πυρός. καὶ ἡ παρεμβολὴ αὕτη μεῖζον κατὰ πολὺ ὑπὲρ τὰς προεισελθούσας ἁγίων παρεμβολάς. ἐγγίσαντες οὖν καὶ οὗτοι ἐνώπιον τοῦ Βασιλέως ηὔφρανον Αὐτὸν ἐπὶ τῇ καθαρότητι αὐτῶν καὶ σὺν εὐμενείᾳ τὰς πύλας τῆς πόλεως τούτοις προσανεπέτασεν, ἐπειδὴ ἑώρακεν αὐτοὺς μηδαμῶς ἁμαρτήσαντας, ἀλλ' ἀσ-

πίλους ἐκ κοιλίας μητρὸς αὐτῶν διαμείναντας. οὔτε γὰρ ὁ πειράζων πάσας τὰς ἡμέρας ἐν αἷς οὗτοι ἔζησαν ἐπὶ τῆς γῆς κατίσχυσεν εἰσελθεῖν εἰς τὴν χώραν αὐτῶν τοῦ ἐκπειράσαι αὐτούς, οὔτε μὴν αὐτοὶ ἀφ' ἑαυτῶν κακίαν ἢ πονηρίαν εἰργάσαντο, διὰ τοῦτο οὐκ ἀπέτυχεν ἀπὸ τῆς τούτων φυλῆς οὐδὲ εἷς. καὶ ἐγένετο ἐν τῷ εἰσελθεῖν τούτους πάντας ἔνδον τῆς πόλεως, πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν αἶνον ἀσύγκριτον δεδώκασι τῷ μονογενεῖ Υἱῷ καὶ Λόγῳ τοῦ Θεοῦ καὶ Πατρός. ἐπειδὴ εὐφράνθησαν σφόδρα ἐπ' αὐτῆς ὁρῶντες ἀναπληρούμενα δι' αὐτῶν τὰ φρικτὰ παλάτια καὶ τὰς ἀχαροποιήτους κατασκηνώσεις καὶ καταπαύσεις τῆς μεγάλης πόλεως τῶν υἱῶν τοῦ Θεοῦ.

προφῆται. ἔτι ἐπένευσεν ὁ Κύριος πρὸς τῇ πύλῃ καὶ ἰδοὺ πάντες οἱ προφῆται δεδοξασμένοι εἰσήλθοσαν οἱ ἀπὸ τῶν υἱῶν Ἰσραὴλ πάρεξ τῶν ἐξοχωτάτων αὐτοῖς Μωϋσέως καὶ Ἀαρών. οὗτοι γὰρ καὶ μόνοι ἀπελείφθησαν μήπω παραγεγονότες. οἱ γοῦν τίμιοι τοῦ Θεοῦ προφῆται ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς πῦρ ἠφίων καὶ ὡσπερεὶ διαύγεια ἀστέρος ὀπηνίκα ἐπὶ τοῦ αἰθέρος παμφαῶς χυθεῖσα φαιδρῶς λάμπει. οὕτως δέ καὶ οὗτοι φαεινῶς λίαν ἀπέλαμπον. ἔδωκαν οὖν αἶνον Κυρίῳ τῷ Θεῷ ἐν τῇ καταπαύσει αὐτῶν πάντες οἱ ἄγγελοι Αὐτοῦ. οἱ δὲ γε ἐξ εὐωνύμων ἐνωτιζόμενοι τοὺς φρικωδεστάτους ὕμνους τῶν ἁγίων ἀγγέλων μειζόνως τὰς καρδίας ἐτιτρώσκοντο καὶ διεπρίοντο καὶ στεναγμοὺς ἐκ βάθους τῆς ψυχῆς ἀνοιμώζοντες ἀνέπεμπον καὶ πικρὰ καὶ αἱματώδη δάκρυα ἐχεῖτο ἐν μέσῳ αὐτῶν, ἐννοοῦντες οἵων ἀγαθῶν ἑαυτοὺς ἀπεστέρησαν καὶ εἰς ποῖα κακὰ ἔμελλον εἰσελθεῖν. καὶ γὰρ ἡ θάλασσα τοῦ πυρὸς κυματουμένη καὶ παφλάζουσα καὶ λίαν ταραττομένη ἐβρυχᾶτο. ἀνέβαινον δὲ ἐν τῷ κυματοῦσθαι αὐτὴν αἱ φωναὶ τῶν προκατακληθέντων ἐθνῶν ἐν αὐτῇ κράζοντες· ἐλέησον ἡμᾶς ὁ μόνος Θεός, ἐπειδὴ ἐν ἀγνοίᾳ πάντες ἡμεῖς ἐζήσαμεν. καὶ οὐχ ὑπῆρχεν ὁ ἐλεῶν αὐτούς. ἑώρων δὲ καὶ τὸν ἀδέκαστον Κριτὴν ὀργίλον καὶ ἐν θυμῷ εἰς αὐτοὺς ἀτενίζοντα καὶ κλόνος μέγας καὶ φρίκη πολλὴ ἐν μέσῳ αὐτῶν καὶ ὀδυρμὸς καὶ κοπετὸς καὶ οὐαὶ ἐχεῖτο ἐν αὐτοῖς σφόδρα σφόδρα καὶ μετὰ τρόμου ἵσταντο.

οἱ διὰ μετανοίας καὶ ἐξομολογήσεως ἐλεήμονες. εἶτ αὖθις ἐπεῖδεν ὁ Κύριος ἐν τοῖς δεξιοῖς Αὐτοῦ καὶ προσεκαλέσατο τῇ δεξιᾷ χειρὶ Αὐτοῦ, καὶ ἰδοὺ πλῆθος τοῦ λαοῦ πολὺ σφόδρα καὶ αὐτοὶ ἐν πραέοις σχήμασι καὶ βήμασιν ἐπιπορευόμενοι πρὸς Αὐτὸν ἀπήρχοντο καὶ ἡ δόξα Κυρίου προηγεῖτο αὐτῶν. καὶ τὰ πρόσωπα αὐτῶν ὑπῆρχον λευκὰ ὡσεὶ ἔριον καὶ αἱ στολαὶ αὐτῶν ἀστράπτουσαι ὡς χρυσίον πεπυρακτωμένον, καὶ αὐτοὶ ἐλαίῳ φωτεινῷ ἀληλιμμένοι τὰς κεφαλὰς καὶ τ' θρίξ αὐτῶν ὡς ἄνθος χρυσίου τιμαλφέστερον. παρα-

γενόμενοι οὖν πρὸς τὸν Κύριον πίπτοντες χαμαὶ πρηνεῖς ἐπὶ τοῦ ἀχράντου δαπέδου εἷς καθ' εἷς πρὸς τοῖς ἀχράντοις ποσὶ τοῦ Κυρίου καὶ Θεοῦ ἐν τῷ ἀνίστασθαι εὐλόγουν καὶ ἐδόξαζον Αὐτὸν καὶ οὕτως εἰς τὴν ἁγίαν πόλιν εἰσήρχοντο. καὶ ἐγένετο ἐν τῷ καὶ αὐτοὺς πάντας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτῶν. ἦσαν δὲ οὗτοι οἱ ἁμαρτωλοὶ χριστιανοὶ οἱ τοῖς διὰ τῆς καλλίστης μετανοίας ἐπιστρέψαντες ἐν ζωῇ αὐτῶν καὶ ἐν κλαυθμῷ καὶ πένθει καὶ νηστείᾳ καὶ σάκκῳ καὶ τῇ λοιπῇ κακουχίᾳ τοῦ σώματος αὐτῶν τὸν Κύριον ἐκλιπαρήσαντες καὶ ἐλεηθέντες καὶ καθαρισθέντες ὑπ' Αὐτοῦ. ἤνεσαν αἴνεσιν θείαν τῇ ἁγίᾳ καὶ ζωαρχικῇ Τριάδι καθότι ἐρρύθησαν τῇ χάριτι Αὐτῆς ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῆς ἀθανάτου ζωῆς ἠξιώθησαν.

Μωυσῆς καὶ Ἀαρὼν καὶ Ἐλεάζαρος σὺν προφήταις καὶ δικαίοις ἔτι οὖν ἐπένευσεν ὁ Κύριος ἥκειν πρὸς Αὐτὸν τοὺς τῆς δεξιᾶς μοίρας, καὶ ἰδοὺ Μωυσῆς καὶ τὸ πρόσωπον αὐτοῦ λίαν δεδοξασμένον καὶ τὰ ἱμάτια αὐτοῦ ἦσαν ὡς ἀστραπὴ καὶ οἱ πόδες αὐτοῦ ἐνδεδυμένοι ὑποδήμασι κοκκίνοις χρυσοπεδίλοις. σὺν αὐτῷ δὲ καὶ Ἀαρὼν καὶ Ἐλεάζαρος καὶ τῶν λοιπῶν προφητῶν καὶ δικαίων ὁ κατάλογος. οὐ μέντοι δεδοξασμένοι καὶ αὐτοὶ παραπλησίως [1—τῷ θεράποντι Κυρίου ἐξαισίως —1]. ἀλλ' οὖν ἔλαττον κατὰ τὴν διαφορὰν τοῦ παλαιοῦ καὶ καινοῦ τοῦ ὁμοίου εἴδους καὶ πράγματος. ὁ γὰρ θεόπτης Μωϋσῆς ἐν πᾶσι τοῖς προφήταις ἐξαίρετον σχῆμα καὶ δόξαν ἐκέκτητο. καὶ ἐν τῷ ἅμα πάντας αὐτοὺς εἰσέρχεσθαι εἰς τὴν πόλιν τὴν τῶν ἁγίων κεχωρισμένος ἐτύγχανε δόξῃ ἀνεκλαλήτῳ καλυπτόμενος.

καὶ μετὰ τούτους ἰδοὺ οἱ ἑβδομήκοντα ἄνδρες οἱ ἀπὸ τοῦ πνεύματος Μωυσέως μεταλαβόντες καὶ πλουτήσαντες παρὰ Κυρίου ἐν ταῖς ἡμέραις αὐτῶν τὴν προφητείαν.

οἱ ὀρθόδοξοι κριταὶ τοῦ Ἰσραήλ. καὶ μετ' αὐτοὺς ἰδοὺ οἱ ὀρθόδοξοι κριταὶ τοῦ Ἰσραήλ, οἱ ἀπὸ τοῦ Χάλεβ καὶ τοῦ [2—Γοθῶν Ἰσραήλ—2] καὶ μέχρι Σαμουὴλ τοῦ προφήτου κρίναντες τὸν Ἰσραήλ

ὁ προφήτης Δαβὶδ καὶ οἱ λοιποὶ ἀγαθοὶ βασιλεῖς τοῦ Ἰσραήλ. καὶ μετ' αὐτοὺς ἰδοὺ Δαβὶδ ὁ βασιλεὺς καὶ πάντες οἱ βασιλεῖς Ἰούδα ὅσοι δηλονότι ἐπὶ τῇ ματαίᾳ εἰδωλολατρείᾳ πρὸ τοῦ τελευτῆσαι αὐτοὺς οὐκ ἐνέμειναν ἀλλ' ἐκαθαρίσθησαν διὰ μετανοίας εἰλικρινοῦς καὶ ἐξιλασμῶν. πρὸς τούτους ἰδοὺ πάντες οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ιβ' φυλῶν αὐτῶν ἄχρι τῆς τοῦ Σωτῆρος ἡμῶν παρουσίας,

---

1—1 нѣтъ.

2—2 Гонивиѣл

τῷ νόμῳ Μωϋσέως καθαρῶς πειθαρχήσαντες καὶ τοῖς ματαίοις θεοῖς τῶν ἐθνῶν μὴ προσκυνήσαντες. καὶ οὗτοι πάντες φαιδροὶ καὶ γεγαννυμένοι ὑπάρχοντες εἰσήλθοσαν εἰς τὴν πόλιν τοῦ ἁγίου τῶν ἁγίων.

οἱ πρὸ τοῦ νόμου δίκαιοι. ἔτι προσέθετο ὁ Κύριος προκαλέσασθαι τοὺς ἐκλεκτοὺς Αὐτοῦ ἐπὶ τὴν εἴσοδον τὴν ἁγίαν Αὐτοῦ, καὶ ἰδοὺ Ἀδὰμ καὶ Ἄβελ καὶ Σὴθ καὶ Ἐνὼς καὶ Ἐνὼχ καὶ Νῶε καὶ ἰδοὺ ὅσοι καὶ ὅσοι ἐν ταῖς γενεαῖς αὐτῶν τῷ Κυρίῳ εὐηρέστησαν καὶ σεμνῶς καὶ θεοφιλῶς ἐπολιτεύσαντο ἀπὸ γὰρ τῶν ἐσχάτως εἰς τὸν ἀμπελῶνα ἐληλυθότων προσέταξεν ὁ οἰκοδεσπότης τῷ ἐπιτρόπῳ αὐτοῦ ἀπάρξασθαι τοῦ παρέχειν ἑκάστῳ ἐπίσης τὸ δηνάριον, καὶ αὐτοὶ μετὰ χαρᾶς εἰσήεσαν. καὶ ἐν τῷ εἰσιέναι τούτοις ὕμνησαν τὸν Δεσπότην αἱ δυνάμεις τῶν οὐρανῶν.

οἱ πρὸ τῆς ἐνσάρκου οἰκονομίας τὰς ἐντολὰς μὴ εἰδότες καὶ φυλάξαντες. ἐπειδὴ οἱ πρῶτοι τῆς κτίσεως ἄνθρωποι οἱ ἀπὸ αἰῶνος οἱ πρωτόπλαστοι εἰς τὴν ἁγίαν πόλιν κατέπαυσαν καὶ μετὰ τὸ καταπαῦσαι καὶ τούτους, ἔτι ἐπένευσεν ὁ Κύριος Ἰησοῦς ἥκειν ἀπὸ τῆς τῶν ἐκ δεξιῶν Αὐτοῦ μοίρας πρὸς Αὐτὸν εἰς τὴν ἁγίαν πόλιν. καὶ ἰδοὺ συναγωγὴ ὀλιγοστὴ ἐπειγομένη ἐπὶ τὸ αὐτὸ ἐπὶ τὴν ἁγίαν πόλιν καὶ αὐτοὶ ὑπῆρχον ἐν παρηλλαγμένῳ σχήματι σεμνυόμενοι παρὰ πάντας τοὺς προσερχομένους. τὰ γὰρ πρόσωπα αὐτῶν ὡς νύμφης ἠγλαϊσμένα λευκῷ χρώματι καὶ πυρρακίζοντα. καὶ οἱ χιτῶνες αὐτῶν ποικίλοι ἐκ πάντων τῶν ἀνθέων τῆς γῆς συντεθειμένοι. οὗτοι δὲ ὑπῆρχον οἱ πρὸ τῆς παρουσίας Χριστοῦ νόμον μὴ ἔχοντες ἀπὸ τῶν ἐθνῶν καὶ φύσει τὰ τοῦ νόμου πληρώσαντες καὶ εἰδώλοις μὴ προσκυνήσαντες, πορνείαν ἀπὸ καρδίας μισήσαντες, ἐλεημοσύνην ἐκτήσαντο. τὴν ἄνω πρόνοιαν ἐσεβάσθησαν πᾶσαν ἀκαθαρσίαν ἐβδελύγξαντο καὶ διὰ τοῦτο τῆς αὐτῆς χαρᾶς ἠξιώθησαν. ἐθαύμαζον οὖν πάντες οἱ ἅγιοι τὴν ἐναλλαγὴν τοῦ σχήματος αὐτῶν, διότι οὐκ ἦν ἐν ταῖς τάξεσιν αὐτῶν τίς ὅστις τοιούτῳ σχήματι ἐσεμνύνετο.

οἱ διὰ Χριστὸν μωροὶ δόξαντες. ἔτι προσεπένευσεν ὁ Κύριος τοῖς ἐκ δεξιῶν Αὐτοῦ ἥκειν πρὸς Αὐτὸν, καὶ ἰδοὺ ἑτέρα συναγωγὴ ὀλιγοστὴ πάνυ, καὶ αὕτη ἐπὶ τοῦ ἀέρος ἐβάδισε καὶ προς τὴν ἁγίαν πόλιν ἀπῄει, ὅλη ὡς ἀστραπὴ πυρὰ καὶ μεταφερόμενα τὰ πρόσωπα αὐτῶν. καὶ ποτὲ μὲν ἦσαν ὡς ῥόδα ἀστράπτοντα, ποτὲ δὲ ὡς ἄνθος χρυσίου καθαροῦ, ποτὲ δὲ λευκὰ ὡσεὶ χιών. καὶ αὐτοὶ βασιλικοὺς χιτῶνας ἠμφιεσμένοι ἐκ πάντων [1] λίθων αὐγαζόντων ξενοπρεπῶς καὶ μαργάρων πολυτίμων συντεθειμένους. καὶ εἰσῆλθον ἐπὶ τὴν ἁγίαν

[1] παντοίων.

πόλιν μετὰ φρικτῆς δόξης καὶ μεγάλης παρρησίας, καὶ θαυμαστὴ ἐπ᾽ αὐτοὺς ἐγένετο, καὶ ᾖνεσαν τῷ Θεῷ ᾠδὴν ὑπεράνω τὰ νοερὰ καὶ θεῖα στρατεύματα πάντα. οὗτοι δὲ ὑπῆρχον οἱ μωροποιίᾳ τὸν σοφιστὴν τῆς κακίας καταγωνισάμενοι. ἐν γὰρ τῷ ματαίῳ τούτῳ κόσμῳ μωροὺς ἑαυτοὺς ἀποδείξαντες διὰ τὸν Κύριον καὶ ὑπὸ τῶν ἀνθρώπων μεγάλως τιμωρηθέντες καὶ ἐξουθενηθέντες πλειόνως ἐνταῦθα ἐδόξασε τούτους ὁ Δικαιοκριτής. ἐπειδὴ τὴν ματαίαν καὶ ἐβδελυγμένην δόξαν τοῦ κόσμου ἀπὸ καρδίας μισήσαντες ἀπώσαντο καὶ τὴν σοφιστὴν τῆς κακίας κατεσοφίσαντο πανσόφως καὶ μεθ᾽ ὑπομονῆς τὰς μηχανὰς αὐτοῦ διαλύσαντες, ὅθεν καὶ ἐκληρονόμησαν τὴν ἀθάνατον καὶ ἀμάραντον ἐν οὐρανοῖς δόξαν καὶ αἰωνίαν ἀγαλλίασιν.

οἱ μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι. ἔτι μετὰ τὸ διηγήσασθαί μοι ταῦτα τὸν θεῖον ἄνδρα τὸν εἰς πάντα ὁδηγοῦντα καὶ σαφηνίζοντά μοι τὰ ὁρώμενα, ἐπένευσεν αὖθις ὁ Κύριος τοῖς ἐκ δεξιῶν εἰσπορευθῆναι πλήθη ἁγίων πρὸς Αὐτὸν καὶ τὴν ἁγίαν ἐκείνην καὶ θαυμαστὴν μητρόπολιν. καὶ ἰδοὺ ἐληλύθει ὄχλος οὐ πολύς ἦσαν δὲ τὰ πρόσωπα αὐτῶν λευκὰ ὡσεὶ ἔριον καὶ οἱ χιτῶνες αὐτῶν πυρσοφανεῖς ὡραῖοι τῷ ἀναστήματι οἷα κυπάρισσοι, φλόγα ἀγαλλιάσεως λίαν ἡσύχως γαληνομόρφως ἀπαυγάζοντες. χορεύοντες οὖν οὗτοι καὶ ἀγαλλιώμενοι ἐν χαρᾷ ἀνεκλαλήτῳ εἰσῄεσαν εἰς τὴν ἁγίαν πόλιν. ὑπῆρχον δὲ οὗτοι οἱ πτωχοὶ γεγονότες τῷ πνεύματι, οἳ τύφον δαιμονιώδη οὐκ ἔσχον κατὰ τοῦ πέλας, οὔτε ἔπαρσιν, οὔτε ἀλαζονείαν, οὐθ᾽ ὑπερηφάνειαν, δι᾽ ἃ καὶ ἐπέτυχον τὸν ἐν ἐπαγγελίαις ἀγαθῶν. πρὸς τούτους ἔτι ἐπένευσεν ὁ Κύριος καὶ ἰδοὺ ἐχῄει διαχωρισθεῖσα τοῦ κλήρου τῶν δεξιῶν ἑτέρα συναγωγή, καὶ αὕτη νεφέλη φωτεινὴ ἠλυπτομένη καὶ κλοιοὶ χρυσέοι ἐπὶ τοῖς τραχήλοις αὐτῶν [1], [τὰ δὲ πρόσωπα αὐτῶν λευκὰ ὡσεὶ χιών. καὶ ὡραῖοι ἐρυθροβαφέσιν ποσὶν ἐπορεύοντο. καὶ χαρμονή τις πολλὴ ὑπῆρχεν ἐν μέσῳ αὐτῶν καὶ θεία παράκλησις καὶ ἰδοὺ ἐν τῷ εἰσιέναι αὐτοὺς τὴν μακαρίαν πόλιν ἐκείνην ὁ Κύριος μετὰ πάσης παρακλήσεως καὶ θυμηδίας προετρέπετο αὐτούς, λέγων ἱλαρᾷ φωνῇ πρὸς αὐτούς· εἰσέλθετε ἀγαπητοί μου μετὰ χαρᾶς καὶ εὐφροσύνης καὶ ἀγαλλιάσεως, οἱ κλαύσαντες, καὶ θρηνήσαντες, καὶ δάκρυα καὶ κωκυτοὺς πολλοὺς ἐπὶ τῆς γῆς σπείραντες διὰ τὰ αἰώνια ἀγαθά, ἐν κόπῳ καὶ πόνῳ καὶ πένθει διηνεκῆ πορευθέντες, νῦν ἐν ἀγαλλιάσει καὶ εὐφροσύνῃ δρέψατε τοὺς καρποὺς τῶν πόνων ὑμῶν καὶ παρακαλεῖσθε αἰωνίως ἐν τῇ βασιλείᾳ Μου.

[1] Здѣсь большой пропускъ въ Иверской рукописи; недостающее вставлено по Синодальному списку № 250 (лл. 125, 126 и 111) и отмѣчено угловатыми скобками.

Ἔτι προσεκαλέσατο Κύριος ὁ Θεὸς ἀπὸ τῆς μερίδος τῶν δεξιῶν, καὶ ἰδοὺ ἑτέρα συναγωγὴ πάνυ σεμνῆς καὶ ἱλαρᾶς καταστάσεως, καὶ οὗτοι ἦγον λίαν γαληνοὶ τοῖς ἤθεσιν, πραέοις καὶ ἡσύχοις ποσὶν βαδίζοντες ἤκασιν ἐπὶ τὴν ἁγίαν πόλιν, στολὴν χιονοφεγγῆ περικείμενοι ἕκαστος. καὶ τὰ πρόσωπα αὐτῶν θείαν ἀγαλλίασιν καὶ ἀσύγκριτον περικεχυμένοι ἐν δὲ τῷ πορεύεσθαι αὐτοὺς φῶς ἐξήρχετο ἀπὸ τοῦ περιπάτου αὐτῶν. εἰσῄεσαν τοιγαροῦν καὶ οὗτοι πραεῖς τῇ καρδίᾳ ὀνομαζόμενοι καὶ ὕμνος ἔνδον ἠκούσθη συνήθης τῶν ἀγγελικῶν καὶ θείων ταγμάτων.

οἱ δικαιοκρίται γενόμενοι. Ἔτι προσεκαλέσατο Κύριος ὁ Θεὸς ὡσαύτως, καὶ ἰδοὺ ἑτέρα συναγωγὴ καὶ αὕτη ὀλιγοστή, καὶ οὗτοι ὑπῆρχον περιειλημένοι τὰς πλευρὰς αὐτῶν φῶς, καὶ ἀπὸ τοῦ στόματος αὐτῶν ἡ λαμπρότης τῆς δικαιοκρισίας Κυρίου, καὶ ὀσμὴ μύρου προφανῶς ἐξεπορεύετο, τὰ δὲ πρόσωπα αὐτῶν οἱονεὶ μέλι στάζοντα γλυκασμὸν ἀγαλλιάσεως, καὶ αἱ χεῖρες αὐτῶν ἥπτον ὡς πῦρ, καὶ αὐτοὶ ὑπῆρχον ἐνδεδυμένοι χλαίνας φρικώδεις, ὡς εὔχροια τόξου. καὶ τὰς κεφαλὰς ἐστεμμένοι διὰ λίθων λυχνίτων δίκην ἀνθρώπων μέγα καὶ φανῶν λαμπόντων. κατέναντι δὲ τῶν καρδιῶν αὐτῶν λίθοι μέγιστοι καὶ διαυγεῖς σμάραγδοι ἐπεπήγεσαν λάμποντες ὡς ὁ ἑωσφόρος. καὶ οἱ πόδες αὐτῶν χρυσοϋφέσι παλλίοις καὶ πολυθαυμάστοις περιελίσσοντο. ὡς οὖν παρεγένοντο καὶ οὗτοι πρὸς τὸν Κύριον καὶ ἔστησαν ἐνώπιον Αὐτοῦ, ἰδὼν αὐτοὺς ἠγαλλιάσατο ἐπ᾽ αὐτοῖς καὶ μετ᾽ εὐμενείας καὶ φιλίας διαθέσεως ὑπερεκτιμῶν αὐτοὺς προτρέπεται ὑποδεικνὺς τῇ δεξιᾷ χειρὶ Αὐτοῦ τὴν ὡραίαν πύλην εἰσιέναι. ἡδονῇ τῶν προλαβόντων ἁγίων εἰσῄει. ἦσαν δὲ οἱ ὀλιγοστοὶ οὗτοι πάντες σφόδρα δεδοξασμένοι οἱ κριταὶ ἐν τῷ ματαίῳ κόσμῳ χρηματίσαντες καὶ τὴν δικαιοσύνην ἀγαπήσαντες καὶ δῶρα μὴ δεξάμενοι, καὶ μὴ (sic) ἐλεήσαντες πτωχὸν ἐν κρίσει μηδὲ πρόσωπα δικαστῶν λαβόντες, ἀλλὰ τοῖς πᾶσιν ἐπίσης κατὰ τὸ δέον τὸ δίκαιον ἀπονείμαντες καὶ μηδὲν αὐτοῦ προτιμήσαντες.

οἱ ἐλεήμονες. αὖθις οὖν προσεκαλέσατο ὁ Κύριος καὶ ἰδοὺ ἑτέρα συναγωγὴ πολλὴ σφόδρα παραγενομένη ἔστη μετὰ παρρησίας φρικτῆς καὶ μεγάλης. ἦσαν δὲ οἱ τῆς συναγωγῆς ταύτης ἐνδεδυμένοι χιτῶνας χροιὰν καὶ λαμπρότητα ἴου καὶ ῥόδου παραπλησίους ἔχοντας, τὰς δὲ γε πλευρὰς αὐτῶν εἱλημένοι βύσσον βασιλικὴν, καὶ τὰς κεφαλὰς ἐστεμμένοι στεφάνοις μυριοβαφέσι καὶ ποικλομόρφοις. κεκτημένοι τὴν καταρχὴν ἐξ ἐλαιοκλάδων. καὶ τὰ πρόσωπα αὐτῶν λευκὰ ὡς τὸ φῶς. ἀφ᾽ ὧν ἐξήρχετο δίκην ἱδρῶτος, ἔλαιον μύρου πνέον σεμνὴν ἀσύγκριτον ἀθανασίας καὶ ζωῆς αἰωνίου ἀνεκδιήγητον. οἱ δὲ

πόδες αὐτῶν ὑπῆρχον ὡραῖοι χρυσοφαεῖς ἀστραπὰς ἀπαυγάζοντες καὶ πυρσὸς φρικτὸς ἐξεπορεύετο ἀπ᾽ αὐτῶν ἐν. τῷ πορεύεσθαι αὐτοὺς εἰσῆλθον οὖν καὶ οὗτοι πάντες δεδοξασμένως εἰς τὴν ἁγίαν πόλιν· καὶ αἶνος ἠκούσθη τῶν ἀγγελικῶν καὶ θείων ταγμάτων, παραπλησίως τοῖς προεισελθοῦσιν ἁγίοις, οἵτινες μετὰ τὸ εἰσιέναι εἰς τὴν ἁγίαν πόλιν ἑώρων δόξαν ἀνεκδιήγητον ἐν αὐτῇ καὶ κάλλος παλαστίων καὶ σκηνῶν ἀσύγκριτα καὶ ἀναρίθμητα καὶ οὐκ ἦν αὐτοῖς κόρος τῆς θέας καλλονῆς αὐτῶν ἃ καὶ ἐδέοντο ἔτι ἁγίων ὥστε κατασκηνῶσαι ἐν αὐτοῖς, ἐπειδὴ τὰ πλείω τούτων ἔτι κενὰ περιέμενον· τοσούτων γὰρ ἀναριθμήτων ταγμάτων καὶ πολυανθρώπων εἰσελθόντων ἐν αὐτῇ, τὸ τέταρτον μέρος αὐτῆς κατακρατῆσαι καὶ πληρῶσαι οὐκ ἴσχυσαν. ὑπῆρχον δέ οὗτοι πρὸς τὴν ἁγίαν πόλιν εἰσελάσαντες οἱ ἐλεήμονες πάντες, οἱ χήρας καὶ ὀρφανοὺς διαθρέψαντες, οἱ γυμνοὺς ἐνδύσαντες καὶ ξένους ὁδίτας ὑποδήσαντες καὶ ἔνδον τῆς οἰκίας εἰσαγαγόντες καὶ ξενίσαντες, καὶ χρέη ἀπόροις ἐκ τῶν ἰδίων θησαυρῶν λύσαντες. καὶ ὑπὲρ τῶν ἀδικουμένων πενήτων τὰς ἰδίας ψυχὰς προτεθέντες εἰς θάνατον, καὶ οἱ εἴ ποτε τοὺς πρὸς τῶν πυλῶν αὐτῶν παρερχομένους πένητας καὶ προσαιτοῦντας δι᾽ ἐπιδόσεως τῶν ἀναγκαίων θεραπεύσαντες. αὐτοὶ γὰρ οὐδὲ αὐτῆς τῆς τοιαύτης οὐδαμινῆς καὶ βραχυτάτης εὐποιΐας αὐτῶν τὴν μακαρίαν καὶ αἰώνιον ζωὴν ἐκληρονόμησαν.

οἱ καθαροὶ τῇ καρδίᾳ ἔτι ἐπένευσεν ὁ Κύριος. τοῖς ἐκ δεξιῶν μολεῖν πρὸς Αὐτὸν καὶ πρὸς τὴν ἁγίαν πόλιν Αὐτοῦ. καὶ ἰδοὺ ἑτέρα συναγωγὴ παραλεγομένη ἐν εὐθύτητι ποδῶν αὐτῆς πρὸς τὸν Κύριον καὶ ἐπ᾽ αὐτὴν λαμπρότης][1] καθαρωτάτη σφόδρα καὶ λευκὴ αὖρα σταλάζουσα καὶ αἴγλην γλυκασμοῦ ἀνεχιχνιάστου πρὸ τῶν ὀφθαλμῶν αὐτῶν. καὶ τὰ τίμια πρόσωπα αὐτῶν ἐν τῇ τοιαύτῃ συναγωγῇ ἦπτον ὑπὲρ τὴν ἀστραπὴν μυριοπλασίως καὶ φῶς οἷον ἐξαίσιον καὶ φρικτὸν ἀπηύγαζεν ἀπὸ τῶν καρδιῶν αὐτῶν. καὶ οἱ ὀφθαλμοὶ αὐτῶν πῦρ ἠφίων ἐν ταῖς συννεύσεσι τῶν διανοιῶν αὐτῶν, καὶ δόξα Κυρίου ἐν τοῖς χείλεσιν αὐτῶν ἐπεἀθητο καὶ οὗτοι πάντες εἰσέρχοντο τὸ γόνυ μέχρις ἐδάφους κλίνοντες ἔμπροσθεν τοῦ αἰωνίου Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ μετὰ τὸ εἰσιέναι τούτους πάντας, ἦνεσαν αἱ τάξεις τῶν ἁγίων ἀγγέλων ταύτῃ τοι καθάπερ προείρηται ἐπὶ τοῦ κατεπάνω τοῦ στερεώματος ὑπάρχοντος σκοποῦ ἱστάμενοι ἐβλέπομεν ὡς δι᾽ ὀπῆς τινος δῆθεν ἀνεῳγμένης ἡμῖν, ἐπὶ τῷ πάντα τὰ φρικτῶς ἐπὶ τῆς τοῦ Κυρίου παρουσίας δρώμενα καθορᾷν τηλαυγῶς. ἐν οἷς δὲ ἠποροῦμεν αὐτοῖς ταῦτα κατανοεῖν, ἐδήλου πάν-

[1] Здѣсь оканчивается пропускъ въ Иверской рукописи.

τα καλῶς ὁ σὺν ἡμῖν ὑπάρχων φοβερώτατος ἄγγελος. πλὴν εἴ τι καθ' ὕπνους ταῦτα ὁρῶμεν, εἶθ' ὕπαρ Θεῷ μόνῳ γνωστόν, ἡμῖν γὰρ ἡ περὶ τούτου γνῶσις πάμπαν ἠγνόηται. νοῦς δὲ καὶ αἴσθησις καρδίας καὶ ὀφθαλμοὶ ἐδόκουν προσεῖναι ἡμῖν θείας τινὸς καὶ νοερᾶς φύσεως καὶ οὐκ ἀνθρωπίνης. τέως δὲ ἀπὸ τῆς ἐν ἡμῖν εἰκασίας καὶ τῆς μετὰ τὴν τῆς τοιαύτης θεωρίας λήξειν ἀκριβοῦς διαγνώσεως, ὡς ἐν ὀνείροις ταῦτα ἐβλέπομεν. ἀλλὰ πάλιν ποῦ τοιοῦτος ὁραῖος ὕπνου καὶ ὀνείρου ἀκολουθία ἀσύγκριτος καὶ ἄσκυλτος καὶ τῶν δειχθέντων πάντων ἄληστος μνήμη καὶ ἀδιάχυτος. ὄντως εὔκαιρον κἀνταῦθα λεχθῆναι τό, ὡς ἐμεγαλύνθη τὰ ἔργα Σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. καὶ ἰδοὺ μετὰ ταῦτα ὡς ὡράθη ἡμῖν ὁ Κύριος πρὸς τῇ πύλῃ τῆς πόλεως ἱστάμενος καὶ τοὺς ἐκ δεξιῶν Αὐτοῦ λαχόντας προσκαλούμενος.

οἱ εἰρηνοποιοί. ἰδοὺ ἑτέρα συναγωγὴ οὐ μεγάλη πάνυ παρεγένετο γλυκεῖά τις οὖσα τοῖς σεμνοῖς αὐτῆς ἤθεσι. καὶ ἡ ἀμφίασις τῶν στολῶν αὐτῶν ὡς εἶδος κρυστάλλου φωτοβολοῦντος καὶ τὰς πλευρὰς αὐτῶν εἶχον περιειλιμμένας νεφέλην πυραυγίζουσαν, τὰς δὲ ὀσφύας αὐτῶν ἀστραπὴν ἐζωσμένοι. καὶ κατέναντι τοῦ προσώπου αὐτῶν φῶς ὑπῆρχε καθαρὸν ὡσεὶ διαύγεια ἠλέκτρου. αἱ χεῖρες αὐτῶν καὶ οἱ πόδες ὡσεὶ χιὼν καὶ πάντες οὗτοι ἐπέβησαν ἐπὶ τῷ θαυμασίῳ δαπέδῳ τῆς φρικτῆς εἰσόδου τῆς πόλεως καὶ εἰσῆλθοσαν χαίροντες ἐν αὐτῇ. ἦσαν δὲ οὗτοι οἱ εἰρηνοποιοί. δόξα τοίνυν ἐπὶ τῇ τούτων εἰσόδῳ γέγονε Κυρίῳ τῷ Θεῷ, καὶ ὑπὸ τῶν ἀγγέλων καὶ ὑπὸ πάντων τῶν ἁγίων Αὐτοῦ.

οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης. ἔτι προσθεὶς ὁ Κύριος ἐκάλεσε, καὶ ἰδοὺ ἑτέρα παρεμβολὴ παρεπορεύετο κατέναντι τοῦ προσώπου αὐτοῦ τοῦ Κυρίου καὶ Θεοῦ, καὶ πρὸς τὴν ἁγίαν πόλιν εἰσελαύνουσα ἐν τιμῇ καὶ δόξῃ πολλῇ. καὶ αὐτοὶ ὑπῆρχον κεχαριτωμένοι τὰ πρόσωπα ἀκτῖνας φωτεινὰς ἐν τῷ περιστρέφεσθαι πέμποντα, ἠμφιεσμένοι νεφέλην θεοπύρσευτον καὶ πορφυρᾶν αὔραν εἰλιμμένοι τὰς πλευρὰς αὐτῶν, καὶ δόξα Κυρίου περικύκλῳ αὐτῶν, περιεζωσμένοι διάχρυσον αἴγλην. καὶ οἱ πόδες αὐτῶν ἀντὶ ὑποδημάτων πνευματικὴν εὐπρέπειαν φέροντες ἦπτον ὡσεὶ λαμπάδες πυρός. καὶ ἡ διαύγεια αὐτῶν ὡσεὶ λυχνίτου λίθου φαίνοντος ἐν νυκτί. καὶ εἰσῆλθον καὶ οὗτοι πάντες εὐφραινόμενοι εἰς τὴν φρικτὴν ἐκείνην κατάπαυσιν τῶν ἁγίων ἐν γοῦν τῷ εἰσιέναι αὐτοὺς καὶ καταπαῦσαι αἶνος ἐξαίσιος ἠκούσθη αἰνούντων καὶ εὐχαριστίαν ἀναπεμπόντων Κυρίῳ τῷ Θεῷ. οὗτοι δὲ ὑπῆρχον ὡς ὁ πρὸς ταῦτα καθοδηγῶν με φησίν, οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὑπό τε ἀνθρώπων ἀπίστων καὶ κακοσχόλων καὶ δαιμόνων καὶ τῶν παθῶν, οἱ ὀνειδισθέντες διὰ Χριστόν,

οἱ ραπισθέντες χωρὶς φαινομένης ἀφορμῆς, οἱ ἀτιμασθέντες καὶ βδέλυγμα παρὰ τῶν ἀνθρώπων λογισθέντες, οἱ ἀκούσαντες εἶναι μὲν κακοὶ καὶ ἀποσυνάγωγοι γεγονότες μὴ ὄντες δέ, ἀλλὰ διὰ Κύριον ταῦτα πάντα βαστάσαντες καὶ ἰδιοποιησάμενοι, δι' ἃ καὶ ἠξιώθησαν τῆς μακαρίας ταύτης καὶ αἰωνίου ἀναπαύσεως.

οἱ παρθένοι καὶ σωφροσύνην, φυλάξοντες μετὰ ἐλεημοσύνης. ἔτι προσέθετο Κύριος καλέσαι ἀπὸ τῶν ὑπολοίπων τῆς δεξιᾶς μερίδος. καὶ ἰδοὺ ἑτέρα παρεμβολὴ ἐρχομένη ἐπὶ τὴν εἴσοδον τῆς πόλεως, καὶ παρεπορεύοντο οἱ ἐν αὐτῇ πάντες ὡς ἄγγελοι Θεοῦ, ὡς φυτὰ περικαλλῆ περιηνθισμένα ἐν κρίνοις καὶ ῥόδοις ἡδυπνόοις τὰ δὲ τίμια πρόσωπα αὐτῶν ὑπῆρχον κεκαθαρμένα καὶ φωτεινὰ ἐπαπλασίων ὑπὲρ τὴν χιόνα ἐν τῇ λευκότητι αὐτῶν λάμποντα. καὶ εἰσῆεσαν ἅπαν τὸ τοιοῦτον ἅγιον σύνταγμα περιβεβλημένοι ἀντὶ χλαινῶν ἀστραπὰς ἀστραπτούσας ἐπὶ πᾶν τὸ πρόσωπον τοῦ φρικωδεστάτου ἐκείνου ἀέρος. αἱ δὲ χεῖρες αὐτῶν καὶ οἱ ὡραῖοι πόδες ἐσπινθηροβόλουν αἴγλην θαυμασίαν πυρὸς γαληνομόρφως. καὶ οἱ τούτων ὀφθαλμοὶ ὡς ἁγίασμα Θεοῦ καθαρὸν ὅπως κατὰ προκοπὴν λαμβάνουσι καὶ χρίονται ἄγγελοι Θεοῦ καὶ λαμπάδες χρυσαυγίζουσαι ἐπὶ τῶν χειρῶν αὐτῶν ἐν αἷς φῶς πυρὸς ὡράτο οἷον γλῶσσα βρότειος ἀδυνατεῖ διηγήσασθαι. καὶ εἰσήλθοσαν ἐν μεγάλῃ δορυφορίᾳ τῆς λαμπροτάτης αὐτῶν ἔνδον τῆς ἁγίας πόλεως ἐκείνης πειθομένου δέ μου καὶ περὶ αὐτῶν τὸν ὁδηγοῦντά με, τίνες ἂν οὗτοι τυγχάνουσιν, ἀπεκρίνατο, οἱ παρθενίαν καὶ κοίτην νομίμου ἀνδρὸς φυλάξαντες ἀμίαντον μετὰ ἐλεημοσύνης καὶ ἐγκρατείας τῆς καθόλου τῶν βλαβερῶν.

οἱ νομίμως ὑπανδρευθέντες καὶ φυλάξαντες τὴν κοίτην αὐτῶν ἀμόλυντον. ἔτι προσεχόντων ἡμῶν ἰδοὺ ἐπένευσεν ὁ Κύριος ἥκειν τοὺς καταλειφθέντας ἀπὸ τῆς δεξίας μερίδος, καὶ ἰδοὺ ὀλίγη συναγωγὴ πορευομένη ἐπὶ τὴν πύλην τῆς πόλεως. καὶ αὐτοὶ ὑπῆρχον ἔντιμοι σφόδρα καὶ ὡραιόμορφοι ὡραιζόμενοι καὶ οἷον μειδιῶντες ἐπὶ τῇ ὡραιότητι αὐτῶν τὰ δὲ τίμια αὐτῶν πρόσωπα ὑπῆρχον ἴσα καὶ ῥόδων ἐρυθρότητι καὶ λευκότητι ἐρυθραινομένα καὶ λευκαινόμενα. οἱ χιτῶνες σὐτῶν λευκοί, ὡσεὶ χιών, αἴγλην φαεινὴν καὶ θαυμασίαν ἀποπέμποντες, εἰλιμμένοι τὰς πλευρὰς αὐτών ὡσεὶ κρίνου ἡδυπνόου εὔχροιαν. ἐπὶ δὲ ταῖς κορυφαῖς αὐτῶν, στέφανοι ἐξ ἀνθέων καὶ κρίνων ἀμάραντοι ἔκειντο, καὶ χεῖρας χερσὶ κρατοῦντες ἀλλήλους ἀγλαομόρφοις ἐπορεύοντο, καὶ θαυμαστὴ ἦν ἀγάπη ἐν μέσῳ αὐτῶν καὶ αὐτοὶ ὡς ἄγγελοι Θεοῦ περιεζωσμένοι τὰς ὀσφύας ἀστραπὴν καὶ ἐπὶ τῶν ποδῶν φέροντες ὡραιότατα κοκκινοβαφῆ σανδάλια, καὶ εἰσήλθοσαν εἰς τὴν πολυθαύμαστον καὶ ἀνεκδιήγητον πόλιν ἐκείνην καὶ εὐλόγησαν

τὸν Θεὸν ἐπὶ τῇ καταπαύσει αὐτῶν πάντες οἱ ἄγγελοι Αὐτοῦ. ἔγωγε οὖν ἔφριττον καὶ ἱλιγγίων καὶ κατενόουν ἐμαυτὸν πῶς δυνατὸς καὶ ἡ ἰσχύς μου τῶν διανοιῶν οὐκ ἐξέλιπεν ἐπὶ τῇ κατανοήσει τῶν βλεπομένων μοι. πᾶσαι δὲ αἱ τάξεις τῆς ἑτοιμασίας εἱστήκεισαν ἡσύχως καὶ γαληνῶς ὡς ἐν ἐρήμῳ βαθείᾳ ἐπὶ τῶν στάσεων αὐτῶν ἐκκλησίαι, ἐπὶ τοῦ θαυμαστοῦ ἀέρος ἀκλόνητοι ἐστηλωμένοι ὡς ἐπὶ ἐδάφους γηΐνου. καὶ φησὶν πρός με ὁ σὺν ἐμοί „οὗτοι οἱ εἰσελάσαντες πρὸς τῷ τέλει τῶν ἁγίων ἐπὶ τὴν ἁγίαν πόλιν τὰ ζεύγη τῶν ἀνδρογύνων ἐν Χριστῷ εἰσίν, οἱ καθαροὶ καὶ ἀμόλυντοι γινόμενοι ἐν ταῖς συζυγίαις αὐτῶν, μὴ μιάναντες κοίτην ἰδίαν, οἱ ποιήσαντες τὸ ἀγαθὸν καὶ εὐθὲς ἐνώπιον Κυρίου διὰ παντὸς ἐλεημοσύνας ποιοῦντες ἀπὸ δικαίων πόνων καὶ ἰδίων καμάτων, ταῖς ἁγίαις ἐκκλησίαις διὰ παντὸς σχολάσαντες καὶ τῇ ζωοποιῷ καὶ ἁγίᾳ Τριάδι εὐσεβῶς καὶ ὀρθοδόξως λατρεύσαντες, ὅθεν καὶ δικαίως κατὰ τὰς ἀγαθὰς πράξεις αὐτῶν ἀπέλαβον μετὰ πάντων τῶν ἁγίων τὴν ἀγήρω ταύτην καὶ ἀθάνατον βασιλείαν ἧς τέλος οὐκ ἔσται“. ἔφησα δέ πρὸς αὐτόν· „ὄντως [1], κύριέ μου, τολμηρῶς ἐρωτήσω σε, σὺ δέ μοι τάληθὲς σαφήνισον· εἴπερ ἄρα καὶ ἐν ταύτῃ τῇ μακαριωτάτῃ ζωῇ ἡ γυνὴ τὸν ἴδιον ἄνδρα καὶ ὁ ἀνὴρ τὴν ἰδίαν γυναῖκα ἔχει, οἱ ἀρρύπως δηλονότι καὶ ἐν φόβῳ Κυρίου διαζήσαντες καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ ἀπαρατρώτους φυλάξαντες“; καὶ φησὶ πρός με· „οὐκ ἔστιν ἐνταῦθα ἐπιθυμία τοῦ ματαίου ἐκείνου κόσμου οὐδαμῶς. πρὸς γὰρ ἀφθαρσίαν τῆς κτίσεως ὑπὸ Θεοῦ μεταχωρησάσης οὐκέτι τοιοῦτόν τι βιωτικὸν οἱ ἀφθαρτηθέντες ἄνθρωποι μετέρχονται ἢ ὅλως τοιούτου οἱουδήτινος ἐπιδέονται, ἀλλὰ πάντες κατὰ τὸν τοῦ Κυρίου λόγον ὡς ἄγγελοί εἰσιν Θεοῦ, καὶ βίον ζῶσιν ἀγγελικόν αἰνοῦντες καὶ ὑμνοῦντες ἀκαταπαύστως τὴν ἁγίαν καὶ ζωαρχικὴν Τριάδα, καὶ ἑορτάζοντες διηνεκῶς καὶ ἀιδίως“.

τούτων οὕτως πρός με εἰρημένων, ἰδοὺ ὁ τίμιος Σταυρὸς ἀπάρας ἀφ᾽ οὗ ἵστατο τόπου τῆς ἑτοιμασίας διὰ νεφέλης θείας ἐπὶ τοῦ αἰθέρος φερόμενος καὶ μαρμαρυγὰς ἀστραπηφόρους τῶν ἰδίων ἀκτίνων ἐκπέμπων ἔρχεται καὶ ἵσταται ἐπάνω τῆς θαυμαστῆς καὶ σεβασμίας πόλεως ἐκείνης, ὅλος ὡραισμένος καὶ δεδοξασμένος, κατέναντι τῆς πύλης ἐν ᾗ ὁ Κύριος ἵστατο τοὺς ἁγίους καλῶν κατ᾽ ὄνομα καὶ εἰσάγων ἔσωθεν [2].

τὸ δὲ γε πλῆθος τῶν ἁμαρτωλῶν ὑπῆρχε κατέναντι τοῦ Κυρίου ἱστάμενον ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς ἐκείνης ὡς τὰ ἄστρα τοῦ

[1] нѣтъ.

[2] Въ Синодальномъ спискѣ далѣе слѣдуетъ заглавіе· ἐνταῦθα ἄρχονται τὰ ματαίων ἁμαρτωλῶν

οὐρανοῦ καὶ ὡσεὶ ἄμμος τῆς θαλάσσης καὶ ὡς χοῦς τῆς γῆς, ἀπο Ἀδὰμ τοῦ πρωτοπλάστου καὶ μέχρι τῶν ἐν αὐτῇ τῇ δευτέρᾳ παρουσίᾳ τοῦ Κυρίου γεννηθέντων κατὰ τὴν τοῦ φθαρτοῦ κόσμου συντέλειαν, οἵ τε πρὸ νόμου καὶ ἐν νόμῳ, καὶ ἐν τῇ καινῇ διαθήκῃ, καὶ ἅπαξ ἁπλῶς πᾶσα ψυχὴ ἀπὸ παντὸς ἔθνους καὶ πάσης φυλῆς ἡ μὴ μετανοήσασα καὶ ἐξομολογησαμένη καὶ τῶν πονηρῶν πράξεων ἀποστᾶσα, ὑπὸ τοῦ θανάτου ἐχωρίσθη τοῦ ἰδίου σώματος ἐπαποθανοῦσα ταῖς ἰδίαις ἁμαρτίαις ἵστατο κριθησομένη ὡς τὸ ὕδωρ τρέμουσα καὶ κλονουμένη ὡς φύλλον ὑπὸ ἀνέμου σαλευόμενον, οἱ ἀπὸ πάσης πίστεως καὶ δόξης καὶ αἱρέσεως, καὶ οἱ ὀρθοδόξως μὲν πιστεύσαντες καὶ τῷ ἁγίῳ τελειωθέντες βαπτίσματι, μὴ φυλάξαντες δὲ τὰς ἁγίας ἐντολὰς τοῦ Κυρίου, μὴ ἀποστάντες ἀπὸ τῶν πονηριῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν, οἱ φονεῖς ἀπὸ τῶν φόνων αὐτῶν, οἱ μοιχοὶ ἀπὸ τῶν μοιχειῶν αὐτῶν, οἱ ἀρσενοκοῖται ἀπὸ τῆς αἰσχρουργίας αὐτῶν, οἱ αἱμομίκται ἀπὸ τῆς αἱμομιξίας αὐτῶν. οἱ κλέπται ἀπὸ τοῦ κλέπτειν, οἱ φαρμακοὶ ἀπὸ τῶν φαρμακειῶν αὐτῶν. οἱ ἐπαοιδοὶ ἀπὸ τῆς ἐπῳδῆς αὐτῶν, οἱ σκνιφοὶ ἀπὸ τῆς σκνιφότητος αὐτῶν, οἱ φιλάργυροι καὶ οἱ φιλοχρήματοι ἀπὸ τῆς περὶ τὰ μάταια μανίας αὐτῶν τῆς ψευδοῦς, οἱ ἐχθραίνοντες καὶ μνησικακοῦντες τοῖς ὁπωσδήποτε λελυπηκόσιν αὐτοὺς ἀπὸ τῆς μήνυδος καὶ μνησικακίας αὐτῶν, οἱ κατάλαλοι ἀπὸ τῆς καταλαλιᾶς αὐτῶν, οἱ ψεῦσται ἀπὸ τοῦ ψεύδους αὐτῶν, οἱ δόλιοι καὶ πανοῦργοι ἀπὸ τῆς ἰδίας πανουργίας καὶ δολιότητος, οἱ ὀργίλοι ἀπὸ ὀργῆς καὶ θυμοῦ, οἱ αἰσχρολόγοι καὶ ὑβρισταὶ καὶ τὰ εὐτράπελα καὶ γελωτοποιὰ φθεγγόμενοι καὶ μάταια ἀπὸ τῆς τοιαύτης αἰσχρουργίας καὶ φλυαρίας αὐτῶν, οἱ φθονεροὶ ἀπὸ τοῦ φθόνου αὐτῶν, οἱ λοίδοροι ἀπὸ τοῦ λοιδορεῖν, οἱ ὑπερήφανοι ἀπὸ τοῦ ὑπερηφανεύεσθαι, οἱ κενόδοξοι καὶ τετυφωμένοι ἀπὸ τοῦ κενοδοξεῖν καὶ ἐπαίρεσθαι, οἱ μέθυσοι ἀπὸ τῆς μωρᾶς μέθης, οἱ γαστρίμαρτοι ἀπὸ τῆς ἀπληστίας αὐτῶν, οἱ τύπτοντες τὸν πλησίον ἀπὸ τοῦ τύπτειν. οἱ μαλακοὶ ἀπὸ τῆς ἁφῆς, οἱ πόρνοι ἀπὸ τῆς πορνείας. οἱ λαθροφάγοι καὶ λαθροκακοῦργοι ἀπὸ τῆς τοιαύτης σατανικῆς ἐργασίας αὐτῶν. οἱ κρίνοντες ἀκαίρως τὸν πλησίον καὶ τὰς πράξεις αὐτῶν ἐκπομπεύοντες ἐμπαθῶς ἀπὸ τοῦ κρίνειν, οἱ τὸ δίκαιον δώροις πωλοῦντες καὶ τὸ ἄδικον ἀνθαιρούμενοι ἀπὸ τῆς τοιαύτης παρανομίας αὐτῶν,—οὗτοι οὖν πάντες οἱ ἀπὸ χριστιανῶν ἁμαρτωλοὶ ἐλπίδι τοῦ μετανοῆσαι φενακισθέντες ἀπέμειναν τῇ ἡδονῇ τῆς ἁμαρτίας καὶ ἡρπάγησαν ὑπὸ τοῦ θανάτου, μὴ ἀξιωθέντες κἂν πρὸς αὐτὸ τὸ τέλος μετανοίας τυχεῖν κατὰ δικαίαν ψῆφον Θεοῦ καὶ οὐ μόνον οὐδὲν αὐτοὺς ὠνήσειε τὸ ἅγιον βάπτισμα, ἀλλὰ καὶ κολάσεων πικροτάτων ὑπὲρ τοὺς ἀπίστους

πρόξενον γενήσεται, ἀνθ' ὧν ἐμόλυναν αὐτὸ ἔργοις αἰσχροῖς καὶ ρυπαροῖς, καὶ τὰς τοῦ Κυρίου ἁγίας ἐντολὰς οὐκ ἐφύλαξαν, σὺν αὐτοῖς καὶ πάντες οἱ λοιποὶ τὰ ἄξια λήψονται τῶν βεβιωμένων αὐτοῖς, καὶ πληρωθήσεται δι' αὐτῶν ἡ ὠργισμένη καὶ καχλάζουσα τοῦ αἰωνίου πυρὸς θάλασσα ἥνπερ ἐξέκαυσαν τοῖς πονηροῖς ἔργοις καὶ διαβολίοις αὐτῶν. παρῆσαν γοῦν πάντες κριθησόμενοι, ἀνέτοιμοι, κατησχυμένοι, ρυπαροί, ἀηδεῖς, δυσειδεῖς, σκοτεινοί, ρυπαροπρόσωποι, μιαροί, δυσώδεις, βεβορβορωμένοι, παντελῶς ἀναπολόγητοι, καραδοκοῦντες, τί ποιήσειε Κύριος ὁ Θεὸς αὐτοῖς.

καὶ προσχὼν ὁ Κύριος ἐπέβλεψεν ἐπὶ τοὺς ἐξ εὐωνύμων ἐν τῇ προσούσῃ Αὐτῷ εὐμενείᾳ, καὶ ἰδοὺ τὸ ἅγιον Πνεῦμα τῆς θεότητος Αὐτοῦ παροξυσμῷ καὶ ὀργῇ δικαίᾳ ὠργίσθη καὶ ἐθυμώθη ἐπὶ τοὺς ἁμαρτωλοὺς καὶ ἀπηλλοτριωμένους ἐκ μήτρας, καὶ ὁρῶν κατὰ πρόσωπον αὐτῶν τὰς ἁμαρτίας αὐτῶν, ἐθυμοῦτο καὶ παρωξύνετο σφόδρα. ἄἴφνης οὖν ὡράθη ἐν χειρὶ Κυρίου ῥάβδος πυρίνη, καὶ ταύτην ὠθήσας ἀπέρριψε κατὰ πρόσωπον πάντων τῶν υἱῶν τῆς ἀνομίας ἐν μέσῳ αὐτῶν. καὶ ἰδοὺ μερισμὸς καὶ ἀφορισμὸς ἐν μέσῳ αὐτῶν διὰ τῆς ῥάβδου ἐγένετο τῆςδε καὶ ἔστησαν εἰς μέρη καὶ μέρη πᾶσα φυλὴ καὶ γλῶσσα καὶ πᾶσα πίστις καὶ δόξα καὶ αἵρεσις, καὶ μέρος μὲν γεγόνασιν οἱ τοῦ ἔθνους τῶν ἰουδαίων, οἱ μὴ τῷ νόμῳ Μωσέως ἐμμείναντες, ἀλλὰ τοῖς εἰδώλοις τῶν ἐθνῶν λατρεύσαντες ἄχρι τῆς τοῦ Κυρίου ἐνσάρκου οἰκονομίας, μέρος δὲ οἱ μετὰ τὴν τοῦ Κυρίου παρουσίαν μὴ πιστεύσαντες εἰς Αὐτόν, καὶ τὰ μύρια δεινὰ ἐργασάμενοι τῶν ἁγίων παθῶν Αὐτοῦ τε καὶ τῶν ἀποστόλων Αὐτοῦ.

καὶ ἰδοὺ εὐθέως ἐπέβλεψεν ἐπὶ δυσμὰς ὁ Κύριος ἐν θυμῷ καὶ ὀργῇ, καὶ παρεγένοντο οἱ τοῦ πυρὸς ἄγγελοι ὡς τάχος ἀστραπῆς, καὶ ἥρπασαν τοὺς λοιποὺς καὶ διεπέτασαν αὐτοὺς ἐν τῷ ροίζῳ τοῦ φοβεροῦ ἐκείνου πυρὸς τοῦ ἐπὶ τῆς θαλάσσης βρέμοντος καὶ ἀπείρως καχλάζοντος, καὶ αὐτοὶ ἠλάλαξαν ποντούμενοι τὸ οὐαὶ καὶ θρῆνος καὶ κοπετὸς ἐξηκούετο μάλα δεινῶς, ἐπειδὴ φόβος καὶ τρόμος μέγας ἐπέπεσεν ἐπ' αὐτούς

καὶ μετὰ τούτους διεχωρίσθησαν ἐν μέρει ὅσοι χριστιανοὶ μὲν ἐχρημάτισαν, ἐν δὲ ταῖς ἡμέραις τοῦ διωγμοῦ περέβησαν καὶ ἠρνήσαντο τὸ ὄνομα τὸ ἅγιον Αὐτοῦ, καὶ αὐτοὶ ἔστησαν ἅπαντες κατηχρειωμένοι, βέβηλοι, ἐλεεινοί, κατησχυμένοι, καὶ ἀπεφήνατο ὁ Κύριος κατ' αὐτῶν. καὶ εὐθέως ἰδοὺ οἱ τοῦ πυρὸς ἄγγελοι ἦκον ἐπ' αὐτοὺς καὶ τῶν τριχῶν αὐτῶν δραξάμενοι ἥρπασαν τούτους πάντας καὶ ἠκόντισαν ἐν μέσῳ τῆς θαλάσσης τοῦ πυρὸς ἀφιέντας φρικτὰς φωνάς— ἐλέησον ἡμᾶς, Υἱὲ τοῦ Θεοῦ. καὶ οὐκ ἦν ὁ ἐλεῶν οὐδὲ ὁ οἰκτείρων αὐτούς [1].

[1] Далѣе въ Син. сп. слѣдуетъ заглавіе: οἱ ἀπ' αἰῶνος φονεῖς καὶ λησταί

καὶ μετ᾽ αὐτοὺς ἰδοὺ ἑτέρα συναγωγὴ ὑπὸ τῆς ῥάβδου Κυρίου διεστάλη, καὶ αὐτοὶ αἵματι ἀπείρῳ καταπεφοινιγμένοι καὶ κατηχρειωμένοι. ἦσαν δέ οὗτοι οἱ ἀπ᾽ αἰῶνος φονεῖς καὶ λῃσταὶ καὶ πάντες ὅσοι τινὰς ὁμοφύλους ἀκρίτως καὶ ἐκτὸς νομίμου ἀποφάσεως ἀπέκτειναν, εἴτε ἐν γῇ εἴτε ἐν θαλάσσῃ, ἢ καθοιονδήτινα τρόπον ἕτερον. καὶ ἀπεφήνατο ὁ Κύριος κατ᾽ αὐτῶν. καὶ ἰδοὺ ἄγγελοι Κυρίου οἱ ἐπὶ τῶν κολάσεων καὶ ἦραν αὐτοὺς ἀποτόμως καὶ κατεπόντισεν ἐπὶ τοῦ πυρὸς τῆς θαλάσσης, καὶ ὁ κλαυθμὸς αὐτῶν καὶ αἱ φωναὶ αὐτῶν ἀνήρχοντο μέχρι τῶν ἁψίδων τοῦ οὐρανοῦ λεγόντων· ἐλέησον ἡμᾶς, ὁ φοβερὸς ὁ Λόγος τοῦ Θεοῦ καὶ Πατρός. καὶ οὐχ ὑπῆρχεν ὁ ἐλεῶν ἢ ὁ αὐτοὺς ἐξαιρούμενος [1].

καὶ μετὰ τούτους ἔτι διεχώρισε Κύριος ὁ Θεὸς ἀπὸ τῶν κατακρίτων, καὶ ἰδοὺ ἑτέρα συναγωγή, καὶ αὐτοὶ ἔστησαν ἰδιάζοντες ἐν αἰσχύνῃ μεγάλῃ καὶ δάκρυσι ἀφορήτοις διότι ἀκάθαρτοι καὶ μιαροὶ ὑπῆρχον σφόδρα, μοιχοὶ καὶ μοιχαλίδες γενόμενοι, καὶ ὡς κύνες ρινηλάται ὀπίσω τῶν ἀνδρογύνων ἐπορεύθησαν, καὶ ἐμόλυναν τὰ ἴδια σώματα καὶ τὰς ψυχὰς καὶ ἔφριττον ἀπὸ προσώπου τοῦ Θεοῦ αἰσχυνόμενοι καὶ ὡς ἐπένευσεν Κύριος ὁ Θεὸς ἐπ᾽ αὐτούς, ἰδοὺ ἄγγελοι πύρινοι ροπάλοις παίοντες αὐτοὺς οὓς καὶ παραλαβόντες ἥρπασαν καὶ κατεκερμάτισαν ἐπὶ τῆς φοβερᾶς ἐκείνης θαλάσσης τοῦ πυρὸς καὶ ἦν ἰδεῖν μέγα ἐλεεινόν ἐπ᾽ αὐτούς, ἔτριζον γὰρ τοὺς ὀδόντας ἐν πείρᾳ γενόμενοι τῆς ἀθανάτου πυρκαϊᾶς ἐκείνης καὶ ἐβόων γοερῶς, — φεῖσαι ἡμας, Κύριε, ὅτι ἐκτὸς Σου ἄλλον Θεόν οὐκ ἐγνωρίσαμεν οὐδὲ προσεκυνήσαμεν. καὶ οὐκ ἦν ὁ εἰσακούων οὐδὲ ὁ ἐλεῶν αὐτούς. ἐξεκαύθη γὰρ ἀληθῶς αὐθαιρέτως ὁ θυμὸς τοῦ δικαίου Κριτοῦ ὁ ἀπαθὴς καὶ δικαιότατος ἐπὶ τῇ δικαίᾳ ἀνταποδόσει τῶν μὴ μετανοησάντων ἐπὶ ταῖς ἁμαρτίαις αὐτῶν.

ἔτι πρὸς τούτους καὶ ἠφόρισεν ἡ τοῦ Θεοῦ θεία ῥάβδος ἀπὸ τοῦ ἐπαράτου κλήρου τῶν εὐωνύμων, καὶ ἰδοὺ ἔστη ἐν μέρει συναγωγὴ πονηρὰ καὶ ἁμαρτωλὸς σφόδρα. τὰ πρόσωπα αὐτῶν ὡς αὐτοῦ τοῦ σατανᾶ ἀσβόλῃ περικεχρωσμένα, πεπυρακτωμένα καὶ καταπεφρυγμένα. καὶ διεχεῖτο ἐπ᾽ αὐτοὺς ἰὸς δυσώδης καὶ χαλεπὸς τοῦ ἰχῶρος τῆς ἀκαθαρσίας αὐτῶν, ὡς ἐκ καλάμου βόρβορος ἐπιπορευόμενος. καὶ αὐτοὶ ἐμίσουν καὶ ἐβδελύσσοντο σφόδρα αὐτοὺς εἰς τέλος. ἐπειδὴ πρὸ προσώπου αὐτῶν ὑπῆρχεν ἡ βέβηλος αἰσχρουργία αὐτῶν καὶ ἡ ἄθεσμος πρᾶξις. οἱ δὲ ἦσαν οἱ τὴν παρὰ φύσιν μίξιν ἐπὶ τῆς γῆς ἐργασάμενοι ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην ἐνδειξάμενοι. καὶ ἐβδε-

[1] Тамъ же—далѣе заглавіе μοιχοὶ καὶ μοιχαλίδες.

λύτξατο αὐτοὺς Κύριος ὁ Θεὸς σφόδρα, καὶ διετάξατο λεγεῶνι ἀγγέλων τῶν ἐπὶ τῶν τιμωριῶν τεταγμένων. καὶ ἰδοὺ ἐπέπεσον ἐπ' αὐτοὺς ὡς χάλαζα ροιζηδὸν ἀφαρπάσαντες αὐτοὺς καὶ ἐπιτιθέντες ὡσεὶ μύλους χαλκοῦς καὶ σιδηροῦς ἐπὶ τοὺς τραχήλους αὐτῶν, ἐκεῖσε τούτους ἠ' όντισαν ἐπὶ τῆς θαλάσσης τοῦ πυρός. ἔνθα ὁ σκώληξ ὁ ἀκοίμητος μυρμηκηδὸν ἀνεδίδοτο καὶ ἐν τῷ ἅψασθαι αὐτῶν τὸ πῦρ ἐκεῖνο τὸ φοβερὸν καὶ οἱ ὀφιοειδεῖς σκώληκες, βοαὶ φρικταὶ καὶ κωκυτὸς μέγας ἐξηκούετο ἐν μέσῳ αὐτῶν. καὶ ὀδυρμὸς πικρὸς καὶ πολὺς σφόδρα ἐξηχεῖτο [1]– ἐπὶ πρόσωπον –[1] τῆς ὑπ' οὐρανόν. μόνον γὰρ ἠνωτιζόμεθα αὐτῶν λεγόντων, καὶ πικρῶς ἀποδυρομένων οὐαὶ οὐαὶ φεῦ τῆς μεγάλης ταύτης ἀνάγκης, διότι [2] οὐ [3] γέγονε τοιαύτη οὔτε ἐν τῷ οὐρανῷ ἄνω, οὔτε ἐπὶ τῆς γῆς κάτω. ταύτης γοῦν τῆς γοερᾶς φωνῆς ἐξακουομένης ἐπὶ πρόσωπ ν πάσης τῆς γῆς, θρῆνος καὶ ὀδυρμός πολὺς ἦν ἐν μέσῳ τῆς συναγωγῆς τῶν εὐωνύμων, καὶ κατέκοπτον ἑαυτῶν τὰ πρόσωπα τύπτοντες ἀφειδῶς ταῖς χερσὶ καὶ διεπρίοντο καὶ διεσχίζοντο μεγάλα μετανοοῦντες, οὐδὲν δὲ ὠφελοῦντες, ἀλλ' οὕτως διακείμενοι κατὰ πρόσωπον τοῦ δικαίου Κριτοῦ, ὡς αὐτὸς ἐκεῖνος ὁ ἀντάρτης σατᾶν καὶ διάβ.λος.

ἔτι [4] διέστειλε Κύριος ὁ Θεός ἀπὸ τῶν εὐωνύμων τῇ κραταιᾷ ῥάβδῳ τῆς ἰσχύος αὐτοῦ, καὶ ἰδοὺ συναγωγὴ ἐξ ἑκατέρας γενέσεως τῆς τε ἄρρενος καὶ θηλείας διακριθεῖσα ἔστη καὶ τὰ πρόσωπα αὐτῶν ὡς τοῦ ἑρπετοῦ τῆς καλουμένης σαύρας κιτρίνης τὸ δέρμα ἢ ὄφεως κεράστου. ἐπεκρέματο δὲ κύκλῳ τῶν σωμάτων αὐτῶν πλήθη σφηκῶν καὶ μυιῶν καὶ ἑτέρων τινῶν ζωυφίων καὶ ἑρπετῶν ἀκαθάρτων γένη ὧν οὐκ ἦν ἀριθμός, τύποι ταῦτα καὶ σαφῆ δείγματα τῆς ἐνδελεχούσης αὐτοῖς τῶν ἀκαθάρτων λογισμῶν ἐνηδόνου συνομιλίας καὶ συγκαταθέσεως. ἐν δὲ ταῖς χερσὶν αὐτῶν χολέρα χολῆς ὡράτο. καὶ ἐν τοῖς ποσὶν αὐτῶν σκότος καὶ εἶδε εἰς αὐτοὺς Κύριος καὶ παρωξύνθη καὶ ἐβδελύξατο αὐτοὺς σφόδρα, καὶ ἐπένευσε τοῖς ἐπὶ τοῦ πυρὸς ἀγγέλοις, καὶ ἰδοὺ ἦλθον ἀποτόμως εἰς αὐτοὺς καὶ βαρεῖαι ἁλύσεις σφόδρα ἐπετέθησαν τοῖς τραχήλοις αὐτῶν, καὶ ἐνεβλήθησαν ὑπὸ τῶν ἀγγέλων τοῦ πυρὸς εἰς τὴν φρικτὴν ἐκείνην θάλασσαν, καὶ ἔτριζον οὖν τοὺς ὀδόντας ἐν ἰσχύι ἀπὸ τοῦ συσχόντος αὐτοὺς πόνου ἐμπυριζόμενοι καὶ βιαίως στενοχωρούμενοι, καὶ οὐαὶ προσαναφθεγγόμενοι τὴν συνέχουσαν αὐτοὺς πικρὰν δριμύτητα οὐχ ὑπέφερον. οὗτοι

[1–1] нѣтъ.

[2] доб. αὕτη.

[3] οὐτε

[4] доб заглавіе μάγοι, ἐπαοιδοί, μαλακοί, γόητες

δὲ ὑπῆρχον μάγοι, ἐπαοιδοί, μαλακοί, γόητες καὶ οἱ τῶν τοιούτων ἐπιτηδευόμενοι εἰς τὸ ἐκπληρῶσαι τὰ ἴδια καταθύμια.

ἔτι [1] διέστειλεν ὁ Κύριος ἀπὸ τῶν ἐξ εὐωνύμων Αὐτοῦ, καὶ ἰδοὺ ἀποχωρισθεῖσα συναγωγὴ ἔστη κατὰ μόνας ἐπὶ τὸ αὐτό. ἡ δὲ ὁρὰ τοῦ προσώπου αὐτῶν ὑπῆρχε κτηνώδης, καὶ πτύελοι κτηνῶν περιεχέοντο αἱμώδεις καὶ ἀφρώδεις ἐπὶ παντὸς τοῦ σκηνώματος αὐτῶν. καὶ αὐτοὶ ἀηδεῖς καὶ σιχαντοὶ σφόδρα. καὶ αὐτοὶ οἱ μετὰ κτηνῶν πορνεύσαντες χριστιανοὶ καὶ τὸ καθόλου μὴ μετανοήσαντες καὶ ἐπένευσεν ὁ Κύριος τοῖς δημίοις ἀγγέλοις καὶ ἦραν αὐτοὺς, καὶ ἐνέβαλον εἰς τὴν θάλασσαν τοῦ πυρός. καὶ οὗτοι κατακαιόμενοι ἐν ἀσβέστῳ φλογὶ ἔλεγον· οὐαί, οὐαί, κατεκαύθημεν, κατεκάημεν. οὕτως βοῶντες τῷ φρικτῷ ἐκείνῳ πυρὶ κατεκαίοντο, καὶ δριμύτατον πόνον ὑπέφερον [2].

εἴδομεν τοίνυν, καὶ ἰδοὺ πᾶσαι αἱ οὐράνιαι δυνάμεις κατὰ ἀνατολὰς καὶ δυσμὰς καὶ μεσημβρίαν καὶ ἄρκτον παρειστήκεισαν φόβῳ καὶ τρόμῳ τῷ Κριτῇ, οὐκ ἐν τῇ καινῇ ἐκείνῃ γῇ ἱστάμενοι, ἀλλ' ἐπὶ τοῦ ἀέρος ἑστῶτες καὶ σεμνῶς πορευόμενοι, καὶ ἐδόκει μὴ χωρεῖν αὐτοὺς πᾶσαν τὴν κτίσιν ὁ δὲ Κύριος εἱστήκει ἔτι παρὰ τῇ φρικτῇ πύλῃ τῆς ἁγίας Αὐτοῦ πόλεως καὶ ἠΰγαζε τὸ πρόσωπον Αὐτοῦ μήκοθεν φαιδροτάτην καὶ ξένην διαύγειαν οἵαν νοῦς καὶ γλῶσσα βρότειος ἀδυνατεῖ κατανοῆσαι καὶ διὰ στόματος φθέγξασθαι.

ὁ [3] αὐτὸς Κύριος ἔτι ἀφορισμῷ διεστείλατο ἀπὸ τῶν εὐωνύμων, καὶ ἰδοὺ ἕτερος λαὸς ἐξελήλυθε καὶ ἔστη ἰδίως. ἦν δὲ ὀλίγος σφόδρα. ἐνδεδυμένοι ἔνδυμα πονηρὸν ἐν τοῖς σκηνώμασιν αὐτῶν. τὰ δὲ πρόσωπα αὐτῶν ἠφαντωμένα ἀπὸ τῆς στυγνότητος αὐτῶν ἰχῶρας δεινοὺς ἀπορρέοντα καὶ στρεβλοὶ οἱ πόδες αὐτῶν. θανάσιμον δὲ σημασίαν κατεῖχον ἐν ταῖς χερσὶν αὐτῶν. καὶ ἀπώσατο αὐτοὺς διὰ ταῦτα τὸ Πνεῦμα Κυρίου, καὶ σφόδρα ὀργισθὲν αὐτοὺς ἀπεφήνατο κατ' αὐτῶν. καὶ ἰδοὺ ἀπότομοι ἄγγελοι ἥρπασαν αὐτοὺς καὶ ἐνέβαλον εἰς τὴν θάλασσαν τοῦ πυρὸς τὴν καιομένην καὶ ἁλύσεις σιδηραῖ περὶ τὸν αὐχένα αὐτῶν ἐτέθησαν, καὶ ἐθρήνουν κλαυθμὸν ἀπαράκλητον, καὶ οὐχ ὑπῆρχεν ὁ ἐλεῶν αὐτοὺς, ἢ ὁ ἐξαιρούμενος ἦσαν δὲ οὗτοι οἱ ἑαυτοὺς δι' ἀγχόνης ἢ διὰ ξίφους διαχειρισάμενοι, ἢ ἄλλῳ τρόπῳ οἱῳδήτινι ἑαυτοὺς τῆς παρούσης ζωῆς ἀποστερήσαντες καὶ Θεὸν μὲν τὸν κοινὸν Πατέρα καὶ Δημιουργὸν τῆς κτίσεως λυπήσαντες διὰ ταῦ-

---

[1] доб. заглавіе οἱ κτηνοβάται

[2] доб καὶ διεφθείροντο πυρί, ἀλλ' ἀκέραιοι διέμενον τὴν ἀνύποιστον πικρίαν τῆς ἐκβάσεως καὶ μόνον ὑποφέροντες

[3] доб. заглавіе οἱ δι' ἀγχόνης καὶ ξίφους ἑαυτοὺς ἀποθνήσκοντες.

τα καὶ παροξύναντες [1–]τὸν δέη[–1] πρὸς τοῦτο κεκινηκότα αὐτοὺς καὶ παρορμήσαντα διάβολον τὸν ἐξ ἀρχῆς ἀνθρωποκτόνον καὶ πολέμιον τοῦ πλάσματος τοῦ Θεοῦ μεγάλως εὐφράναντες ἐπὶ τῆς σφῶν ἀπωλείας, ὅθεν καὶ ἀφανισμῷ παντελῶς παρέπεμψεν αὐτούς.

ἔτι[2] δὲ ἔστειλε Κύριος ἀπὸ τῶν ἐξ εὐωνύμων, καὶ ἰδοὺ ἑτέρα συναγωγὴ χωρισθεῖσα ἔστη ἰδίως. πάντες δὲ οἱ ἅγιοι καὶ δίκαιοι ἀπὸ τῶν ὑψωμάτων προκύπτοντες τῆς ἁγίας πόλεως ἔωρων ὅπως ἐδίδουν δίκας πάντες οἱ ἁμαρτωλοὶ καὶ ἔφριττον. ἡ δὲ συναγωγὴ αὕτη πολλὴ σφόδρα. ἐκέκτηντο δὲ χεῖρας αἰθιόπων παραπλησίως τῇ ἀσβόλῃ. ἡ δὲ ὄψις αὐτῶν ὡς κονία σπουδοῦ κατακεκαυμένης, καὶ σύντρομοι οἱ ὀφθαλμοὶ αὐτῶν καὶ ἡ στολὴ αὐτῶν ρακώδης, διερρηγμένη καὶ ρερυπωμένη. οἱ πόδες αὐτῶν ὡσεὶ δορὰν ἐρίφων περικείμενοι, ἐν οἷς μεγάλως ἠσχύνοντο ὁρῶντες αὐτῶν τὴν οἰκτρὰν πενίαν καὶ τὴν ἐλεεινὴν αὐτῶν ἀηδίαν, ὅτι σκότος ἦν περὶ τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ θλῖψις πονηρὰ περὶ τὰς καρδίας αὐτῶν ἀπὸ πλήθους τῶν ἀνομιῶν αὐτῶν. καὶ παρέδωκεν αὐτοὺς Κύριος τοῖς βασανισταῖς ἀγγέλοις, καὶ ἰδοὺ ὡς λέοντες ὠρυόμενοι πηδῶντες[3] αὐτοῖς, καὶ ὡς γίγαντες ὑπερμεγέθεις ἐδέσμουν τὰς χεῖρας αὐτῶν σχοινίοις πυρίνοις καὶ τοὺς πόδας αὐτῶν ἐν ἱμᾶσι σιδηροπλέκτοις καὶ πεπυρακτωμένοις σφόδρα, καὶ ἔρριπτον αὐτοὺς ἐπὶ τὸν πικρὸν ὄχθον κατέναντι δυσμῶν τῆς φοβερᾶς ἐκείνης θαλάσσης τοῦ πυρός. καὶ αὐτοὶ μεγάλως τὸ οὐαὶ διεμερίζοντο γευσάμενοι τῆς πικροτάτης ὀδύνης τοῦ πυρός, καὶ οὐχ ὑπῆρχεν ὁ ἐξαιρούμενος. καὶ αὐτοὶ κλέπται, συληταί, νυκτοβάται καὶ λαθροκακοῦργοι.

ἔτι[4] ἅπαξ προσέθετο Κύριος καὶ διεχώρισεν ἀπὸ τῆς τῶν ἁμαρτωλῶν ὁμηγύρεως ἑτέρα παρεμβολή, καὶ ἐληλύθει καὶ ἐξ ἐναντίας ἔστη τοῦ δικαίου Κριτοῦ καὶ αὕτη ἦν κατηφυσχυμένη εἰς τέλος. καὶ ἀπὸ τοῦ στόματος αὐτῶν ἐσμὸς σκωλήκων καὶ δυσωδία ἐξήρχετο ἄφατος καὶ ὄφεις νοητοὶ εἱλισσόμενοι ἐφ' ἑνὸς ἑκάστου αὐτῶν κορυφήν. ἐν δὲ ταῖς χερσὶν αὐτῶν κέρκους κατεῖχον. ἡ δὲ στολὴ αὐτῶν ὡς ἱστὸς ἀράχνης καπνῷ ἀμαυρούμενος. καὶ τὰ πρόσωπα αὐτῶν ὁμίχλῃ ἐσπαργανωμένα. καὶ ἐπεῖδεν ἐπ' αὐτοὺς ὁ Θεὸς καὶ ἐθυμώθη λίαν, ὅτι ψεῦσται καὶ ψευδομάρτυρες γενόμενοι πολλοὺς ἔβλαψαν, βαρεῖς ἐπίορκοι γενόμενοι καὶ ὀμόται εὔκολοι, καὶ οὐκ εἶχον ἐν ὀφθαλμοῖς τὸν τῶν ἐκδικήσεων Κύριον, ὅθεν καὶ παρέδωκεν αὐτοὺς τοῖς βασανισταῖς ἀγ-

---

[1–1] нѣтъ.

[2] доб. заглавіе. οἱ κλέπται καὶ νυκτοβάται καὶ λαθροκακοῦργοι.

[3] ἐπισπηδόντες.

[4] доб. заглавіе: οἱ ψευδομάρτυρες.

τέλοις, ὡμοῖς οὖσιν ἀσπλάτχνοις καὶ ἀνελεήμοσιν, ἐπ᾽ αὐτῷ τούτῳ οὕτως ὑπὸ τοῦ Δημιουργοῦ κτισθεῖσιν οἳ καὶ καὶ ἔσυρον αὐτοὺς ἐκ τῶν τριχῶν ἀποτόμως, καὶ τύπτοντες αὐτοὺς ταῖς πυρίνοις αὐτῶν λόγχαις καὶ ράβδοις ἐκρήμνισαν καὶ αὐτοὺς εἰς τὴν φοβερὰν ἐκείνην τοῦ πυρὸς θάλασσαν καὶ ἀπήλοντο. ἐν δὲ τῷ κόσμῳ ἐκείνῳ οὐχ ἡμέρα ἦν οὐ νύξ οὐχ ἑσπέρα, οὐ πρωΐ, ἀλλὰ διὰ παντὸς [1]— ὡς οὕτως —[1] ἔχοντες, ὁ οὐρανὸς ὁρῶντο καὶ ὁ ἥλιος ἀμετακινήτως ἐπὶ τῆς αὐτῆς μένοντες λαμπρότητος καὶ φανότητος. ἐκεῖ φῶς τοῖς δικαίοις διηνεκὲς καὶ ἀνεκλάλητον καὶ χαρὰ ἄϊδιος καὶ ἀγαλλίασις ἄρρητος, οὐχ ὕπνος ὀχλεῖ, οὐ σωματικὸς κόπος, οὐκ ὀδύνη, οὐκ ἀρρωστία, οὐκ ἄλλο τι τῶν θλιβερῶν, ἀλλὰ διηνεκὴς εὐφροσύνη καὶ αἰώνιος ἀγαλλίασις καὶ ὕμνος εἰς Θεὸν ἄληκτος καὶ ἀγαθῶν ἀπολαύσεις ἀθεάτων [2]— ὀφθαλμοῖς —[2].

ἔτι[3] διεχώρισε Κύριος ἀπὸ τῶν ἁμαρτωλῶν συναγωγὴν τῇ θείᾳ ράβδῳ Αὐτοῦ τῇ διαιρούσῃ ἕνα ἕκαστον ἁμαρτωλὸν ἀπὸ τῶν ὁμοίων αὐτοῦ, καὶ ἑνούσῃ τοῖς ὁμοτρόπως αὐτοῦ καὶ τὰς[4] συναγωγὰς ἱστώσῃ. καὶ ἰδοὺ ἔστη ἐνώπιον τοῦ Κυρίου. ἦν δὲ ἐπ᾽ αὐτοὺς σκότος μέλαν, τὰ πρόσωπα αὐτῶν ἀπηγριωμένα κατὰ μεμηνότες καὶ τοὺς ὀδόντας τρίζοντες καὶ δάκνειν ἀλλήλοις ὡρμημένοι, μισοῦντες ἀλλήλους καὶ τὰς γλώσσας τοῦ στόματος ὡσεὶ κύνες προβαλλόμενοι μαχαίραις ὀξείαις ἐοικυίας πῦρ μαλθακὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν ἠφίουν. ὑπεδέδεντο δὲ καὶ τοὺς πόδας ὑποδήμασιν ἀκανθοφυέσιν καὶ σκολόπων μεστοῖς. οὗτοι δὲ ὀργίλοι, θυμώδεις καὶ μνησικακίαν δεινὴν ἀεὶ[5] ἐν ταῖς καρδίαις ἔχοντες ἦσαν. πρὸς δὲ φθονεροί, κατάλαλοι, φιλολοίδωροι, φλύαροι. συκοφάνται, μανικοί, θηριώδεις τὸν τρόπον. καὶ ἦν ἡ συναγωγὴ αὐτῶν μεγάλη σφόδρα. καὶ ἐπέβλεψε Κύριος ἐπ᾽ αὐτοὺς καὶ ἠγανάκτησε τὸ πνεῦμα Αὐτοῦ καὶ διετάξατο αὐτοῖς βασανισταῖς ἀγγέλοις ἐτάσαι καὶ αὐτούς. ἦσαν δὲ οὗτοι πάντες ἀμαυροὶ καὶ μεμελανωμένοι, ἔχοντες τὰ ἴδια πρόσωπα ὡς χύτρα πολυήμερος ὑπὸ τοῦ πυρὸς καὶ τῶν ἐν αὐτῇ ἐψημένων παχύτατα καὶ στεγανώτατα ἀμαυρωθεῖσα. παραλαβόντες τοίνυν τοὺς ἐλεεινοὺς τούτους οἱ ἐπὶ τὸ κολάζειν τεταγμένοι ἀπηνεῖς ἄγγελοι ἦκιζον αὐτοὺς λίαν σφοδρῶς

---

[1] ὡσαύτως

[2—2] τοῖς τῶν ἀπίστων ὀφθαλμοῖς καὶ ἐπὶ καρδίαν ἀνθρώπων φιληδόνων καὶ φιλοσάρκων μὴ ἀναβαινόντων

[3] доб. заглавіе οἱ ὀργίλοι, θυμώδεις, μνησίκακοι καὶ . (стерто слово) αὐτοῖς.

[4] κατά.

[5] нѣтъ

καὶ σύροντες αὐτοὺς ἐκτάδην ἐκ τῶν ποδῶν, ἐκεῖσε τούτους ἀπέρριψαν. ἔνθα ὁ σκώληξ ὁ ἀκοίμητος καὶ ὁ βρυγμὸς τῶν ὀδόντων καὶ τὰ αἰώνια βασανιστήρια κράζοντας μὲν τὸ οὐαὶ γοερῶς καὶ ὁλοφυρομένους βύθιον καὶ αἵματα ἀντὶ δακρύων κενοῦντας ἀπὸ τῶν ὀφθαλμῶν, ἀνοήτως δὲ καὶ ἀνωφελῶς καὶ εἰκῇ τούτων αὐτοῖς γενομένων. οὐ γὰρ ἦν ὁ ἐλεῶν αὐτοὺς καὶ ὁ ἐξαιρούμενος.

τούτων[1] οὕτως κατακριθέντων, ἔτι πλῆθος ἄπειρον ἀπελείφθη τοῦ μέρους τοῦ εὐωνύμου καὶ ὁ Κύριος ἦν φορῶν στολὴν ἐκδικήσεως καὶ ἀνταποδόσεως, καὶ διεχώρισεν ἀπ᾽ αὐτῶν ἑτέραν συναγωγήν, ἣ καὶ ἔστη κατὰ πρόσωπον τοῦ Θεοῦ. καὶ αὐτοὶ ὑπῆρχον ἀσβόλην περικείμενοι καὶ τὰ σώματα αὐτῶν περιρραντισμένα τριβολίοις ὀξέσιν. ἡ δὲ στολὴ αὐτῶν φέρουσα ρυπάσματα ἱδρῶτος καὶ[2] βλίσχρου καὶ λιγδώδους. τὰ πρόσωπα αὐτῶν καπνῷ βαθεῖ ἐμφερῆ καὶ παρόμοια ἐκ τῶν ὀφθαλμῶν καὶ τῶν μυκτήρων αὐτῶν δριμύτης ἐξεπορεύετο. οἱ πόδες αὐτῶν ἐξῳδηκότες καὶ μεμελανωμένοι σφόδρα, τὴν ἐνοικοῦσαν αὐτοῖς πονηρίαν καὶ κακεντρέχειαν διὰ τῶν τοιούτων σημείων καὶ βδελυκτῶν ἰδεῶν τοῖς πᾶσι τοῦ δικαίου Κριτοῦ εὐδοκήσαντος διαδείκνυσθαι καὶ φανερῶς στιλιτεύεσθαι, ἵνα πᾶν στόμα φραγῇ καὶ ἀναπολόγητοι εὑρεθεῖεν οἱ μὴ μετανοήσαντες, καὶ ἑαυτοὺς διὰ μετανοίας καὶ ἐξομολογήσεως καὶ εὐποιΐας ἀποκαθάραι σπουδάσαντες, δάκρυσι θερμοῖς τὰς κηλῖδας ἀπολουσάμενοι, καὶ ἐν ἐλεημοσύναις καὶ οἰκτιρμοῖς πενήτων τὸν Κριτὴν ἵλεων ποιήσαντες καὶ μάλιστα ὑπὲρ τ᾽ ἄλλα πάντα μὴ ἀφέντες τοῖς ἀδικοῦσι καὶ λυποῦσι καὶ θλίβουσιν, ὅπερ τὸν ἀπροσωπόληπτον κριτὴν λίαν δυσωπεῖ καὶ πρὸς τὸν ὅμοιον ἐφέλκεται ζῆλον, ἐπεὶ καὶ παρ᾽ αὐτοῦ τοῖς ἁμαρτωλοῖς τοιαύτη εὐχὴ παραδίδοται ἵνα λέγωσι αἰτούμενοι,—ἄφες ἡμῖν τὰ παραπτώματα ἡμῶν, ὡς καὶ ἀφίεμεν ἡμεῖς τοῖς ὀφειλέταις ἡμῶν.

ταῦτα δὲ [3]—ὑπὸ τοῦ συνόντος μοι ἁγίου ἀγγέλου ἐδιδασκόμην—[3], λέγοντός μοι πρὸς τοῖς ἄλλοις καὶ ταῦτα. ὄντως οἱ ἁμαρτωλοὶ οἱ ἐλεεινοί καὶ πήλινοι δύνανται διὰ μόνης ταύτης τῆς ἀρετῆς τοῦ ἀφιέναι τοῖς λελυπηκόσι τὰ ἁμαρτήματα ἀπὸ καρδίας τὸν Κριτὴν ἵλεον ποιεῖν καὶ μηδὲ ἆραι στόμα σχεδὸν κατ᾽ αὐτῶν, ἢ ἐγκαλέσαι αὐτοῖς καὶ προσονειδίσαι ἐφ᾽ οἷς ἥμαρτον ἢ ἀνεχόμενον φθέγξασθαι τι μικρὸν ἢ μέγα πρὸς αὐτοὺς κἂν μεγάλα τινὰ ἡμαρτηκότες καὶ ἀνίατα ὑπάρχωσιν, ἐχόντων αὐτῶν μέγα καὶ ἀναντίρρητον προβλημα, τὴν παραδεδομένην αὐτοῖς ταύτην εὐχὴν καὶ τὴν τῶν λελυ-

[1] доб заглавіе· οἱ μὴ ἀφιόντες τῶν ἀδελφῶν τὰ παρατώματα αὐτῶν.

[2] нѣтъ.

[3—3] нѣтъ

πηκότων αὐτοὺς ἀπὸ καρδίας ἄδειαν[1], ἣν δι' αὐτῶν τῶν πραγμάτων ὑποδεικνύειν ὀφείλουσιν, ὥστε μὴ μόνον ἀποδιδόναι αὐτοῖς καὶ δοκεῖν ἀρκετὸν εἶναι εἰς εὐαρέστησιν, τὸ μὴ ἴσοις ἀμείβεσθαι τοὺς λυπήσαντας, ἀλλὰ καὶ ὡς εὐεργέτας ἀληθινῶς καὶ ὁλοκαρδίως τούτους ἡγεῖσθαι ὑπὲρ πάντας τοὺς καθ' αἷμα προσήκοντας καὶ ὑπὲρ αὐτοὺς τοὺς γεγεννηκότας καὶ δώροις καὶ ἀγαθοῖς οἷς ἥδονται, τούτους ἀμείβεσθαι τῇ γὰρ ἀληθείᾳ ἀδελφοὶ καὶ πατέρες τίς τῶν ἁπάντων εὐεργετῶν μᾶλλον ἄνθρωπον δύναται, ἢ ὡς ὁ τῆς αἰωνίου κολάσεως τοῦτον ῥυόμενος, ὄντως οὐδείς. ὅθεν καὶ οἱ τὸν λυποῦντα οὕτως λογιζόμενοι καὶ εὐεργέτην μέγιστον καὶ σωτῆρα μετὰ Θεὸν συνετῶς καὶ σοφῶς ἡγούμενοι, ἔξουσι μετὰ παρρησίας λέγειν πρὸς τὸν Κριτήν,—ἄφες ἡμῖν ὡς καὶ ἡμεῖς ἀφήκαμεν. καὶ οὐ μόνον ἀφήσει αὐτοῖς τὰ παραπτώματα αὐτῶν, ἀλλὰ καὶ βασιλείαν οὐρανῶν ὁ μεγαλόδωρος τούτοις χαρίσεται. καὶ φεῦ τοῖς μὴ ἐκ ταύτης τῆς ἀρετῆς τὴν ἰδίαν σωτηρίαν πραγματεύσασθαι βουληθεῖσιν ἀπὸ τῶν ἐνθένδε· μᾶλλον δὲ μὴ δυνηθεῖσι συνιδεῖν τὸ ἐκ ταύτης κέρδος, δι' ὑπερηφανίας καὶ ἀλαζονικοῦ φρονήματος ὑπεροχήν. καὶ γὰρ πειρώμενοι ἡμεῖς ἀνταποδοῦναι τοῖς λελυπηκόσιν ἡμεῖς καὶ ὀργιζόμενοι κατ' αὐτῶν, οὐ μόνον ὃ θέλομεν αὐτοῖς κακὸν ἀδυνατοῦμεν, πολλάκις ἐργάσασθαι, ἀλλὰ καὶ δι' ὧν ἐπιβουλεύομεν ἔστιν ὅτε λαμπροτέρους ποιοῦμεν αὐτοὺς, καὶ ἑαυτοὺς τὰ μέγιστα πολλαχῶς καταβλάπτομεν, τῇ τε ὀργῇ τοῦ μὴ δύνασθαι πληρῶσαι τὰ καταθύμια καὶ τῷ φθόνῳ τῶν ἐπαίνων ἐκείνων. αὐτοὶ ἔσωθεν τὴν καρδίαν δεινῶς σπαραττόμενοι καὶ ὡς ὑπὸ πυρὸς κηρὸς τηκόμενος τῇ τε παμμεγίστῃ ζημίᾳ τοῦ ἐξ αὐτῶν κέρδους, ἤτοι **τῆς τῶν οὐρανῶν ἀδιαδόχου βασιλείας καὶ τῇ δίκῃ τῆς ἐπηρτημένης ἡμῖν ἐκπαραβασίας τῶν τοῦ Χριστοῦ ἐντολῶν παραβάσεως. καὶ ποῖος λοιπὸν ἄλλος τῶν δοκούντων ἐχθρῶν ἡμῶν ἡμᾶς μᾶλλον ἀδικῆσαι δύναται ὡς αὐτοὶ ἑαυτούς;** τῷ ὄντι γὰρ τὸν μὴ ἑαυτὸν βλάπτοντα οὐδὲ αὐτὸς ὁ διάβολος βλάψαι δύναται, μή τι γε ἐχθρὸς ἄνθρωπος, τούτων οὕτως κατ' ὀρθὸν λόγον ἐχόντων, ἐχθρὸς οὐδείς ἐστιν ἀνθρώπου, ἢ αὐτὸς ἑαυτοῦ ἐξ ἀδιακρίτου κρίσεως τῶν προσπιπτόντων, καὶ τῆς τῶν λογισμῶν χαυνότητος καὶ πρὸς τὸ θεῖον ἀμβλυωπίας. ὅθεν καὶ ἑαυτοῖς καὶ μόνοις προσάπτειν τὰς αἰτίας τῶν λυπηρῶν χρεών ἐστιν, τῇ τε ἰδίᾳ ραθυμίᾳ καὶ τῇ ἀδιακρισίᾳ καὶ οὐχ ἑτέρῳ τῶν ἁπάντων, ὡς ἤδη σαφῶς ἀποδέδεικται καὶ ἄλλον οὐκ ἐνι.

ἡ οὖν προειρημένη συναγωγὴ τῶν ἁμαρτωλῶν ἡ τῶν εὐωνύμων χωρισθεῖσα καὶ ἔμπροσθεν τοῦ Κριτοῦ σταθεῖσα ὡς ἄνωθεν ὁ λόγος

[1] ἄφεσιν.

ἀκολούθως ἐδήλωσεν, εἶχε τοὺς ἐν αὐτῇ μεθ' ὧν ἐκέκτηντο ἑτέρωἀηδιῶν, καὶ ὡς δεσμίους πεπεδημένους φαινομένους ἐν κλοιῷ σιδηρῷ λίαν βαρυτάτῳ τοὺς τραχήλους περιεχομένους καὶ εἰς τὴν γῆν καμπτομένους λίαν σφοδρῶς καὶ ἀδημονία πολλὴ ἐν μέσῳ αὐτῶν ὑπῆρχεν. ἦσαν δὲ οὗτοι οἱ ἐν κώμοις καὶ θεάτροις σατανικοῖς καὶ ἐν ὑπερηφανείᾳ καὶ τύφῳ καὶ ἐπάρσει πάντα τὸν βίον διανύσαντες [1]—τῶν αὐτῶν—[1]. καὶ ὠργίσθη αὐτοῖς Κύριος ὁ Θεὸς διότι οὐκ ἀπέπλυναν ἑαυτοὺς διὰ μετανοίας καὶ δακρύων πρὸ τοῦ μεταλλάξαι αὐτοῖς τὸν βίον. καὶ ἰδοὺ παρεγένοντο οἱ φοβεροὶ ἐκεῖνοι ἅρπαγες καὶ ἥρπασαν αὐτοὺς καὶ ἀπῆντισαν ἐν τάχει πολλῷ εἰς τὸ πῦρ θαλάσσης τῆς ἀγρίας ἐκείνης ἐν ᾗ ὁ κλαυθμὸς καὶ ὀδυρμὸς τῶν ὀδόντων. καὶ αὐτοὶ ἔκραζον ἐλεεινῶς,—ἐλέησον ἡμᾶς, ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ. ὁ δὲ ἀπέστρεψε τό πρόσωπον Αὐτοῦ ἀπ' αὐτῶν.

ἔτι [2] ἐχώρισεν ὁ Βασιλεὺς ὀπὸ τῆς εὐωνύμου μερίδος πλῆθος πολὺ λαοῦ, καὶ αὐτοὶ πάντες μονότροποι ἐν ταῖς ἀσελγείαις αὐτῶν, καὶ ἔστησαν ἐνώπιον Αὐτοῦ. καὶ ἡ συναγωγὴ αὕτη πολλὴ καὶ μεγάλη σφόδρα ὑπὲρ πάσας τὰς παρελθούσας τῶν τε δικαίων καὶ τῶν ἁμαρτωλῶν. καὶ ὡς ἐθεωροῦμεν τὴν τοιαύτην συναγωγὴν ἀποθαυμάζοντες εἰς τὸ πλῆθος αὐτῆς, ἰδοὺ πλήθη ἐπισκόπων, ἱερέων καὶ διακόνων κατεφαίνοντο ἡμῖν ἐν αὐτῇ, καὶ ἡ ὅρασις ἡμῶν σὺν τῇ αἰσθήσει οὐχ ὡς νῦν εἰσὶν ἐν ἡμῖν κατενοοῦντο ἡμῖν. καὶ τὸ τηνικαῦτα ἐν τῇ τοιαύτῃ ἐκστατικῇ θεωρίᾳ, ἀλλὰ καιναί τινες καὶ ὑπερφυεῖς εἰς τὸ κατανοῆσαι καὶ ἰδεῖν καὶ τῷ ὄντι ἀγγελικαὶ ἔτι περιεργότερον ἐνατενιζόντων ἡμῶν τῇ τοιαύτῃ συναγωγῇ, ἰδοὺ πλῆθος ὑποδιακόνων, ἀναγνωστῶν καὶ ψαλτῶν ἐν αὐτῇ κατορῶντο ἡμῖν, ἕκαστον αὐτῶν τάγμα ἐν τῷ ἰδίῳ σχήματι καθορώμενον, καὶ μεταξὺ αὐτῶν ἄνδρες λαικοὶ καὶ γύναια καὶ μειράκια καθορώμεναι, καὶ ἀπεριέργως τ' ἀληθῆ ἐροῦμεν, ὡς μὲν γὰρ ἡγουμένους τῶν ἐκκλησιῶν καὶ καθηγητὰς τοῦ ὀρθοῦ λόγου τῆς εὐσεβείας γεγονότας [3] εὐλαβεῖσθαι καὶ σεμνολογεῖν ἡμᾶς ἀναπείθει τὰ ὁραθέντα. ἡ δὲ τῶν θεατῶν [4] ἀλήθεια, καὶ ὁ τοῦ ψεύδους κίνδυνος τὴν ἀλήθειαν ἐκδιηγήσασθαι παρασκευάζει. ἰδοὺ γὰρ ὡς ἑνορῶμεν εἰς αὐτοὺς ἦσαν ρερυπωμένοι τὰς στολὰς αὐτῶν σφόδρα ἀπὸ κόπρου τῆς γῆς, καὶ ἡ κόπρος αὕτη κατέρρει ἀπὸ τῆς κορυφῆς αὐτῶν ἐπὶ τὰς στολὰς αὐτῶν, καὶ ἀλλαχόθεν οὐδαμοῦ. οὐ γὰρ ὑλώδης ἦν, ἀλλ' ἄυλός τις καὶ νοητός. καὶ ἰδοὺ ὀσμὴ πικρί-

[1]—[1] нѣтъ

[2] доб. заглавіе: οἱ ἐπίσκοποι καὶ ἱερεῖς καὶ διάκονοι κληρικοί.

[3] нѣтъ.

[4] θεαθέντων.

ας κατεχομένη ἐν ταῖς χερσὶν αὐτῶν, καὶ ἀπετίνασσον αὐτὴν καὶ οὐ κατέπιπτεν. καὶ ἰδοὺ ὁρῶμεν καὶ ἦσαν θάνατον περιεζωσμένοι καὶ ἤμελλε μὲν αὐτοὺς τιτρώσκειν ἄφνω καὶ ἀπολύειν, οὐκ ἠδύνατο δὲ ἔτι ἀποκτεῖναι αὐτοὺς διὰ τὸ ἀπαθανατισθῆναι αὐτοὺς καὶ ἀφθαρτισθῆναι. μόνον γὰρ συνῆν αὐτοῖς ἐπὶ τῷ αἰωνίως τιμωρεῖν αὐτούς καὶ οἱ ὀφθαλμοὶ αὐτῶν ὑπῆρχον ἀφρώδεις καὶ λίαν αἱματώδεις τὰ δὲ πρόσωπα αὐτῶν λιγδώδη καὶ πονηρά καὶ ἡ ὅρασις αὐτῶν ἀηδὴς πάνυ. καὶ σκώληκες πολύποδες ἐδράσσοντο αὐτῶν ἐπὶ καρδίας καὶ μυρμήκων πονηρῶν ἐπέπληστο αὐτῶν τὸ στόμα καὶ τὰ χείλη. καὶ καθάπερ ἀπὸ καλάμου βορβόρου τοιαύτη τις δυσωδία ἐξήρχετο τῶν μυκτήρων αὐτῶν, καὶ ὥσπερ βδέλλαι ἀναρίθμητοι πονηρότατοι ἐδράσσοντο τῶν ἰχνῶν αὐτῶν, καὶ λίαν ἐταπείνουν αὐτοὺς ἐκπίνουσαι τὸ αἷμα αὐτῶν καὶ εἶδε Κύριος ἐπ᾽ αὐτοὺς καὶ ἐβδελύγξατο πάντας αὐτοὺς καὶ ἀπεφήνατο κατ᾽ αὐτῶν εἰπών, ὅτι γενεὰ αὕτη πονηρὰ καὶ μοιχαλίς, ἡ ὀπίσω τῶν ἐπιθυμιῶν αὐτῆς ἐκπορνεύσασα καὶ [1—τὸ ὄνο-] μά Μου [—1] τὸ ἅγιον τὸ ἐπικληθὲν ἐπ᾽ αὐτοὺς ἐξυβρίσασαι τοῖς ἔργοις αὐτῶν τοῖς πονηροῖς, πορευέσθω καὶ αὐτὴ τῷ πυρὶ ᾧ ἑαυτῇ διὰ τῶν ἔργων αὐτῆς τῶν πονηρῶν ἐξέκαυσε. καὶ ἅμα τῷ ταῦτα εἰρηκέναι τὸν Κριτὴν ἦν ἀκοῦσαι καὶ ἰδεῖν μέγα θέαμα ἐπ᾽ αὐτοὺς, δάκρυα αἱματώδη χεόμενα, καὶ ὀλολυγμοὺς καὶ θρῆνον πάμμεγα καὶ γοερὸν ἐκπεμπόμενον ἐξ αὐτῶν, ἱκετευόντων τὸν Κριτὴν καὶ λεγόντων· „ἐλέησον ἡμᾶς, ὁ Θεός, καὶ φεῖσαι τοῦ πλάσματός Σου, ὅτι κἂν ἡμάρτομεν, ἀλλὰ πλὴν Σοῦ Θεὸν ἕτερον οὐκ οἴδαμεν“. καὶ ἰδοὺ εἷς τῶν στρατηγῶν ἀγγέλων διὰ τῆς φωνῆς τοῦ σάλπιγγος ἐκ τρίτου λαλήσας ἀπελογήσατο πρὸς αὐτούς· „πρῶτα μὲν, ὅτι πορεύεσθε καὶ ὑπάγετε ἀπ᾽ Ἐμοῦ οἱ κατηραμένοι, οὐ γὰρ οἶδα ἡμᾶς. ἐκ δευτέρου δὲ, ὅτι τὰ δάκρυα ὑμῶν ταῦτα καὶ τὸ πένθος τῆς μεταμελείας πρὸ τοῦ ἀποθανεῖν ὑμᾶς ἔδει προσεῖσαί μοι διὰ μετανοίας καὶ ἐξαγορεύσεως. καὶ τὸ τρίτον εἴρηκεν, ἰδοὺ δὴ καὶ αὐτὸς ὁ διάβολος παραδοθεὶς τοῖς βασάνοις ἤδη μεταμεμέληται καὶ μέγα καθὼς καὶ ὑμεῖς κέκραγε, καὶ γε οἰκτειρήσω αὐτόν; πορεύεσθε ἀπ᾽ Ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ“. καὶ ἰδοὺ μετὰ τὴν φωνὴν ταύτην οἱ πύριοι καὶ γιγαντιαῖοι ἐκεῖνοι ὡς χάλαζα τετριγυῖα ἐπιπεσόντες, ἥρπασαν πάντας καὶ ἐνέβαλον αὐτοὺς κατὰ κεφαλῆς ἔνθα οἱ βορβορώδεις καὶ σκώληκες [2—ὑπῆρχον εἰς τὴν φλογώδη —2] ἐκείνην θάλασσαν.

ἔτι[3] προσθεὶς ὁ Κύριος ἠφόρισεν ἀπὸ τῶν εὐωνύμων ἑτέραν

1—1 нѣтъ.

2—2 ἀναφέρουσα πύρινος.

3 доб. заглавіе· οἱ μοναχοί

συναγωγὴν φοβερωτάτην ὑπὲρ πάσας, ὡς ὑπερθαυμάσαι ἡμᾶς τῷ πλήθει, κατανοήσαντες οὖν ἔγνωμεν, ὅτι φρικτὴ αὕτη συναγωγὴ τῶν μοναχῶν ὑπάρχει, καὶ ἐσκυθρωπάσαμεν, ὅτι καὶ οἱ μοναχοὶ οἱ διὰ Χριστὸν τῷ κόσμῳ ἀποταξάμενοι ἐν τῇ τῶν εὐωνύμων εὑρέθησαν μοίρᾳ. ὡς οὖν παρέστησαν τῷ Κριτῇ, κατενοοῦμεν αὐτοὺς καὶ ἐβλέπομεν σκοτιζομένους ὄντας ἐν ἀνομίαις καὶ λαμπάδας μὲν ἐν ταῖς χερσὶν αὐτῶν πάντας κατέχοντας ζοφερὰς δὲ καὶ φωτὸς καὶ ἐλαίου χωρίς. ἐκ δὲ τοῦ σχήματος αὐτῶν σποδιά τις ἀπετινάσσετο καὶ ἠσχύνοντο. τὰ δὲ πρόσωπα αὐτῶν κεχρισμένα ὑπὸ σποδιᾶς[1] φυραθείσης μελάνι, καὶ ἐπὶ τῶν τραχήλων αὐτῶν καὶ ἀμέλεια καὶ ραθυμία[2] ὥσπερ τις σιδηρὰ ἅλυσις περιέσφιγγε τὰς κνήμας αὐτῶν καὶ τὰς ὀσφύας. καὶ ἡ νοθρία ὥσπερ ὄφις τυφλὸς μυοπάζων ἐκρέματο ἐπὶ τῶν μεταφρένων αὐτῶν. ἡ δὲ ἀνυποταξία κατεκράτει τοῦ νοτοῦ αὐτῶν οἷα στύλος σιδηροῦς ἀπὸ κορυφῆς ἕως ποδῶν. οἱ πόδες αὐτῶν ἐμπαιγμῷ καὶ χλεύει τοῦ ἀπατήσαντος αὐτοὺς σατᾶν ἦσαν πεπεδημένοι. καὶ ἰδὼν αὐτοὺς ὁ Κύριος ὠργίσθη ἐπ' αὐτούς, ὅτι κατεκυρίευσαν αὐτοὺς τὰ πάθη καὶ τὰ δίκτια τοῦ πονηροῦ καὶ ἠθέτησαν ἐκ δευτέρου τὸ δοθὲν ἐπ' αὐτοῖς ἅγιον βάπτισμα καὶ ἐψεύσαντο τὰς πρὸς αὐτῶν συνθήκας καὶ ἐδούλευσαν ταῖς ἡδοναῖς καὶ ἐδέσμησεν αὐτοὺς ὁ σατανᾶς ταῖς τῆς σαρκὸς ἐπιθυμίας καὶ τοῖς θελήμασι τῶν διανοιῶν αὐτῶν. καὶ διὰ ταῦτα ἀπεφήνατο καὶ κατ' αὐτῶν ἐπειδὴ μεμίσηκεν αὐτοὺς ἀπὸ καρδίας τὸ ὄνομα τὸ ἅγιον Αὐτοῦ. καὶ ἀκούσαντες οἱ τῆς πολυανθρώπου συναγωγῆς ταύτης τῆς τοῦ Κυρίου τοιαύτης ἀποφάσεως, ἤρξαντο καὶ αὐτοὶ κράζειν ἀπὸ καρδίας καὶ λέγειν· „ἐλέησον ἡμᾶς, ὁ Θεός, ἐλέησον ἡμᾶς, ὅτι Σε Θεὸν μόνον ἐν πάσῃ τῇ ζωῇ ἡμῶν ἐγνώκαμεν καὶ τῷ ὀνόματί Σου τῷ ἁγίῳ νυκτὸς καὶ ἡμέρας ἐδουλεύσαμεν καὶ ἐν τῇ χάριτι τοῦ παναγίου Σου Πνεύματος καὶ ἐν τῇ ἐπικλήσει τοῦ ἁγίου Σου ὀνόματος δαιμόνιά τινες ἐξ ἡμῶν ἐξέβαλον καὶ τὰ μέλλοντα ὡς ἐνεστῶτα προεῖπον καὶ πολλοὺς τῷ Σῷ ἁγίῳ ὀνόματι προσήγαγον". ἰδοὺ οὖν μετὰ τούτους τοὺς λόγους τῶν ἐλεεινῶν μοναχῶν, ἐπέστη αὐτοῖς ἀρχιστράτηγος Κυρίου ἐν σάλπιγγι μεγάλῃ σαλπίσας καὶ βοήσας πρὸς αὐτούς· „ἀπέλθετε ἀπ' Ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ὀνθ' ὅσον οὐκ εἰσακούσατε τῆς φωνῆς Μου, ἀλλὰ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου, οὐδὲ Ἐγὼ εἰσακούσομαι ὑμῶν". καὶ ἰδοὺ οἱ ἄγγελοι τοῦ πυρὸς ὡς δράκοντες αἰφνίδιον ἐπειπεσόντες

[1] σποδοῦ.

[2] δοβ.—ὥσπερ τι ὄρνεσιν γύπα ἡ δημώδης τοῦτον καλᾷ φωνῇ ἐπεκάθητο καὶ ἡ ὀκνηρία.

αὐτοῖς εἵλκον βιαίως πρὸς τὴν τοῦ πυρὸς θάλασσαν πυκνὰ ἐπιστρεφομένους πρὸς τὸν Κύμιον, καὶ οὐκ ἦν ὁ ἐλεῶν ἢ ὁ οἰκτείρων αὐτούς. ἀπὸ δὲ τοῦ πλήθους τούτου τοῦ φοβεροῦ ἐδόκει γεμισθῆναι τὴν τοῦ πυρὸς θάλασσαν. καὶ ἔφη ὁ σὺν ἐμοί, ὅτι ἡ ἐπισυντέλεια τοῦ αἰῶνος γενεὰ τῶν μοναχῶν πᾶσα σχεδὸν εἰς ἀπώλειαν ἐχώρησεν πλὴν ὀλίγων τινῶν τῶν ἀγαπησάντων πόνον καὶ κόπον καὶ τὴν ταπείνωσιν. μόλις γὰρ καὶ οἱ ὀλίγοι ἐκεῖνοι ἴσχυσαν διαδρᾶναι τὰς τέχνας τοῦ πονηροῦ καὶ τὰς μηχανὰς καὶ παγίδας αὐτοῦ. ἐν γὰρ τῇ συντελείᾳ τῶν αἰώνων τῆς ἐκείνου βασιλείας ἀρχὴν καὶ πέρας λαμβανούσης, σφοδρότερον καὶ χαλεπώτερον διὰ τῶν μαγγανειῶν καὶ πολέμων αὐτοῦ προσβάλλων αὐτοῖς εἵλκυσε καὶ εἶλε πάντας ὑποχειρίους[1] καὶ μᾶλλον ὅσους ἡ ταπείνωσις καὶ ἡ διὰ Χριστὸν πτωχεία τὸ καθ' ὅλου οὐχ εὕρηται. ὅθεν καὶ σχεδὸν πάντες ἀπώλοντο[2].

τούτων τοιγαροῦν οὕτως ἐλεεινῶς ὀλωλότων, ἰδοὺ ἑτέρα συναγωγὴ χωρισθεῖσα ὁμοίως ταῖς προτέραις ἔστη ἐνώπιον τοῦ φοβερωτάτου ἐκείνου Κριτοῦ καὶ Βασιλέως, οὐ πολυάνθρωπος ὡς ἐκείνη, ἀλλὰ κατὰ τὰ ἥμισυ ἐκείνης, καὶ ἐν αὐτῇ μοναχοὶ καὶ ἀπὸ παντὸς τάγματος καὶ γένους ὁρῶντο. περιβολὴ δὲ αὐτοῖς ἦν ὡς ὁμίχλη πρωϊνή, τὰ δὲ πρόσωπα αὐτῶν ὡς μελαχροίων ἀνθρώπων, καὶ ποτὲ μὲν ᾐσχύνοντο, ποτὲ δὲ ἐλαμπρύνοντο. χεῖρας κεκτημένοι ἐξ ἡμισείας λαμπρὰς καὶ σκοτεινάς, πόδας ὡσαύτως, ὀφθαλμοὺς παραπλησίους. αἱ χεῖρες αὐτῶν, αἱ μὲν δεξιαὶ στάζουσαι διὰ τῶν δακτύλων χρηστέλαιον, αἱ δὲ ἀριστεραὶ ὑγρόπισσον. καὶ ἐπέβλεψεν ἐπ' αὐτοὺς ὁ Κύριος, καὶ ὡς εἶδεν αὐτοὺς ἡμιμοχθήρους πως ὑπάρχοντας καὶ μὴ τὸ τέλειον πεφθακότας μέτρον, εἴασεν αὐτούς· ἀποστρέψας τὸ ἅγιον καὶ ἥμερον Αὐτοῦ πρόσωπον ἀπ' αὐτῶν. καὶ ἰδοὺ ἄφνω ἐπελθόντες οἱ τοῦ πυρὸς ἀπότομοι ἄγγελοι, εἵλκον αὐτοὺς βιαίως καὶ ἰσχυρῶς σύροντες ἐπὶ τὴν τοῦ πυρὸς ἀγρίαν θάλασσαν συχνὰ ἐπιστρεφομένους καὶ βοῶντας πρὸς Κύριον καὶ γοερῶς ἀλαλάζοντας· „φεῖσαι ἡμῶν, ἐλεήμων Κύριε, φεῖσαι ἡμῶν, εὔσπλαγχνε". καὶ ἐπιστραφεὶς ὁ Κύριος μόνον ἐώρα αὐτοὺς καὶ ἐδόκει σπλαγχνίζεσθαι καὶ ὀργίζεσθαι ἐπ' αὐτούς. οἱ δὲ ἅγιοι ἄγγελοι πάντες ἔκλαιον ἡσυχῇ δάκρυα τῶν ὀφθαλμῶν αὐτῶν ἀποστάζοντες, καὶ ἱκετεῦσαι περὶ αὐτῶν μὴ τολμῶντες.

τούτων τοιγαροῦν ἀγομένων πρὸς τὴν τοῦ πυρὸς θάλασσαν, ἰδοὺ ἄφνω ἀπὸ τῶν ἀνωτάτω κατήει τις κόρη πάνυ ὡραία, τὸ πρόσωπον αὐτῆς δεδοξασμένον, διάδημα βασιλείας ἐπὶ τῆς κεφαλῆς φέ-

[1] ὑποχωρίους.

[2] далѣе слѣдуетъ заглавіе: μοναχοὶ καὶ αὐτοὶ οἱ μετανοήσαντες καὶ διὰ ἐλεημοσύνης συγγνώμης τυχόντες.

ρουσα, ἱμάτια χρυσοϋφῆ καὶ χρυσόπαστα περιβεβλημένη, κάλλος αὐτῆς τοῦ σώματος, οἷον ἐξαίσιον. καὶ ἄγγελοι προῆγον καὶ ἧπτον αὐτῇ δορυφοροῦντες ὡς βασιλίδι, ἥτις παρεγένετο πρὸς τὸν Βασιλέα, πρὸς τῇ πύλῃ ἱστάμενον τῆς ἁγίας Αὐτοῦ πόλεως. καὶ κλίνασα τὴν κεφαλὴν πρὸς τοὺς ἀχράντους Αὐτοῦ πόδας μέχρις ἐδάφους, ὀρόμῳ ἀπέστη ἀπ᾽ Αὐτοῦ καὶ φθάσασα τοὺς ἐπείκτας ἀγγέλους τῆς συναγωγῆς ἐκείνης περὶ τὸ χεῖλος τῆς θαλάσσης, ἔστη κατὰ πρόσωπον αὐτῶν κωλύουσα αὐτοὺς καὶ εἶπε· „ζῇ τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς καὶ τοῦ Μονογενοῦς Υἱοῦ Αὐτοῦ καὶ Θεοῦ, καὶ ἡ δύναμις τοῦ Παναγίου Αὐτοῦ Πνεύματος, ὡς οὐ τιμωρηθήσεται ἡ συναγωγὴ αὕτη“. συνῆκαν οὖν οἱ ἄγγελοι, ὅτι ἡ θυγάτηρ ἐστὶ τοῦ Θεοῦ ἡ ἐλεημοσύνη, καὶ εἶπον αὐτῇ· „Κυρία ἡμῶν εἶ σύ, καὶ ἐπιστάμεθά σε, ὅτι ἡ ἐλεημοσύνη ἡ ἠγαπημένη Αὐτῷ ἦσθα, καὶ οἴδαμεν, ὅτι πλὴν σου ἕτερος παρρησίαν μείζονα πρὸς Αὐτὸν οὐ κέκτηται, ἀλλὰ τὸ πρόσταγμα τοῦ Υἱοῦ Αὐτοῦ καὶ Θεοῦ καὶ Κριτοῦ ἐκπληρῶσαι σπεύδομεν“. καὶ φησὶ πρὸς αὐτοὺς ἡ βασιλίς· „οἶδα κἀγώ, ἀλλὰ προσπεσοῦσα Αὐτῷ ἐκκινήσω πρὸς οἶκτον τὰ φιλάνθρωπα Αὐτοῦ σπλάγχνα καὶ ὑπέμνησα δεηθεῖσα περὶ τούτων. καὶ ἐπένευσέ μοι ὁ ἀγαθὸς προκαταλαβεῖν ἡμᾶς καὶ ὑποστρέψω αὖθις πρὸς Αὐτόν“. καὶ δὴ ὑποστρέψασα ἡ τοιαύτη συναγωγὴ ἔστη κατὰ πρόσωπον τοῦ Κριτοῦ τρέμουσα ὡς τὸ ὕδωρ. καὶ ἰδοὺ εἷς τῶν ἀρχιστρατήγων διὰ σάλπιγγος ἠχῇ μεγάλῃ ἐβόησεν, ὅτι, διὰ μὲν τὴν ἐλεημοσύνην ὑμῶν [1]—τοῦ ἀσβέστου πυρὸς ρυσθήσεσθε, διὰ δὲ τὴν πορνείαν καὶ τὴν λοιπὴν ἀκαθαρσίαν ὑμῶν—[1] οὐκ ὄψεσθε τὴν βασιλείαν Μου. καὶ ἐλαλήθη πρὸς τοὺς κατὰ τὸ ἀρκτῷον μέρος τῆς κτίσεως ἐκείνης ἀγγέλους ἑτοιμάσαι τόπον αὐτοῖς ἀπερίγραπτον καὶ κατασκηνῶσαι τούτους πάντας ἐν αὐτῷ. ὃ δὴ καὶ γέγονε, πλὴν ἵνα ὦσι τῶν ἀναγκαίων ἐστερημένοι.

[2]—τὰ τῶν χριστιανῶν ἀβάπτιστα βρέφη—[2]. καὶ τούτων οὕτως συντελειωθέντων, ἔτι διεστείλατο Κύριος ἀπὸ τῶν ἐξ εὐωνύμων, καὶ ἰδοὺ ἑτέρα συναγωγὴ διαχωρισθεῖσα τῶν λοιπῶν ἔστη πρότερον της εἰρημένης βασιλίδος ἀνελθούσης πρὸς τὸν αὐτῆς Πατέρα ὅθεν καὶ κατῆλθε. θυγατέρα δὲ τοῦ Θεοῦ καὶ Πατρὸς ταύτην τὴν ἐλεημοσύνην ὁ Λόγος ἐκάλεσεν, ἐπειδὴ πάσας τὰς γενικὰς ἀρετὰς ὧν ἐστιν αὕτη πρώτη ἐμφύτους ἔχει παρ᾽ αὐτῶν. ἡ οὖν σταθεῖσα ἄρτι κατὰ πρόσωπον τοῦ Κριτοῦ συναγωγὴ ὑπῆρχε τετυφλωμένη μέν, ὁδηγουμένη δὲ νεύματι Θεοῦ. καὶ ἐν αὐτῇ οὔτε πονηρὸν οὔτε ἀγαθὸν καθωρᾶτο. καὶ εἶδε Κύριος ἐπ᾽ αὐτούς. καὶ ἐπ᾽ αὐτοὺς μὲν οὐκ ὠργί-

[1]—[1] нѣтъ.

[2]—[2] τὰ βρέφη τῶν χριστιανῶν τὰ μὴ φθάσαντα τὸ ἅγιον βάπτισμα

σθη, ἐπὶ δὲ τοὺς τεκόντας αὐτοὺς καὶ λίαν ἀγανάκτησεν, ὅτι οὐκ ἔφθασαν τῷ θείῳ βαπτίσματι τελειῶσαι καὶ φωτίσαι αὐτούς. καὶ ἐνετείλατο Κύριος δοθῆναι τόπον αὐτοῖς ἀναπαύσεως κατὰ μεσημβρίαν καί τινα μικρὰν ἀπόλαυσιν αἰωνίου ζωῆς διὰ ἔλεον ἄφατον καὶ φιλανθρωπίαν Θεοῦ. καὶ τότε ἐκ βάθους καρδίας στενάξαι καὶ εἰπεῖν πάντας αὐτοὺς πρὸς τὸν δίκαιον Κριτήν· „ὦ Δέσποτα, ἀγαθὸς εἶ καὶ εὔσπλαγχνος, καὶ περὶ τὰ ποιήματα τῶν χειρῶν Σου εὐμενὴς κατὰ τὴν ἀγαθότητα καὶ εὐσπλαγχνίαν Σου, καὶ μόνον αἰτούμεθα τινὸς ἐλέους τυχεῖν καὶ οὐ δι' ἄλλο τι, ὡς γὰρ ζωῆς καὶ θανάτου Κύριος τοῖς κρίμασί Σου τῆς ἐπικήρου ζωῆς ἐστέρησας ἡμᾶς πρὸ τοῦ φρένας σχεῖν πρὸ τοῦ τὰς αἰσθήσεις ἡμῶν ἀρτιωθῆναι κατὰ τὴν διάπλασιν καὶ αὔξησιν τοῦ φθαρτοῦ σώματος. ὡς γοῦν Θεὸς ἐλέους ἡμᾶς συμπάθησον". καὶ δὴ συνέταξεν ὁ Κύριος δοθῆναι τούτοις κατάπαυσιν κατὰ μεσημβρίαν καί τινα ἐπακολούθησιν μικράς τινος ἀναπαύσεως, πλὴν πόρρω τῶν δικαίων καὶ τοῦ κλήρου αὐτῶν. ὑπῆρχε δὲ ἡ συναγωγὴ αὕτη τῶν ἀώρων νηπίων καὶ βρεφῶν τοῦ σπέρματος τῶν χριστιανῶν τῶν μὴ φθασάντων δέξασθαι τὴν σφραγίδα τοῦ ἁγίου βαπτίσματος, ἐν δὲ τελείᾳ ἡλικίᾳ ἀναστάντων ἐπίσης τῇ βροτείᾳ φύσει.

αἱ συναγωγαὶ τῶν αἱρετικῶν. ἔτι ἠφόρισεν ὁ Κύριος ἑτέραν συναγωγὴν ἀπὸ τῶν εὐωνύμων καὶ ἰδοὺ αὕτη παραγενομένη ἔστη κατὰ πρόσωπον Κυρίου τοῦ Θεοῦ. εἶχε δὲ μορφὴν ἐπίσης τῇ τοῦ διαβόλου καὶ ἡ καρδία αὐτῶν βεβαμμένη ἀπὸ τῆς δυσωδίας τοῦ σατανᾶ. τὰ πρόσωπα αὐτῶν δρακοντόσχημα διεστραμμένα σκότους περὶ αὐτοὺς ὡς ἀπὸ καπνοῦ τεάφης καιομένης. οἱ ὀφθαλμοὶ αὐτῶν ὕφαιμοι. ἐν ταῖς ἀκοαῖς αὐτῶν ὄφεις πετώμεναι δάκνουσαι αὐτοὺς καὶ ἐκκρεμώμενοι ἐκ τοῦ στόματος αὐτῶν σκώληκες ἔπιπτον μετὰ ἰχῶρος. οἱ πόδες αὐτῶν σεσηπότες καὶ μυιῶν πλῆθος ἐπικαθήμενον αὐτῶν[1]. ταῦτα δὲ πάντα οὐχ ὑλώδη, ἀλλὰ νοητὰ σήμαντρα ἦσαν, δηλοῦντα τοῦ τρόπου αὐτῶν τὴν ἐλεεινὴν κατάστασιν. καὶ εἶδε Κύριος καὶ παρωξύνθη λίαν ἐπ' αὐτοὺς ἐπειδὴ ἐπικατάρατοι ἦσαν, καὶ ἐζήτησε τὸν ἀπαταιῶνα αὐτοῖς, καὶ εὐθὺς παραγέγονε.

Ἄρειος[2]. καὶ εἶπε Κύριος αὐτῷ· „οὐκ Ἐγὼ εἰμὶ Κύριος Ἰησοῦς Χριστὸς, ὁ συναΐδιος καὶ ὅμοιος κατὰ πάντα τὰ Πατρί Μου καὶ Θεῷ, πῶς οὖν αὐτὸς τὴν Ἐμὴν θεότητα κατὰ σὲ εἰς κτίσμα μετήγαγες; καὶ τὴν ἀνατεθεῖσαν ταύτην ματαίαν συναγωγὴν αἰωνίῳ ὀλέθρῳ παραδέδωκας. ἀπόδος οὖν μοι τὰς ψυχὰς αὐτῶν, ἐπάρατε". καὶ τούτων οὕτως ὑπὸ Κυρίου ἐν θυμῷ πρὸς τὸν παράφρονα Ἄρειον

[1] αὐτοῖς.

[2] нѣтъ.

λεγομένων, ἰδοὺ οἱ τοῦ πυρὸς ἄγγελοι ἐν θυμῷ ἀσχέτῳ ἥρπασαν αὐτὸν καὶ δήσαντες ἀλύσεσι βαρείαις καὶ ἐπὶ τὸν τράχηλον αὐτοῦ κλοιὸν σιδηροῦν κρεμάσαντες, ἔρριψαν αὐτὸν εἰς τὸ κατώτατον χάος τῆς ἀβύσσου, ἔνθα αὐτὸς ὁ διάβολος σὺν τοῖς δαίμοσι καὶ τῷ Ἰούδα, ὅποι οἱ πρηστῆρες οἱ μυριόφριττοι, ὅπου τὸ μυριόλογον πῦρ τὸ φρικτὸν καὶ φοβερόν, ὅπου αἱ μυριάδες τῶν χαλεπῶν τιμωριῶν, αἱ μυριοεπινοήτως ἄγχουσαι καὶ πιέζουσαι καὶ πικρῶς ἐκτηγανίζουσαι καὶ τιτρώσκουσαι τοὺς κατακριθέντας ἐκεῖ. ὡσαύτως ἥρπασαν καὶ τὴν ὑπ᾽ ἐκείνου μαθητευθεῖσαν μιαρωτάτην συναγωγὴν καὶ διεσκόρπισαν πάντας αὐτοὺς ἐν ταῖς θαλάσσαις τοῦ φοβερωτάτου ἐκείνου καὶ ἀστέκτου πυρός, τύπτοντες ἐν ῥάβδοις πυρίναις τούτους.

Μακεδόνιος. εἶτα διεχώρισεν ὁ Κύριος ἀπὸ τῶν εὐωνύμων ἑτέραν συναγωγὴν καὶ τὸ πλῆθος αὐτῆς οὐ πολὺ ἦν. παραγενομένη οὖν καὶ αὕτη ἔστη τετραχηλισμένη ἐνώπιον τοῦ φοβερωτάτου Κριτοῦ. θόρυβος δὲ δυσώδης ἐξεπορεύετο ἐκ τοῦ στόματος αὐτῆς. ὑπῆρχον δὲ αὐτοὶ δρακοντόσχημοι ὄφεις εἰλιμμένους ἔχοντες περὶ τοὺς αὐχένας αὐτῶν, καὶ τὰ πρόσωπα αὐτῶν ἀπηγριωμένα λίαν καὶ ἐκτεθηριωμένα σφόδρα τὰ ὄμματα αὐτῶν. σκότος εἰλιμμένον ἔχοντες περὶ τοὺς πόδας αὐτῶν. αἱ δὲ γλῶσσαι αὐτῶν ἐκρέμμαντο τοῦ στόματος αὐτῶν ὡς ὄφεις καὶ ὡς ἔχιδναι ὑποστρεφόμεναι ἀφ᾽ ὧν ἐξεπορεύετο πῦρ εἰς καπνὸν δριμὺ ἀποκαθιστάμενον. ἀπ᾽ ἀρχῆς μὲν τὸ δοκεῖν ἕως τοῦ οὐρανοῦ ἀνερχόμενον κατὰ λόγον δὲ ἄχρι καὶ τῶν κατωτάτων τῆς γῆς. ἐπεῖδεν οὖν Κύριος καὶ ἐπὶ ταύτην τὴν συναγωγὴν καὶ ἐζήτησε τὸν ἀπατήσαντα αὐτὴν[1]. καὶ ὃς παρέστη βαρυκάρδιος ὅλως ὢν καὶ σκοτοδίνης ἀνάπλεως. καὶ εἶπε Κύριος· „Ἐγὼ μὲν σιγήσω ἀπὸ σοῦ, τὸ δὲ γε ὑπὸ σοῦ βλασφημηθὲν Πανάγιον Πνεῦμα, τὸ ὁμοούσιόν Μου καὶ Κύριος καὶ Θεός, ἐλεύσεται καὶ καταισχύνῃ σε, ὅτι ἔστιν ὄντως Θεός“. καὶ ἰδοὺ πᾶσαι αἱ δυνάμεις τῶν ἁγίων ἀγγέλων ἤρξαντο ᾄδειν αἶνον τερπνὸν καὶ ξένον καὶ μέλος οὐράνιον, γλώσσῃ ἀνθρωπίνῃ ἀνεκδιήγητον, προσκαλούμεναι τὸ παναγιον καὶ ζωαρχικὸν Πνεῦμα. εἶχε δὲ τὰ τῆς ὑμνωδίας οὕτως· „Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, τὸ πανταχοῦ παρόν καὶ τὰ πάντα πληροῦν[2], ἐλθὲ καὶ ἐμφάνηθι, ὥστε καταισχυνθῆναι τὸν εἰς σὲ βλασφημήσαντα μιαρὸν Μακεδόνιον καὶ τῆς ὁμοουσιότητος τοῦ Πατρὸς καὶ Υἱοῦ Σε χωρίσαντα“. μετὰ γοῦν τὴν ὑμνωδίαν ταύτην, ἰδοὺ φῶς ἔλαμψεν ἄνωθεν φρικωδέστατον καὶ διεχύθη μέχρι τῶν ἀχράντων ἰχνῶν τοῦ Σωτῆρος καὶ οὐκ ἐξέλιπεν ἐφήπλωται δὲ ἐπὶ πάσῃ ὁδῷ, ᾗ

[1] αὐτούς

[2] δοδ. —ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγος.

διώδευε καὶ μετὰ τὴν τοῦ φωτὸς τοῦδε παρουσίαν, ἰδοὺ ἀκτῖνες πυρὸς βάλλουσαι ἐπάνω αὐτοῦ, ὡς ἀπὸ πυρσοῦ μεγάλου ἀναφλεγομένου καὶ σπινθῆρας βάλλοντος. καὶ μετὰ τὰς ἀκτῖνας, ἰδοὺ εὐπρέπεια, ὡραιότης, σύνεσις, ἰδοὺ ἀγάπη, χαρά, εἰρήνη καὶ αὗται πᾶσαι ἀλλήλαις συνεζευγμέναι ξενοπρεπῶς. ἡ δὲ ὡραιότης αὐτῶν καὶ ἡ καλλονὴ τοιαύτη τις ἦν, οἵαν βρότειος νοῦς ἐννοήσασθαι οὐ δύναται, μὴ ὅτι γε καὶ γλώσσῃ ἐξηγήσασθαι. καὶ μετ' αὐτοὺς ἰδοὺ θρόνος σμαραγδοειδής, καὶ ἐπ' αὐτῷ ὁ Παράκλητος ἐπὶ νεφέλης φωτεινῆς ἐπαναπαυόμενος. καὶ το εἶδος Αὐτοῦ ἐξαίσιον, οἷον καὶ ἀνεκδιήγητον ὡσεὶ χιονοειδοῦς περιστερᾶς. καὶ Αὐτὸς ἦκε μετ' ἐκπλήξεως καὶ ἐπανεπαύσατο ἐν τῷ Μονογενεῖ Θεῷ καὶ Λόγῳ τοῦ Θεοῦ καὶ Πατρός. καὶ ὕμνησαν ἐπὶ τῇ τοῦ Παρακλήτου θείκῃ ἐπελεύσει πάντες οἱ ἄγγελοι, Θεὸν ὁμοούσιον καὶ ἰσότιμον τοῦτον τῷ Πατρὶ καὶ τῷ Υἱῷ δοξάζοντες, καὶ ᾐσχύνθη ὁ θεομισὴς Μακεδόνιος καὶ ἰδοὺ ἄγγελοι τοῦ πυρὸς ὡσεὶ τάχος ἀστραπῆς παρεγένοντο καὶ διέθηκαν καὶ εἰργάσαντο αὐτῷ τε καὶ τῇ μιαρᾷ αὐτοῦ συναγωγῇ καὶ τοῖς ὑπ' αὐτοῦ μαθητευθεῖσι τὰ παραπλήσια τῷ Ἀρείῳ. τὸ μὲν τοι Ἅγιον καὶ Ζωαρχικὸν Πνεῦμα ἐπανῆκεν αὖθις ὅθεν ἐλήλυθεν.

Νεστόριος. ἔτι προσέθετο Κύριος ἀφορίσαι ἀπὸ τῶν εὐωνύμων Αὐτοῦ, καὶ ἰδοὺ ἑτέρα συναγωγὴ πάνυ βραχεῖα καὶ ἔστη ἐνώπιον τοῦ Κριτοῦ. καὶ ἐπεῖδε Κύριος ἐπ' αὐτήν. καὶ αὕτη πονηρὰ καὶ ἁμαρτωλὸς σφόδρα, καὶ τὸ μὲν ἥμισυ τοῦ προσώπου αὐτοῦ σκότῳ χαλεπῷ ἀμαυρούμενον, τὸ δὲ ἥμισυ βδελυρὸν καὶ κοπρῶδες, ἀκαθαρσίαν πολλὴν σταλάζον. ἐπὶ δὲ τὰ σώματα αὐτῶν ὡς τῆς ἀράχνης ἐπέκειντο καὶ [1—κονιορτοῦ ἀφορήτου—1] ἐπικειμένου[2]. τὸ δέ γε στόμα αὐτῶν ὑπῆρχεν ἐρευγόμενον ἀσθένειαν καὶ καπνὸν τεάφης δυσώδη καὶ ἀφόρητον. οἱ ὀφθαλμοὶ αὐτῶν πονηρὰ βλέποντες. αἱ χεῖρες αὐτῶν καὶ οἱ πόδες κόπων ματαίων καὶ πόνων ἀνάπλεοι καὶ ἐβδελύγξατο καὶ ταύτην τὴν συναγωγὴν ὁ Κύριος, καθότι ἡ ζωὴ αὐτῶν ἡ ἐν τῷ κόσμῳ σκάνδαλον μέγα ταῖς ἁγίαις Αὐτοῦ ἐκκλησίαις ἐγένετο καὶ διεκελεύσατο εἰς τὸ ἐμφανὲς ἀχθῆναι τὸν ἀπατεῶνα αὐτῶν, καὶ αὐτὸς θᾶττον ἢ λόγος παρέστηκεν ὅλως μεμισημένος καὶ ἐβδελυγμένος ἐνώπιον Κυρίου του Θεοῦ. καὶ φησίν ὁ Κύριος διὰ τῆς ἀρχαγγελικῆς[3] κατά τὸ εἰωθὸς πρὸς αὐτόν „ποῦ εἰσι τὰ δύο πρόσωπα, ἃ ἐν Ἐμοὶ ἀπὸ τῆς σῆς κοιλίας εἶναι ἐξέμεσας, καὶ τὸν περιε-

---

1—1 καὶ αὐτὸς κονιορτῷ ἀφορήτῳ

2 κεκραμένος.

3 доб. σάλπιγγος

στῶτα λαὸν οὕτως εἰς Ἐμὲ πιστεύειν ἐδίδαξας[1]; οὐκ Ἐγὼ εἷς ἅγιος καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, ἐν δυσὶ ταῖς φύσεσι καὶ μιᾷ τῇ ὑποστάσει προσκυνούμενος ὑπὸ πάσης κτίσεως; σὺ γοῦν πόθεν ἄρα ἐν Ἐμοὶ τὰ δύο πρόσωπα καθιστόρησας καὶ οὕτως πιστεύειν περὶ Ἐμοῦ τὸν συμπαρεστῶτά σοι ὄχλον ἐδίδαξας". καὶ ταῦτα λέγων ὁ Σωτὴρ καὶ Κριτὴς ἐδόκει οἷον ἀποκαλύπτειν καὶ φανεροῦν ἑαυτὸν τῷ λυμεῶνι[2] καὶ πᾶσι τοῖς συμμύσταις αὐτοῦ, οἳ καὶ κατανοήσαντες ὅπως πεπλάνηνται ἀσεβήσαντες εἰς Αὐτὸν καὶ τὴν ἄχραντον Αὐτοῦ Μητέρα καὶ Μαρίαν τὴν Θεοτόκον, ἣν Χριστοτόκον ἐκάλουν ἐν ταῖς ἡμέραις αὐτῶν, καὶ οὐ κυρίως καὶ ἀληθῶς Θεοτόκον, ὥσπερ δὴ καὶ ἐστὶν, ἔμαθον ὅτι ὄντως ἠπάτηνται ὑπὸ τοῦ σατανᾶ, καὶ ἵσταντο ἔξαλλοι καὶ ἀπονενοημένοι εἰς ἀλλήλους ἐξεστηκότες καὶ ἐνορῶντες. παρεγένετο δὲ καὶ ἡ ἁγία Θεοτόκος, δόξῃ καὶ δορυφορίᾳ θεικῇ λαμπρυνομένη καὶ περιαυγαζομένη, καὶ ἔστη πλησίον τοῦ Υἱοῦ αὐτῆς καὶ Θεοῦ, ἀρρήτῳ τινὶ καὶ θείᾳ αἴγλῃ κεκοσμημένη. καὶ ἅμα ἤνεσαν αὐτὴν πάντες οἱ ἄγγελοι καὶ εἶπον· „χαῖρε, ἡ ἀξιωθεῖσα γενέσθαι Μήτηρ Θεοῦ καὶ χάριν εὑροῦσα ὑπεράνω πάσης κτίσεως. χαῖρε, ὅτι διὰ σοῦ ὤφθη καὶ ἡμῖν ὁ πρὶν ἀόρατος Χριστός. χαῖρε, ἡ αἰτία τῆς τοῦ κόσμου παντὸς σωτηρίας". καὶ τούτων ἀκούσας Νεστόριος, φόβος καὶ τρόμος συνέσχεν αὐτόν, καὶ διηπορεῖτο αἰσχύνης πληρούμενος καὶ ἰδοὺ ἐπένευσεν ὁ Κύριος τοῖς προστάταις τῶν τιμωρητικῶν δυνάμεων, καὶ ἦραν αὐτὸν τύπτοντες ἐν ράβδοις πυρίναις καὶ σιδηραῖς ἁλύσεσι χεῖρας αὐτοῦ καὶ πόδας πεδήσαντες, κατεκρήμνησαν ἔνθα δὴ καὶ τὸν Ἄρειον καὶ τὸν Μακεδόνιον σὺν τῷ σατανᾷ κατεδίκασαν. διεμερίσαντο δὲ καὶ τοὺς αὐτοῦ ὁμοφρόνας ἐν ταῖς λοιπαῖς κολάσεσιν, ἐλεεινῶς ἀποδυρομένους καὶ κράζοντας τὸ „ἐλέησον ἡμᾶς, ὁ Θεός", καὶ οὐκ ἦν ὁ ἐλεῶν αὐτοὺς ἢ ὁ ῥυόμενος. μετὰ γοῦν τὸ συντελεσθῆναι τούτους καὶ τὰ ἄξια ἀπολαβεῖν ἕκαστον αὐτῶν, ἡ μὲν ἁγία Θεοτόκος Μαρία εἰσέδυ πρὸς τὰ ἄδυτα τῆς ἁγίας πόλεως, ὅθεν καὶ ἐλήλυθεν αἰνεσάντων αὐτὴν ἐν τῇ εἰσόδῳ πάντων τῶν ἁγίων ἀγγέλων ὥσπερ καὶ πρότερον[3].

ὁ δέ γε Κύριος ἠφόρισεν ἔτι μερίδα ἀπὸ τῶν εὐωνύμων ὀλιγοστὴν πάνυ ὑπὲρ τὰς πρὸ αὐτῆς, ἥτις καὶ παραγενομένη ἔστη ἔμπροσθεν Αὐτοῦ. καὶ μήτις διαπόρησις τῶν ἐντυγχανόντων τῷδε μου τῷ διηγήματι καὶ ὡς εἰκὸς λογίσηται ὅτι

[1] доб. καὶ πάντας τούτους υἱοὺς γεέννης ἀντὶ βασιλείας οὐρανῶν πεποιήκας; ποῦ δὲ ἄρα οἱ δύο υἱοί, οὕς αὐτὸς ἀθέως τοὺς ματαίους ταύτους ἐδίδαξας

[2] λυόμενῳ.

[3] далѣе заглавіе: μονοθελῆται.

πῶς ἐμοὶ τῷ ἐκτρώματι τὰ τοιαῦτα ἀπεκαλύφθη μυστήρια, ἅτινα οὐδαμῶς τινι τῶν μεγάλων καὶ θεοφόρων ἀνδρῶν ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ νῦν σαφῶς οὑτωσὶ ἐδηλώθη, εἰ μή πού τισιν ἐξ αὐτῶν ἀμυδρῶς πως, καὶ τούτῳ μέντοι ὧδε, τούτῳ δὲ ἀλλοίως καὶ ἄλλῳ ἄλλως, πρὸς ἣν δηλαδὴ ὁ καθεὶς αὐτῶν ἔσχηκε πρὸς Θεὸν παρρησίαν καὶ οἰκείωσιν. ἔχω γὰρ κἀγὼ τῆς χάριτος συνεργούσης μοι διαλῦσαι τὴν ἀπορίαν αὐτοῦ, εἰρηκὼς πρὸς αὐτόν, ὅτι ὦ οὗτος, ὅστις ποτὲ ἦσθα ὁ διαπορῶν, πρῶτον μὲν γὰρ γίνωσκε, ὅτι κἀμοὶ οὐχ ὡς ἀξίῳ ὄντι τοιούτων μυήσεων καὶ θεωριῶν τὰ τοιαῦτα ἐδείχθη, ἀλλὰ δι' εὐχῆς καὶ πρεσβείας τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ θεοφόρου Βασιλείου, ὥσπερ ἄνω μοι τῶν λόγων εἴρηται, εἶτα τί ξένον τοῦτο καὶ ἀσύμβατον ταῖς τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν οἰκονομίας, ὅστις γυναιξὶ πρώταις τὸ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως μυστήριον ἐφανέρωσε, καὶ τὴν ἐπὶ γῆς αὐτοῦ σωτήριον ἔλευσιν ἐνεπίστευσε, καὶ μάγοις μετ' αὐτὰς καὶ ποιμέσι καὶ ἐν ὑστέρῳ τὸ παγκόσμιον κήρυγμα ἁλιεῦσι καὶ ἀγραμμάτοις ἐνεχείρισε καὶ πολλαχοῦ τῆς θείας γραφῆς εὑρήσεις τὰ ὑποδείγματα ἄλλως τε καὶ τὰ θεῖα μυστήρια προσφόρως τοῖς καιροῖς καὶ συμφερόντως τινὰ μὲν ἀποκαλυπτόμενα εὑρίσκομεν, τινὰ δὲ ταῖς μετ' ἔπειτα ταμιευόμενα καὶ οὐχ ὁμοῦ τὰ πάντα ἀποκαλυπτόμενα, ἀλλὰ κατ' ὀλίγον φανερούμενα καὶ δηλοποιούμενα καὶ ἄλλως θαυμαστὸν οὐδὲν εἰ καὶ αὐτὸς τὴν ἀκολουθίαν ἐπεξηγούμενος καὶ εἰς κοινὴν ὠφέλειαν τῶν ἐντυγχανόντων αὐτὴν προστιθεὶς παρενεῖρα τινὰ τῶν θειῶν γραφῶν αὐτὰ ἐκλεξάμενος, καὶ προσφόρως συνήρμωσα ὡς ἀπ' ἐμαυτοῦ συντιθείς, ὅθεν καὶ εἴ τι ἐν τούτοις ἴσως κατ' ἰδιωτίαν ἐμὴν ἀπᾷδον καὶ ἀνοίκειον εὑρεθῇ τῇ ραθυμίᾳ τοῦτο προσαπτέσθω καὶ τῇ ἀμουσότητι. καὶ μὴ διὰ τοῦτο τοῦ παντὸς συγγράμματος κατηγοροῖτο καὶ κατειρωνεύοιτο. εἰώθασι γὰρ τινὲς τῶν ἐπὶ τῇ καταργηθείσῃ σοφίᾳ βρενθυομένων καὶ ἐπὶ ταύτῃ κομπαζόντων καὶ λόγοις κομψοῖς καὶ συλλογισμοῖς πειρωμένων τὰ πάντα εἰδέναι, καὶ πρὸς τὸ στῆσαι τὸ ἴδιον θέλημα καὶ τὴν κενοδοξίαν πολλὰ ἐρευνώντων καὶ ἐρευγομένων ἐξουθενεῖν καὶ ἐκμυκτηρίζειν ἐάν τινι τοιούτων ἐντύχωσι καὶ καταγελᾷν τῶν τοιούτων ἐπὶ καταστροφῇ τῶν ἰδίων ψυχῶν οὐ παραιτοῦνται, ἀλλ' ἡμεῖς οὐ διὰ τοῦτο σιγήσομεν, ἢ τῇ ὠφελείᾳ τῶν ἁπλάστως καὶ μετὰ συντετριμμένης καρδίας δεχομένων αὐτὰ φθονήσομεν. εἴπωμεν δὲ φιλαλήθως πάντα ὅσα τε εἴδομεν καὶ ἠκούσαμεν καὶ τῆς ἀληθείας ἐν πᾶσι φροντίσωμεν. οἶμαι δὲ ὅτι τῶν εὐφρονούντων οὐδεὶς διετάσειεν, ἢ ἐπὶ τοῖς θεωρηθεῖσιν ἡμῖν κἀνταῦθα ἀναγεγραμμένοις διαπιστήσειε, καὶ μᾶλλον ἐὰν τῆς θείας γραφῆς κατακόρως τῆς τε παλαιᾶς καὶ τῆς νέας φημὶ ἐν μετοχῇ γέγονεν. ἐξείη γὰρ

ἐκεῖθεν περὶ τῶν τοιούτων τὰς μαρτυρίας σαφεῖς καὶ ἀναμφιλέκτους, καὶ οὐ μόνον οὐδὲν τῶν τοιούτων ἵνα ἐξευτελίσῃ καὶ διασύρῃ, ἀλλὰ καὶ μᾶλλον ὠφεληθεὶς αὐτὸς τὰ μέγιστα Θεῷ μὲν τὴν εὐχαριστίαν ὡς δεῖ δι' ἔργων καὶ λόγων τῷ κηδεμόνι τῶν ψυχῶν ἡμῶν ἀναπέμψοι, μεταδοίη δὲ καὶ ἑτέροις τῶν ἀδελφῶν πλείστοις λίαν ἱλαρῶς καὶ προθύμως.

ἡμεῖς δὲ τῆς ἀκολουθίας αὖθις ἐχόμεθα, καὶ ὅθεν ἐξέβημεν ἐπανίωμεν. ὡς οὖν παρέστη ἡ συναγωγὴ αὕτη ἐνώπιον Κυρίου τοῦ Θεοῦ, ἀπείδομεν εἰς αὐτήν. καὶ ἦν ἡ ἰδέα τοῦ προσώπου πάντων τῶν ἐν αὐτῇ πάνυ ἐχλευασμένη ἀπὸ χλεύης καὶ ἐμπαιγμῶν δαιμονίων ἀπὸ ἐξαπάτης τὴν ρυτίδα ἔχουσα, χιτῶνας δὲ ἐρρηγμένους ἀπὸ ἀναθέματος ἠμφιεσμένοι, καὶ ἐν ταῖς χερσὶν καὶ ποσὶ σφραγίδα σημασίας ἔχουσα σκοτεινόμορφον τῆς ἀπάτης καὶ ἀπωλείας αὐτῶν.

Εὐτυχὴς καὶ Διόσκορος[1]. καὶ ἀτενίσας εἰς αὐτὴν ὁ Κύριος ἠγανάκτησε λίαν ἐπ' αὐτῇ καὶ ἐζήτησε τὸν γενόμενον ἀρχηγὸν καὶ αἴτιον τῆς πλάνης καὶ ἀπωλείας αὐτῶν. καὶ εὐθέως παρέστησαν ἄνδρες δύο μεμελανωμένοι, [2]— ὥσπερ αὐτὸς ὁ σατανᾶς —[2], καὶ ἀπηγριωμένοι σφόδρα, πρὸς οὕς φησι δι' ἀρχιστρατηγικῆς σάλπιγγος· „ὦ ἐπάρατοι καὶ συνεργοὶ τῷ διαβόλῳ, τίς ὑμᾶς ἐδίδαξεν ἢ πόθεν τοῦτο τὸ δεινὸν ἐννοήσατε καὶ ἐξεύρατε δόγμα ἐν Ἐμοὶ,—τὸ μίαν ἔχειν Με φύσιν ἐν τῇ ἐνανθρωπίσει καὶ σωτηριώδει ἐπὶ τῆς γῆς παρουσίᾳ Μου. οὐκ ἰδοὺ Ἐγὼ εἷς Θεὸς καὶ εἷς Κύριος ἐν δυσὶν οὐσίαις θεότητός τε καὶ ἀνθρωπότητος ὧν τε καὶ τοῖς εὐσεβέσι γνωριζόμενός τε καὶ δοξαζόμενος, ἐν μιᾷ ὑποστάσει διττὰς ἔχω τὰς φύσεις καὶ ἐνεργείας καὶ τὰ θελήματα, καθὼς καὶ οἱ ὑπὸ τοῦ Ἐμοῦ Πνεύματος κινούμενοι θεοφόροι πατέρες ὑμῶν ἐδίδαξαν, καὶ ἐν ὅροις εὐσεβείας αὐτοί τε διέμειναν, καὶ τὸν ἐμπιστευθέντα τούτοις λαὸν διεσώσαντο, ὑμεῖς δὲ πῶς καινοτομῆσαι καὶ παρασαλεῦσαι τοὺς ὅρους καί τὰς διατάξεις αὐτῶν τετολμήκατε; ἄρατε οὖν αὐτοὺς καὶ πρὸς τὸν πατέρα αὐτῶν τὸν σατανᾶν ἀπαγάγετε, ἵνα σὺν ἐκείνῳ τοὺς τῶν καρπῶν αὐτῶν δρέψωνται. καὶ εὐθέως ἁρπάσαντες τούτους οἱ πύρινοι ἑταῖροι, καὶ χεῖρας καὶ πόδας αὐτῶν ἁλύσεσι βαρείαις πεδήσαντες, ἅμα δὲ καὶ ὁλκοὺς σιδηροῦς ὡσεὶ μύλων μεγίστων εἶδος τῶν τραχήλων αὐτῶν ἐξαρτήσαντες, τούτους μέν, ἔνθα δὴ Ἄρειον καὶ Νεστόριον πρὸς αὐτῶν ἀφόρισαν καὶ κατεκρήμνισαν. τοὺς δέ γε μαθητευθέντας αὐτοῖς εἰς τὴν παφλάζουσαν τοῦ πυρὸς θάλασσαν διέσπειραν.

---

[1] въ Синод. этого заглавія нѣтъ.

[2—2] нѣтъ.

Ωριγένης, Εὐάγριος καὶ Δίδυμος[1]. Μετὰ γοῦν τὸ συντελεσθῆναι τούτους, ἰδοὺ ἑτέρα συναγωγὴ τῶν εὐωνύμων παρέστη καὶ προῆγον αὐτοῖς τρεῖς ἀπατεῶνες μεμυσταγωγημένοι ὑπὸ τοῦ ἀρχεκάκου ὄφεως, ἔχοντες τὴν ἰδίαν ἀπάτην περιειλιμμένην ἐν ταῖς πλευραῖς αὐτῶν, καὶ αὐτοὶ καὶ πᾶσα ἡ συναγωγὴ αὐτῶν, ἐν σχοινίοις μελανοῖς καθόλου τοῦ σώματος ὑπῆρχον συνεσφιγμένοι καὶ σκότος βαθὺ ἐκάλυπτε τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ τὰ πρόσωπα πιέζων καὶ θλίβων τὴν αἴσθησιν αὐτῶν. οἱ ὀφθαλμοὶ αὐτῶν ἀμβλυωποῦντες ὁρῶντο ἀπὸ ματαιότητος. αἱ χεῖρες αὐτῶν καὶ οἱ πόδες βεβαμμένοι ἰῷ πονηρῷ καὶ χαλεπῷ. οἱ πάντες χιτῶνας ζοφεροὺς ἐνδεδυμένοι ἀφ' ὧν ἐξέπιπτεν ὡς αἰθάλης σποδία καὶ ἐταλάνιζον αὐτοὶ ἑαυτούς. ὁ δὲ Κύριος ἐμβλέψας εἰς αὐτοὺς, ἐθυμώθη λίαν καὶ ὠργίσθη κατ' αὐτῶν ἐπειδὴ παντελῶς κατενώπιον Αὐτοῦ ἦσαν βδελυκτοί καὶ ἀπεφήνατο κατ' αὐτῶν ὁμοίως τοῖς πρὸ αὐτῶν, καὶ ἐξερρίφησαν ἁρπαγέντες ἀθρόον εἰς τοὺς τόπους καὶ τὰς κολάσεις αὐτῶν. ἡ δὲ ἀπατηθεῖσα ὑπ' αὐτῶν συναγωγὴ διεμερίσθη εἰς τὸν ἰοβόλον σκώληκα καὶ τὸν τάρταρον καὶ οὐκ ἦν ὁ ἐλεῶν ἢ ὁ οἰκτείρων αὐτούς.

Σέργιος, Ὀνώριος, Πύρρος, Κῦρος καὶ Στέφανος. καὶ προσέτεθο Κύριος ὁ Θεὸς ἔτι καὶ διεχώρισε συναγωγὴν ἀπ' αὐτῶν καὶ παρελθοῦσα ἔστη. καὶ προσῆγον αὐτῆς οἱ ἀπατεῶνες τὸν ἀριθμὸν πέντε, οἵτινες ἀπεπλάνησαν αὐτὴν καὶ εἰς τὴν μιαρὰν αὐτῶν αἵρεσιν ὑπέσυραν, οἵ καὶ ἦσαν ὡς ἀποβροντισμένοι ρυπαρὰ ἱμάτια ἠμφιεσμένοι ὡς ἀπὸ ἀσβόλης, καὶ τὰ πρόσωπα αὐτῶν ὡς ἀπὸ κόνεως ἀνθράκων, αἱ δὲ χεῖρες καὶ οἱ πόδες αὐτῶν λίαν ἀκάθαρτοι. καὶ ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν σκότος ἐξεπορεύετο. καὶ εἶπε Κύριος τοῖς ἐξάρχοις τῆς ἀνομίας· „πόθεν ὑμῖν, ἀφρονέστατοι, ἐξεγένετο ἐννοῆσαι ἐν Ἐμοὶ ἐνανθρωπῆσαν τὸ ἕν θέλημα καὶ μίαν ἐνέργειαν, καὶ παραχαράξαι τὰ θεῖά Μου διδάγματα καὶ ἀποπλανῆσαι τὸν περιεστῶτα ὄχλον ὀπίσω ὑμῶν, καὶ τῆς διδαχῆς ὑμῶν πορευθῆναι. ἄρατε αὐτοὺς ἔνθεν". καὶ εὐθέως ἁρπάσαντες αὐτοὺς οἱ πύρινοι ἄγγελοι, ἀπέρριψαν αὐτοὺς ἔνθα καὶ τοὺς πρὸς αὐτῶν αἱρεσιάρχας κατεδίκασαν, καὶ τὴν συναγωγὴν αὐτῶν διεσκόρπισαν ἔνθα ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων[2].

ἔτι προσέθετο ὁ Κύριος ὁ Θεὸς καλέσαι ἀπὸ τῶν ἐπιλοίπων ἁμαρτωλῶν πλήθη ἄπειρα, καὶ παραγενόμενα ἔστησαν. καὶ εἴδομεν αὐτοὺς καὶ ἦν ἡ ἰδέα ὡσεὶ τῶν ἐν ἱπποδρομίῳ ἱσταμένων εἰδώλων. οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ὡς ἀπηγριωμένων λύκων. αἱ ἀκοαὶ αὐτῶν βε-

[1] въ Синод. этого заглавія нѣтъ.

[2] далѣе заглавіе: εἰκονομάχοι.

βυσμέναι πίσσῃ καὶ στυππείῳ. αἱ χεῖρες αὐτῶν εἰς τοὐπίσω ἀπὸ τοῦ Κυρίου πρὸς τὸν σατανᾶν ἐπαιρόμεναι. καὶ οἱ πόδες αὐτῶν ὄφεις καὶ ἰοβόλα θηρία πεπλεγμένοι. ἡ δὲ κακία αὐτῶν ὡς φλὸξ ἀναβράζουσα ἐν ταῖς πικραῖς καρδίαις αὐτῶν, οὕτινες ἐδόκουν μὲν φιλεῖν ἀλλήλους ἐπεμίγγριζον δὲ καὶ ὡς κύνες ἀλλήλους κατήσθιον. ἦσαν δὲ οὗτοι ἰακωβῖται, σεβηριανοί, εἰκονομάχοι, εἰκονοκαῦται καὶ οἱ ὁμοῖοι αὐτῶν αἱρετικοί. καὶ θεωροῦντες οὗτοι τὸν Κύριον, οὗ τὴν εἰκόνα ἐβδελύσσοντο, ἀπέστρεφον τὰς ὄψεις αὐτῶν ἀπ' Αὐτοῦ, μὴ φέροντες ἀτενίσαι πρὸς Αὐτόν, καὶ διελέγοντο τοιαῦτα πρὸς ἀλλήλους· „ὄντως ἐματαιώθημεν ἐν ταῖς ἡμέραις τῆς ζωῆς ἡμῶν, μὴ προσκυνήσαντες τὴν εἰκόνα Αὐτοῦ καὶ τῶν ἁγίων Αὐτοῦ, μᾶλλον δὲ καὶ ἠτιμάσαμεν [1] καὶ ἐμιάναμεν αὐτήν". καὶ ἀνταπεκρίναντο αὐτοῖς ἕτεροι· „οὐχὶ ἀλλὰ καλῶς ἐποιήσαμεν, φαντασία γὰρ καὶ οὐκ ἀληθῶς ἄνθρωπος ἐγένετο καὶ πῶς ἂν τις ὅλως φάντασμα ἱστορῆσαι ἐπευδοκήσειεν". οὗτοι δὲ τῶν ἀφθαρτοδοκήτων ἦσαν. οὕτως γὰρ ἡ αἵρεσις αὐτῶν δοξάζει περὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ. καὶ ἄλλοι ἄλλως πρὸς ἑαυτοὺς ὡμίλουν ἑκάστῳ δηλαδὴ κατὰ τὴν τῆς οἰκείας θρησκείας αἵρεσιν. ὁ δὲ Κύριος ὀργίλως ἰδὼν εἰς αὐτούς, φησὶ διὰ τῆς σάλπιγγος τοῦ ἀρχιστρατήγου· „ἀπόστητε ἀπ' Ἐμοῦ ἐργάται τῆς ἀνομίας, καθὼς αὐτοὶ ἠρνήσασθέ Με καὶ τὴν εἰκόνα Μου ἠτιμάσατε, καὶ τὰς δύο Μου φύσεις καὶ τὰς διπλᾶς ἐνεργείας καὶ τὰς θελήσεις ἐν οἷς τὴν τῶν βροτῶν κατειργασάμην σωτηρίαν, ἠθελήσατε καὶ ξένην τινὰ καὶ ἀλλόκοτον ἐπ' ἐμοὶ ὑπόληψιν καὶ δόξαν ἐσχήκατε καὶ τὰ ποίμνιά Μου διεσπαράξατε καὶ τῷ λυμεῶνι σατανᾷ εἰς βρῶσιν προτεθήκατε,—οὐδὲ Ἐγὼ φείσομαι ὑμῶν". καὶ ἐπέταξε τοῖς τιμωρητικοῖς δυνάμεσιν μετελθεῖν αὐτοὺς ἀποτόμως. καὶ ἦν ἰδεῖν θέαμα ἐλεεινὸν εἰς αὐτούς. καὶ ἐξετίνασσον αὐτοὺς εἰς τοὺς ἐπισήμους τόπους τῆς φοβερᾶς ἐκείνης θαλάσσης τοῦ πυρός. ὡς ἀθανάτων δὲ τούτων καὶ ἀφθάρτων γεγενημένων, οὐκ ἀντεκλῶντο τὰ τούτων ὀστᾶ, οὐδὲ αὐτοὶ ἀπέθνησκον, ἀλλὰ μόνον τὴν αὐτὴν ὀδύνην οἱ τιμωρούμενοι ὑφίσταντο, οἷαν καὶ οἱ φθαρτὰ σώματα ἔχοντες καὶ ὁμοίως αὐτοῖς αἰκιζόμενοι ὑπομένουσι καὶ αἰσθάνονται. τούτων οὕτως ἀποτόμως ἐν θυμῷ καὶ ὀργῇ τοῦ δικαίου Κριτοῦ τιμωρουμένων, πάντες οἱ ἅγιοι ἄγγελοι ἔτρεμον καὶ φόβῳ συνεστέλλοντο διὰ τὴν τοῦ δικαίου Κριτοῦ ἀγανάκτησιν, ἣν ὑπέμειναν, καὶ διὰ τὰ ἄλλα αὐτῶν ἁμαρτήματα. ἐξαιρέτως δὲ διότι οὐ προσεκύνουν καὶ ἐτίμων τὰς ἁγίας εἰκόνας τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς ἀχράντως τεκούσης Αὐτὸν ὑπεραγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν

[1] ἠτοιμάσαμεν (sic).

ἁγίων, ἃς καὶ πᾶς τις χριστιανὸς ὀφείλει προσκυνεῖν καὶ κατασπάζεσθαι, οὐ θεοποιῶν αὐτάς, ἢ τὴν ὕλην ἁπλῶς τιμῶν, ἀλλὰ διὰ τούτων τὴν ψυχικὴν ὀπτασίαν ἐπὶ τὰ πρωτότυπα φέρων[1] καὶ πλανώμενον τὸν νοῦν ἱστάς. καὶ εἰ μὲν ἁγίων εἰσὶ τὰ ἐκτυπώματα ὡς αὐτὰ τὰ πρωτότυπα πρόσωπα ἐνορῶν νοερῶς καὶ αἰσθητῶς ἐξαιτεῖν καὶ λέγειν· „ἅγιε τοῦ Θεοῦ, ὁ δεῖνα πρέσβευε ὑπὲρ ἡμῶν". εἰ δὲ τοῦ Κυρίου ἐστίν ἡ εἰκών, ὡσαύτως τὸν νοῦν ἀνάγει ἐπὶ τὸ πρωτότυπον καὶ νοερῶς καὶ αἰσθήτως προσπίπτειν αὐτῷ καὶ λέγειν· „Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με, Κύριε, ἥμαρτόν σοι συγχώρησόν μοι". καὶ ἐπειδὴ τοὺς ἁγίους πόδας ἐκείνου ὡς ἡ πόρνη κρατεῖν καὶ καταφιλεῖν καὶ τοῖς θερμοῖς δάκρυσιν καταβρέχειν καὶ τὴν τῶν σφαλμάτων συγχώρησιν ἐξαιτεῖν, νῦν ὑπάρχειν ἀδύνατον ἅπαξ ἀναληφθέντος εἰς τὸν οὐρανὸν καὶ ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρὸς καθεζόμενον τοὺς τῆς ἁγίας Αὐτοῦ εἰκόνος θεανδρικοὺς πόδας κρατεῖν καὶ ὁλοψύχως καταφιλεῖν καὶ τοῖς δάκρυσι βρέχειν καὶ τοῖς τῆς καρδίας ὀφθαλμοῖς πρὸς ἐκεῖνον Αὐτὸν ἐνορᾷν καὶ ἐκείνου Αὐτοῦ τοῦ σαρκωθέντος Θεοῦ ἡμῶν τοὺς ἀχράντους καὶ δι' ἡμᾶς ἡμαγμένους πόδας δοκεῖν κρατεῖν καὶ ἐξαιτεῖσθαι τὴν τῶν ἐσφαλμένων συγχώρησιν. οὐ γὰρ τῇ ὕλῃ λατρεύομεν, ὡς τοῖς μιαροῖς εἰκονομάχοις δοκεῖ, ἢ εἰδωλολατροῦμεν ὡς οἱ ἕλληνες ἅπαγε. ἐκεῖνοι γὰρ αὐτὰ τὰ ὁμοιώματα ἐθεοποίουν μὴ ἔχοντα ἀληθινὰ πρωτότυπα πρόσωπα, εἰμὶ πλάνους τινὰς καὶ ἐπὶ αἰσχροπραγίᾳ διαβεβοημένους ἄνδρας. ἡμεῖς δὲ ἀληθινὸν Θεὸν καὶ Σωτῆρα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν γνωρίσαντες ἐπὶ σωτηρίᾳ τοῦ βροτείου γένους ἐκ τῶν πατρικῶν κόλπων κατελθόντα ἐπὶ τῆς γῆς καὶ ἐκ τῆς ἀειπαρθένου Μαρίας σάρκα δανεισάμενον, καὶ ἐν εἴδει τῷ καθ' ἡμᾶς ὀφθέντα καὶ τέλειον ἄνθρωπον καὶ Θεὸν ἀληθινὸν ὁμολογοῦντες καὶ κηρύττοντες, καὶ τῷ εἴδει μέλλοντα ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς. τούτου καὶ τὴν ἁγίαν εἰκόνα προσκυνοῦμεν, ἱστοροῦντες καὶ ταύτην κατασπαζόμεθα, καὶ τοὺς μὴ οὕτως φρονοῦντας ἀναθεματίζομεν. οὐ τὴν θεότητα περιγράφοντες ὡς τοῖς δυσσεβέσι δοκεῖ. ἅπαγε. αὕτη γὰρ ἀνίδεος, ἀσχημάτιστος, ἀκατάληπτος. ἀλλὰ τὴν θεανδρικὴν ἐμφέρειαν τοῦ Κυρίου μου ἐν ᾗ τὸ πᾶν πλήρωμα ἐνῴκησε τῆς θεότητος, καὶ τὴν ἐμὴν κατειργάσατο σωτηρίαν, ἱστορῶν προσκυνῶ. οὐ μέχρις αὐτοῦ ἱστάμενος καὶ περαιτέρω μὴ προϊών, ἀλλὰ δι' αὐτοῦ πρὸς τὸ πρωτότυπον τὸν νοῦν παραπέμπων καὶ πλανᾶσθαι τοῦτον μὴ συγχωρῶν.

Ἡ τῶν ἰουδαίων συναγωγή. μετὰ γοῦν τὸ συντελεσθῆναι

[1] μεταφέρων.

τὰ κατὰ τῶν ἤδη ρηθέντων εἰκονομάχων προσέθετο ὁ Κύριος αὖθις ἀνταπόδοσιν ἀνταποδοῦναι δικαίαν τοῖς Ἰουδαίοις, τοῖς υἱοῖς τῆς ἀνομίας. καὶ ἰδοὺ ἑτέρα συναγωγὴ παραγενομένη ἔστη ἐνώπιον Αὐτοῦ καθ' ὃν τρόπον καὶ οἱ πρὸ αὐτῆς. καὶ ἦσαν τὰ ἐν αὐτῇ πλήθη ὑπὲρ τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ ὑπὲρ τὴν ψάμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. καὶ ἦν ἐν αὐτῇ σκοτία βαθυτάτη καὶ πώρωσις μεγάλη καρδιακή. καὶ τὰ πρόσωπα αὐτῶν ἐδόκουν ἀληλειμμένα εἶναι ὑπὸ ἐμπυώδοις αἵματος πεφυρμένου κόπρῳ κυνείᾳ. οἱ δὲ ὀφθαλμοὶ αὐτῶν λίαν ἐκτετύφλωντο, λύμης παχείας ἐπικειμένης αὐτοῖς καὶ αἱ ἀκοαὶ αὐτῶν βεβυσμέναι καὶ ἀσφάλτῳ κεχρισμέναι. κατέχοντες ἐπὶ χεῖρας κέρκους ἀλόγων, καὶ ταῖς ρισὶν αὐτῶν εἰς ὄσφρησιν ἀναψυχῆς προσάγοντες καὶ ἰδοὺ ὁρᾶτο ἡμῖν σταλάζον ἀπὸ τῶν ρυπαρῶν χειλέων αὐτῶν ὡς ἰχῶρος ἔμπυον ἀντὶ συέλου. καὶ αἱ γλῶσσαι αὐτῶν ἐκκρεμάμεναι καθαπερεὶ κυνῶν λυσσώντων. τοῦ δὲ στόματος αὐτῶν ἀνοιγνυμένου, ὡσεὶ καπνιζομένου θεάφου δυσωδίας ἄφατος ἐξήρχετο. καὶ οἱ πόδες μελανοὶ καὶ λίαν στρεβλοί, ὄνων δέρματα τετριμμένα ἀντὶ πεδίλων περικείμενοι. οἵτινες ἐν τοιαύτῃ αἰσχύνῃ καὶ ἀτιμίᾳ ἑαυτοὺς ἐνορῶντες, ἐδόκουν ξενίζεσθαι καὶ διεπρίοντο κατεσθίοντες τὰς σάρκας τῶν βραχιόνων αὐτῶν καὶ μᾶλλον καθορῶντες τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὡς Θεὸν καὶ Κριτὴν προκαθήμενον καὶ ἑκάστῳ ἀποδιδόντα κατὰ τὰ ἔργα αὐτοῦ. καὶ ἐδόκουν τοιαῦτά τινα πρὸς ἀλλήλους ὑποψιθυρίζειν καὶ λέγειν· „οὐαὶ ἡμῖν, ὅτι ὁ Ἄννας καὶ Καιάφας οἱ ἐπ' ὀλέθρῳ καὶ ἀπωλείᾳ τοῦ γένους ἡμῶν ἀρχιερατεύσαντες καὶ σὺν Ποντίῳ Πιλάτῳ τῷ κακῇ μοίρᾳ τῆς Ἰουδαίας ἡγεμονεύσαντι, ὡς πλάνον κρατήσαντες ἀνεσκολόπισαν ἐπὶ τοῦ ξύλου μετὰ τῶν κακούργων, οὗτος κάθηται νῦν Κριτὴς ζώντων καὶ νεκρῶν. φεῦ τῆς ἀπάτης καὶ τῆς πλάνης, ἣν ὑπέστημεν μὴ πιστεύσαντες εἰς Αὐτὸν, καὶ ἰδοὺ εἰς τὰς χεῖρας τοῦ Ἐσταυρωμένου ἐνεπέσαμεν, καὶ οὐκ ἔσται λοιπὸν ὁ ἐλεῶν ἡμᾶς ἢ ὁ ἐξαιρούμενος ἀλλὰ ποῦ ἐστιν νῦν ὁ Θεὸς τοῦ νόμου ὃν Μωσῆς ἡμῖν καθυπέδειξε καὶ λατρεύειν Αὐτῷ μόνῳ παραδέδωκε, καὶ ἕτερον Θεὸν πλὴν Αὐτοῦ μὴ εἰδέναι οὔτε ἐν τῷ οὐρανῷ ἄνω, οὔτε ἐν τῇ γῇ κάτω. καὶ ὁ ἐπὶ τοῦ ὄρους τοῦ Σινᾶ ἐν στύλῳ πυρὸς καὶ γνόφῳ καὶ θυέλλῃ λαλήσας τοῖς πατράσιν ἡμῶν·—ἄκουε, Ἰσραήλ, Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι, καὶ παρὲξ Αὐτοῦ οὐκ ἔστιν ἕτερος θεός που. καὶ ἰδοὺ νῦν ἕτερος. ποῦ νῦν εἰσὶν οἱ πατέρες ἡμῶν Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, ποῦ νῦν ὁ Μωϋσῆς; οὐκ ἄρα κἀκεῖνοι ὡς ἡμεῖς καὶ πᾶσα φύσις βροτῶν τῶν νεκρῶν ἠγέρθησαν καὶ τῷ καινῷ καὶ ἀγνώστῳ τούτῳ ἡμῖν Θεῷ καὶ Κριτῇ παραστήσονται, καὶ λόγον τῶν βεβιωμένων αὐτοῖς ἐπίσης πάσῃ τῇ ἀνθρωπότητι

ὑφέξουσιν; ἆρα μὴ ἠπατήθησαν ὥσπερ ἡμεῖς καὶ πάντες οἱ πρὸ νόμου πατέρες ἡμῶν καὶ ἐν νόμῳ καὶ οὐδεὶς ἐξ αὐτῶν ἔγνω τὴν ἀλήθειαν, ἆρα μὴ μῦθος ἦν πᾶσα ἡ κατ' αὐτῶν ἱστορία; καὶ ἡ ἐξ Αἰγύπτου μετὰ θαυμασίων φοβερῶν ἔξοδος αὐτῶν. ἀλλὰ καὶ ἡ τῆς ἐρυθρᾶς θαλάσσης ῥῆξις καὶ διάβασις καὶ ἡ ἐπὶ τοῦ ὄρους τοῦ Σινᾶ θεοπτία καὶ τὰ ἐν αὐτῇ φοβερὰ καὶ ἀνύποιστα τοῦ Θεοῦ δείγματα, καὶ αἱ πλάκες καὶ ἅπας ὁ νόμος, καὶ ἡ τῆς σκηνῆς κατασκευή, καὶ ἡ ἱερατεία, καὶ τὰ κατ' αὐτὴν πάντα εἰκῇ καὶ μάτην ἡμῖν παραδέδονται; οὐκ ἦν ἀληθινοῦ Θεοῦ ταῦτα πάντα, ὄντως τί εἰπεῖν ἢ πῶς ἐπαράσασθαι τῷ Μωσῇ οὐκ ἔχομεν, ἀλλ' ἐπεὶ ὡς ὁρῶμεν, οὗτος δίκαιος Κριτὴς πέφυκε, καὶ οὐδὲ πρόσωπον, οὐδὲ δῶρα λαμβάνει, δεῦτε καὶ δεηθῶμεν Αὐτοῦ, ὥστε κριθῆναι μετὰ τῶν παραδεδωκότων ἡμῖν τὴν διαθήκην καὶ τὸν νόμον τῶν πατέρων ἡμῶν. καὶ μάλιστα ὑπὲρ τοὺς ἄλλους ἅπαντας μετὰ τοῦ Μωσέως αὐτοῦ, ᾧτινι ἴσα καὶ Θεῷ ἐπιστεύσαμεν καὶ τὰ παραδεδομένα ἡμῖν δι' αὐτοῦ μαρτύρια καὶ νόμιμα ἀπαράβατα ἐφυλάξαμεν. καὶ ἐὰν οὕτως γένηται, ἓν ἐκ τῶν δύο τούτων πρόκειται γενέσθαι,—ἢ κἀκείνους σὺν ἡμῖν εἰς κόλασιν δικαίων ἐμβληθῆναι ὡς αἰτίους γενομένους ἡμῖν τῆς τοιαύτης ἀπωλείας, ἢ καὶ ἡμᾶς δι' ἐκείνους συγγνώμης τυχεῖν καὶ σωτηρίας τινός, τῷ ὄντι γὰρ ἀφ' οὗ τό τοῦ 'Εσταυρωμένου μυστήριον ἐν τῇ 'Ιουδαίᾳ ἀνηγέρθη, οὐκ εἶδεν ἄλλοτε ἀγαθόν τι τὸ γένος ἡμῶν, ἀλλ' ἐξ ἐκείνου τοῦ χρόνου πάντα τὰ δεινὰ ἐπλεόνασαν εἰς ἡμᾶς. καὶ οὐαὶ ἡμῖν, ὅτι καὶ ἐν τῇ προσκαίρῳ ἡμῶν ζωῇ πάμπολλα χαλεπὰ καὶ θλίψεις ἀπαρηγόρητοι συνεῖχον ἡμῖν. καὶ νῦν πάλιν ἐν τῇ ἀθανάτῳ ζωῇ ἐν ᾗ παραμυθίαν καὶ ἄνεσιν τῶν πολλῶν θλίψεων καὶ κακουχιῶν ἠλπίζομεν εὑρηέναι τινά, ὡς συνορῶμεν μείζονα κακὰ καὶ χείρονα τῶν προτέρων πολλῷ πλείω κατέλαβον ἡμᾶς, καὶ τί ποιήσωμεν, ἢ ποῦ κρυβησόμεθα ἀπὸ προσώπου τοῦ 'Εσταυρωμένου". καὶ ἔλεγον ἔτι πρὸς ἑαυτούς· „δεῦτε, ἀθροισθέντες ἅμα ἀλαλάξωμεν καὶ κράξωμεν πρὸς τὸν Θεὸν τοῦ νόμου, καὶ ἴσως ἔνθα ἂν καὶ ἐστί, παραγίνεται καὶ ῥύσεται ἡμᾶς". καὶ ἀντέλεγον ἕτεροι πρὸς αὐτούς· „οὐχὶ οὕτως, ἀλλὰ μᾶλλον αὐτῷ ἐκτενῶς ἱκετεύσωμεν μήπως ἴσως σπλαγχνισθεὶς ἐφ' ἡμᾶς συγγνώμης τινὸς διὰ τὴν ἄγνοιαν ἀξιώσῃ ἡμᾶς". καὶ ἄλλοι ἔλεγον· „ὄντως ὡς ἀσύγγνωστα καὶ ἀναπολόγητα εἰς Αὐτὸν πλημμελήσαντας ἡμᾶς, εἴπερ δίκαιός ἐστιν, ὡς φατέ, οὐκ ἔνι δίκαιον ἐλεῆσαι ἡμᾶς, εἰ καὶ πάντας ἄλλους ἁμαρτωλοὺς δι' οἰκείαν ἀγαθότητα ἐλεήσειε. ποῖον γὰρ εἶδος εὐεργεσιῶν ἐνέλιπεν ὅπερ οὐκ ἐνεδείξατο εἰς ἡμᾶς, οὐ μόνον δι' Ἑαυτόν, ἀλλὰ καὶ διὰ τῶν οἰκείων Αὐτοῦ μαθητῶν. καὶ ὥσπερ Αὐτὸς εὐεργετῶν καὶ μύριά θαύματα εἰς τὸ ἔθνος ἡμῶν ἅπαν ἐργασά-

μενος, πᾶσαν ὑπερέβαλεν ἀπὸ τοῦ αἰῶνος ἀγαθοσύνης ὑπερβολήν. οὕτως πάλιν ἡμεῖς οὐδὲ μίαν κακίας ἀσύγκριτον ὑπερβολὴν κατελίπομεν, ἣν εἰς Αὐτὸν οὐκ ἐνεδειξάμεθα, καὶ εἰς τοὺς ἐξ ἡμῶν πιστεύσαντας καὶ μαθητευθέντας Αὐτῷ, εἰ καὶ μηδὲν βλάψαι ἢ ἐμποδίσαι τῇ διδαχῇ Αὐτοῦ ἠδυνήθημεν, ἀλλὰ τὸ ἐναντίον ἅπαν ἐγένετο ὅσον γὰρ ἡμεῖς καὶ δι' ἑαυτῶν καὶ διὰ τῶν ἐν ὑπεροχαῖς ἀρχόντων καὶ βασιλέων ἐμαχόμεθα, καὶ ἐχθραίνοντες παντοιοτρόπως ἐπολεμοῦμεν Αὐτόν, τοσοῦτον μᾶλλον ἐκραταιοῦτο καὶ ηὔξανεν ἡ τῶν πολλῶν πίστις εἰς Αὐτόν, καὶ κατεκράτησε πάσης τῆς γῆς ἀπὸ περάτων ἕως περάτων, καὶ ἡμεῖς δὲ μόνον ἀξίως διὰ τὴν ἔπαρσιν καὶ τὴν ἀλαζονείαν καὶ τὸν φθόνον ἡμῶν, ὃν εἴχομεν ἐν ταῖς καρδίαις ἡμῶν κατ' Αὐτοῦ, ἀπερρίφημεν ἐξ Αὐτοῦ καὶ ἐστερήθημεν τῆς δι' Αὐτοῦ κηρυχθείσης αἰωνίου ζωῆς καὶ βασιλείας. ἐπεὶ ἐὰν μόνον ἠθελήσαμεν καὶ αὐτοὶ ἀποβλέψαι πρὸς τὴν ἀλήθειαν καὶ τὸ φῶς τῶν θαυμασίων Αὐτοῦ, καὶ ἀπορρίψαι ἀφ' ἡμῶν τὴν τοῦ φθόνου κακίαν, καὶ προσελθεῖν τῇ διδαχῇ Αὐτοῦ καὶ βαπτισθῆναι ὥσπερ δὴ καὶ ἄλλοι πολλοὶ ἐξ ἡμῶν ἐποίησαν, καὶ Παῦλος αὐτοῦ ὁ τοῦ Γαμαλιὴλ δοκιμώτατος μαθητής, προσεδέξατο ἂν ἀσμένως καὶ νῦν ἐν τῇ ἀθανάτῳ Αὐτοῦ βασιλείᾳ κατεσκήνωσε μετ' Αὐτοῦ. καὶ ἐν τῇ μεγαλουπόλει καὶ ὄντως νέᾳ Σιὼν τῇ ἄνω καλουμένῃ Ἱερουσαλήμ εἰσήγαγε μετὰ πάντων τῶν ἠγαπηκότων τὴν ἐπιφάνειαν Αὐτοῦ. νυνὶ δε διὰ τὴν μοχθηρίαν καὶ θηριωδίαν ἡμῶν δικαίᾳ ψήφῳ Θεοῦ ταῦτα πάντα τὰ δεινὰ κατέλαβεν ἡμᾶς καὶ οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ αἰωνίῳ τούτῳ καὶ πικροτάτῳ θανάτῳ ἡμῶν" τούτων οὕτως ὑπ' αὐτῶν λεγομένων, διένευσεν ὁ Κύριος τῷ ἐπ' Αὐτῷ τούτῳ τεταγμένῳ ἀρχιστρατήγῳ ἐν φωνῇ σάλπιγγος διαλεχθῆναι πρὸς αὐτοὺς καὶ φησίν· „οὐκ Ἐγώ εἰμι ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός, ὁ κλίνας τοὺς οὐρανοὺς καὶ καταβὰς ἐν τῇ κοιλίᾳ τῆς γεννησάσης Με, καὶ σάρκα ἐξ αὐτῆς δανεισάμενος, ἐπειδὴ γυμνῇ τῇ θεότητι Μου τοῦτο ὑμῖν ἦν ἀνύποιστον καὶ παντελῶς ἀδύνατον, ἐνανθρωπήσας ὡμίλησα ὑμῖν, καὶ ἐν ταῖς συναγωγαῖς ὑμῶν ἐδίδαξα παρρησίᾳ πᾶσαν τὴν ἀλήθειαν, καὶ ἔλεγον, ὅτι Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, καὶ ὅτι Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμέν. καὶ οὐ μόνον διὰ τοῦ οἰκείου λόγου ἐκήρυσσον ὑμῶν ἐν μέσῳ τὴν ἀλήθειαν, ἀλλὰ πολλῷ μᾶλλον διὰ τῶν ἔργων αὐτῶν. καὶ ἔλεγον ὑμῖν, ὅτι ἐὰν οὐ πιστεύητε Ἐμοί, κἂν τοῖς ἔργοις Μου πιστεύσατε. καὶ ἐδείκνυον ὑμῖν τὴν προσοῦσάν Μοι θεϊκὴν δύναμιν ἐπὶ τῶν ἔργων αὐτῶν, νεκροὺς λόγῳ ψιλῷ κελεύσματι ὡς ἐξ ὕπνου ἀνιστῶν, τυφλοὺς ὀμματῶν, χωλοὺς ἀνορθῶν, λεπροὺς καθαίρων, κυλοὺς καὶ παραλύτους ἅλεσθαι καὶ περιπατεῖν ἐργαζόμενος, καὶ ἁπλῶς πάντα ποιῶν ὅσα οἴδατε. ἀλλ' ὑμεῖς

οὐ μόνον οὐκ ἠθελήσατέ Μου τῆς διδαχῆς ἀκοῦσαι καὶ σωθῆναι καὶ εἰς αἰῶνας ζῆν καὶ βασιλεύειν ὅ̓ ὃ καὶ ἐλήλυθα, ἀλλὰ τοὐναντίον ἅπαν εἰργάσασθε. καὶ ἀντὶ τῶν ἀγαθῶν ὧν ἐποίησα ὑμῖν σταυρῷ Με τῷ ἱσταμένῳ νῦν πρὸ προσώπου ὑμῶν προσηλώσατε καὶ λόγχῃ ἐκεντήσατε. καὶ ἰδοὺ αἱ χεῖρές Μου καὶ οἱ πόδες, ἔχοντες ἔτι τὰς ὠτειλὰς καὶ τὰς τρήσεις τῶν ἥλων σὺν τῇ πλευρᾷ Μου, μαρτυροῦσι τὴν εἰς Ἐμὲ θηριωδίαν ὑμῶν καὶ τ᾽ ἄλλα πάντα, ἃ εἰς Ἐμὲ ἐνεδείξασθε, αὐτοὶ ἀκριβῶς οἴδατε. καὶ οὐδ᾽ οὕτως ἀπέδωκα ὑμῖν, ἀλλὰ ἔπεμψα ὑμῖν τοὺς ἐξ ὑμῶν μαθητευθέντας Μοι, καὶ οὗτοι ἐκάλουν ὑμᾶς εἰς μετάνοιαν καὶ τῆς ἀληθείας ἐπίγνωσιν καὶ διὰ λόγων καὶ διὰ τῶν ὁμοίως Ἐμοὶ ἐνεργουμένων καὶ ὑπ᾽ αὐτῶν σημείων καὶ τεράτων, ἀλλ᾽ ἠθελήσατε ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖν μᾶλλον καὶ τῷ πατρὶ ὑμῶν τῷ σατανᾷ πείθεσθαι ἢ τῷ σωτηρίῳ Λόγῳ καὶ τοῖς Αὐτοῦ διδασκάλοις καὶ κήρυξι. νῦν οὖν ἄκοντες θεάσασθε καὶ πιστεύσατε, ὅτι αὐτὸς Ἐγώ εἰμι καὶ οὐκ ἠλλοίωμαι ὁ ὑφ᾽ ὑμῶν μὲν ὡς πλάνος ἐξουδενωθείς, καὶ πάντα ἑκουσίως παθὼν καὶ θανάτου γευσάμενος. ὑπὸ δὲ πάντων τῶν πιστῶν ὡς Θεὸς δεχθεὶς καὶ προσκυνηθεὶς ἅμα τῷ Πατρί Μου καὶ τῷ ἁγίῳ Πνεύματι, καὶ νῦν αἰωνίαν ζωὴν καὶ βασιλείαν, καθὼς ἐπηγγειλάμην αὐτοῖς, δωρούμενος". καὶ ἐπειδὴ ἐπαύσατο ἡ θεία σάλπιγξ, ἦν ἰδεῖν ἐπ᾽ αὐτοὺς πάντας ὀδυρμὸν καὶ κοπετὸν μέγαν σφόδρα καὶ ὁ κωκυτὸς τοῦ κλαυθμοῦ αὐτῶν ὑπερήχει πάντα τὸν τόπον σχεδὸν τῆς κρίσεως. καὶ ἔλεγον τινὲς ἐξ αὐτῶν, „ὦ Μωσῆ, τί ἡμῖν, πεποίηκας; ποῦ νῦν ὑπάρχεις καὶ ἐν ποίοις διατελεῖς, ἐλθὲ, εἰ εὗρες παρρησίαν, ρυσόμενος ἡμᾶς". καὶ ἐδόκουν συναλγεῖν τῇ τοιαύτῃ ἀπείρῳ πληθύι καὶ αὐταὶ αἱ τῶν ἀγγέλων στρατιαὶ τοῖς θρήνοις καὶ ταῖς οἰμωγαῖς αὐτῶν κατακλώμεναι. ἡ δὲ θεία σάλπιγξ αὖθις φησὶ πρὸς αὐτούς· „οὐ διὰ τὰ εἰς Ἐμὲ εἰργασμένα ὑμῶν καὶ τὴν ἀπιστίαν ὑμῶν τοσοῦτον ἡ τοῦ πυρὸς γέεννα ἐξεκαύθη ὑμῖν, ὅσον διὰ τὴν λοιπὴν αἰσχροπραγίαν ὑμῶν ὑφ᾽ ἧς εἰς τέλος αὐτὴν ἐξεκαύσατε, ἵνα δὲ καὶ περὶ τῆς εἰς Ἐμὲ ἀπιστίας ἀναπολόγητοι εὑρεθῆτε καὶ ἐμφραγῶσι τὰ ἀπύλωτα ὑμῶν στόματα. ἰδοὺ καὶ Μωϋσῆς, ὃν εἰς ψυχρὰν προβάλλεσθε ἀπολογίαν, πρὸ προσώπου ὑμῶν ἕστηκε καὶ αὐτὸς ἐλέγξει ὑμᾶς. πληρωθήσεται γὰρ καὶ αὕτη ὑμῶν ἡ ἔφεσις"

καὶ ἅμα τῷ λόγῳ ὡρᾶτο ὁ θειότατος Μωσῆς ἐνδόξως τῆς ἁγίας πόλεως τῆς νέας Ἱερουσαλὴμ ἐξερχόμενος καὶ πρὸς αὐτοὺς ἐπὶ τῶν νεφελῶν ἐρχόμενος, καὶ ἐλθὼν ἔστη κατὰ πρόσωπον πάσης τῆς συναγωγῆς ὑπεράνω πάντων αὐτῶν δεδοξασμένος καὶ φαιδρῶς ἀπολάμπων. καὶ ἰδόντες αὐτὸν ἠλάλαξαν καὶ ἔκλαυσαν ἐνώπιον αὐτοῦ,

λέγοντες· „ὦ Κύριε Μωσῆ, οὐκ αὐτὸς δέδωκας ἡμῖν τὸν νόμον, ἐν ᾧ γέγραπται,—ἄκουε, Ἰσραήλ, Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι καὶ ἕτερος Θεὸς πλὴν Αὐτοῦ οὐκ ἔστι.—καὶ ἰδοὺ Θεὸς ἕτερος, μέγας καὶ ἰσχυρὸς Κριτὴς πάντων καὶ Θεὸς κατενώπιον ἡμῶν καθεζόμενος καὶ ἑκάστῳ ἀποδιδοὺς κατ' ἀξίαν τῶν ἔργων αὐτοῦ, ὃν εἰς ἡμᾶς ἐλθόντα ἐν σημείοις καὶ τέρασι μεγίστοις, καὶ περὶ τούτων πάντων ἐν πάσῃ τῇ Ἰουδαίᾳ καταμαρτυράμενον καὶ κηρύξαντα, καὶ ἡμεῖς τὸν ὑπὸ σοῦ δοθέντα νόμον ἡμῖν ἀπαράθραυστον κρατοῦντες καὶ διατηροῦντες, οὐ μόνον οὐκ ἐδεξάμεθα Αὐτὸν ἢ τὴν διδαχὴν Αὐτοῦ, ἀλλὰ καὶ ὡς ἀντίθεον Αὐτὸν ἐπὶ ξύλου προσηλώσαντες θανάτῳ παραδεδώκαμεν οἰκτρῷ, λέγε σαφῶς, τίς Οὗτος ἐστὶ καὶ πῶς οὐ προεδήλωσας ἡμῖν περὶ Τούτου ἐν τῷ νόμῳ, ὡς ἂν εἰδότες Αὐτὸν εἴχομεν ἂν καὶ αὐτοὶ δέξασθαι Αὐτόν καὶ πιστεῦσαι εἰς τὸ ὄνομα Αὐτοῦ. λέγε ἡμῖν, Κύριε καὶ δέσποτα ἡμῶν, περὶ Τούτου, τίς ἐστι, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ τῶν Αὐτοῦ χειρῶν. ἰδοὺ γὰρ ἀπώλοντο πάντες οἱ εἰς ἡμᾶς γεγενημένοι κόποι σου, καὶ τῇ παφλαζούσῃ θαλάσσῃ σύμπαντες ὑπ' Αὐτοῦ παραδιδόμεθα, καὶ οὐκ ἔσται τοῦ λοιποῦ ὁ ἡμᾶς ἐξαιρούμενος". καὶ ἀποκριθεὶς Μωϋσῆς ἐν φωνῇ φοβερᾷ ὁμοίᾳ σάλπιγγι ἔφη αὐτοῖς· „ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ, ὑμεῖς υἱοὶ οὐχὶ τοῦ Ἀβραάμ, ἀλλὰ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστέ, οὗ καὶ τὸ εἶδος τῆς μορφῆς ἐν τοῖς μέλεσιν ὑμῶν καθορᾶται νῦν οὐκ ἐγὼ ἐν τῷ νόμῳ ἔγραψα καὶ παρέδωκα ὑμῖν ταύτην τὴν περιοχὴν ῥητῶς οὑτωσὶ φράζουσαν, — Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ἡμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσει ἐν ὑμῖν. καὶ ἔσται πᾶσα ψυχή, ἥτις οὐκ εἰσακούσεται τοῦ Προφήτου ἐκείνου ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς.—τί οὖν ἄλλο τούτου καθαρώτερον ἢ σαφέστερον γράψαι ἢ παραδοῦναι ὑμῖν ἔδει; ἄλλως τε σὺν αὐτῇ καὶ τό,—οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μερῶν αὐτοῦ, ἕως οὗ ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν. καὶ αἱ ἄλλαι αἱ περὶ αὐτοῦ προφητεῖαι αἱ κατὰ πᾶν σάββατον ἀναγιγνωσκόμεναι ἐν ὑμῖν ἐν τίνι ἄλλῳ τὴν ἔκβασιν ἔσχον; ὄντως ἐματαιώθητε ἐν πάσαις ταῖς ὁδοῖς ὑμῶν καὶ τοῖς διαβουλίοις ὑμῶν, καὶ διὰ τοῦτο δικαίως ἐκρύβη ἀπὸ προσώπου ὑμῶν ἡ ἐφ' ὑμᾶς ἐλθοῦσα ἐπισκοπή. καὶ ὑμεῖς μὲν ἀξίως ὡς ἀνάξιοι ἐστερήθητε αὐτῆς, οἱ δὲ ἐξ ἐθνῶν κλητοὶ ἐκληρονόμησαν αὐτήν". καὶ ἀπεκρίθησαν αὖθις τὸ πλῆθος πρὸς αὐτόν, ὅτι πῶς εἴχομεν δυνατῶς πιστεῦσαι Αὐτῷ λέγοντι ἑαυτὸν Θεοῦ ὑπάρχειν καὶ ἴσον κατὰ πάντα τοῦ Θεοῦ καὶ Πατρός, σοῦ ἐν τῷ νόμῳ μὴ περὶ Θεοῦ τι δηλώσαντος, ἀλλὰ περὶ Προφήτου. καὶ φησὶ Μωϋσῆς αὖθις πρὸς αὐτούς· „Προφήτην εἶπον Αὐτὸν ὡς ἐμὲ

διὰ τὴν Αὐτοῦ ἐνανθρώπησιν, ἐπειδὴ τέλειος Θεὸς ὁ αὐτὸς καὶ τέλειος ἄνθρωπος, ἐν δυσὶ τελείαις ταῖς φύσεσιν, ἀσυγχύτως, ἀτρέπτως καὶ ἀναλλοιώτως κεχρημάτικε. τῆς δὲ θεότητος Αὐτοῦ μαρτυρίαν αὐτὰ τὰ ὑπ' Αὐτοῦ τελούμενα ἐξαίσια ἔργα, εἴπερ τὴν ἀλήθειαν συνιδεῖν ἠθελήσατε, εἴχετε ἂν ἡλίου δίκην ἐν κόσμῳ λάμποντα καὶ τοῖς πᾶσι δεικνύοντα Αὐτὸν, ὅτι Θεὸς ἐστίν; ἀλλ' ὁ φθόνος καὶ ἡ ἐνοικοῦσα ὑμῖν κακία καὶ πονηρία καὶ ἡ ἀλαζονεία οὐκ εἴασεν ὑμᾶς τὸ δέον συνιδεῖν καὶ ὑποδέξασθαι τὸν ἐλθόντα Σωτῆρα Κύριον ἐφ' ὑμᾶς, καὶ λοιπὸν ἐκδέξεται ὑμᾶς ἡ τοῦ αἰωνίου πυρὸς γέεννα". καὶ μετὰ τὸ συντελέσαι τοὺς λόγους τούτους, ὁ μὲν Μωσῆς καταλιπὼν αὐτοὺς ἀπέστη ἀπ' αὐτῶν καὶ ᾠχετο ὅθεν ἐλήλυθεν, αὐτοὶ δὲ ἐν κραυγῇ μεγάλῃ τὸν Θεὸν τοῦ νόμου ἐπεκαλοῦντο, καὶ ἔλεγον ἅμα ἰσχυρῶς κραυγάζοντες· „ὁ Θεὸς τῶν πατέρων ἡμῶν Ἀβραάμ, Ἰσαάκ καὶ Ἰακώβ, ὁ Θεὸς τοῦ νόμου, ἐλέησον καὶ σῶσον ἡμᾶς ἀπὸ τῆς χαλεπῆς καὶ δεινῆς ὥρας ταύτης, πλὴν γάρ Σου Θεὸν οὐκ οἴδαμεν

καὶ ἐγένετο ἐν τῷ ἰσχυρῶς κράζειν αὐτοὺς τοὺς λόγους τούτους, ἰδοὺ ἄφνω ἀστραπὴ φοβερὰ ἤστραψε καὶ ἐφηπλώθη ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς ἐκείνης, καὶ αὕτη οὐχ ὑπενόστει καὶ ἠφανίζετο ὡς ἔθος καὶ φύσις ταῖς λοιπαῖς ἀστραπαῖς, ἀλλὰ διέμεινε ξενοτρόπως καὶ καθωρᾶτο τηλαυγῶς. καὶ ἰδοὺ μετ' αὐτὴν ἑτέρα πάλιν ἔνδον αὐτῆς ἀστραπὴ λευκὴ ὑπὲρ χιόνα ἐφήπλωτο καὶ μέσον αὐτῆς αὖρα λεπτὴ ἀσύγκριτον ἔχουσα τὴν ἰδέαν καὶ τὴν πνοήν, καὶ αὗται ἄφνω παραγενόμεναι ἐπεσκίασαν τὸν Θεὸν Λόγον καὶ Κριτήν, τὸν Κύριον ἡμῶν γαληνομόρφως ἐπ' Αὐτὸν ἰοῦσαι, καὶ τούτῳ ἀφράστως ἐπαναπαυσάμεναι, ἐπεκάλυψαν Αὐτὸν τέλεον ὥστε μὴ ὁρᾶσθαι τέως ἡμῖν, καὶ ἤνεσαν Αὐτὸν ὡς Θεὸν καὶ Πατέρα τὸν νῦν ἤδη παραγενόμενον σὺν τῷ Μονογενεῖ Υἱῷ Αὐτοῦ καὶ Λόγῳ πᾶσαι αἱ παριστάμεναι οὐράνιαι δυνάμεις, καὶ ἦσαν ὑπότρομοι καὶ ἐν ἀγωνίᾳ καὶ φόβῳ πολλῷ συνεχόμεναι. γενομένης οὖν διαστολῆς ἐν τῇ συσχούσῃ φωτεινοτάτῃ ταύτῃ νεφέλῃ τὸν Κύριον κατέναντι τῆς ὄψεως τοῦ θείου προσώπου Αὐτοῦ, ἰδοὺ θρόνος ἕτερος παραπλήσιος τῷ τῆς κρίσεως καθωρᾶτο ἡμῖν, καὶ ἐπ' αὐτὸν ὡς παλαιὸς ἡμερῶν ὁ Θεὸς καὶ Πατὴρ ἐπαναπαυόμενος καὶ συνεδρεύων τῷ Μονογενεῖ Υἱῷ Αὐτοῦ καὶ Λόγῳ. καὶ ὡς ταῦτα ἐθεᾶτο[1] ἡ ἀναρίθμητος ἐκείνη συναγωγὴ ἐξεπλήσσετο σφόδρα, καὶ ὡς τὸ ὕδωρ ἐκλονεῖτο καὶ ἔτρεμε. καὶ ἰδοὺ φωνὴ ὡς ἠχούσης σάλπιγγος ἀπὸ τῆς ἐπαναπαυομένης θείας αὖρας ἐπάνωθεν αὐτοῦ λιγυρῶς ἐξηχεῖτο, λέγουσα πρὸς τὴν συναγωγὴν οὕτως· „τίνα

[1] ἐθεάσατο

ἐπικαλεῖσθε ὑμεῖς Θεὸν τοῦ νόμου ἕτερον, ὅς ἐστιν ὁ Αὐτὸς Μονογενής Μου Υἱὸς καὶ Λόγος, ἵνα τί Με ἔτι καὶ νῦν χωρίζειν βούλεσθε τοῦ ἀχωρίστως Μου συνυπάρχοντος Υἱοῦ; εἰ οὖν οὔπω καὶ νῦν τοῦτο ἀκριβῶς ἐμάθετε καὶ ἐδιδάχθητε, ἀλλὰ κἂν νῦν γνῶτε σαφῶς καὶ ἴδετε καὶ αἰσχύνθητε, ὅτι Ἐγὼ καὶ ὁ ἀγαπητός Μου Υἱὸς ἕν ἐσμεν. καὶ ὁ Τοῦτον μισήσας Ἐμὲ πρῶτον μεμίσηκεν. καὶ ὁ Τούτῳ ἀπιστῶν Ἐμοὶ ἀπιστεῖ. οὐκ Ἐγὼ προδεδήλωκα ὑμῖν διὰ τῶν προφητῶν Μου; —ποτὲ μὲν καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, ποτὲ δὲ ὀνατελεῖ ἄστρον ἐξ Ἰούδα καὶ αὐτὸς προσδοκία ἐθνῶν. καὶ ἀλλαχοῦ· προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεός. καὶ πάλιν· ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται Υἱὸν καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. οὐκοῦν ἐπεὶ μετὰ τοσαύτας μαρτυρίας οὐκ ἐδέξασθε Αὐτόν, οὐκ ἔστιν ὑμῖν μερὶς ἢ κλῆρος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν". καὶ εὐθέως τῆς θείας ταύτης φωνῆς σιωπησάσης, ἰδοὺ οἱ πύρινοι καὶ φρικτοὶ ἄγγελοι οἱ ἐπὶ τῶν κολάσεων, ὥσπερ ἀετοὶ ἀγεληδὸν καταπτάντες διήρπασαν τὴν τοιαύτην συναγωγὴν καὶ διέσπειραν ἐπὶ πάσης τῆς φοβερᾶς ἐκείνης θαλάσσης. καὶ οὗτοι πάντες ἐδίδουν θρῆνον καὶ ὀδυρμὸν μέγαν σφόδρα, ἀλλ' οὐκ ἦν αὐτοῖς ὄφελος, οὐδέ τις ἦν ὁ τούτοις ἐλεῶν καὶ ῥυόμενος.

ἐπεὶ δὲ συνετελέσθη καὶ ἐχωνεύθη πᾶσα ἡ τοιαύτη συναγωγὴ ἔνδον τῆς φοβερᾶς ἐκείνης καὶ παφλαζούσης θαλάσσης τοῦ πυρός, ὁ μὲν θρόνος καὶ ἡ ἑτοιμασία τοῦ Θεοῦ καὶ Πατρὸς ἦρθη, καὶ ἔνδον τοῦ θυσιαστηρίου τῆς μεγάλης πόλεως ὑπερανεστηκότες σὺν ἅμα αὐτῷ εἰσέδυσαν καὶ εἰς αὐτὸ κατέπαυσαν ὁ δέ γε Τούτου Μονογενὴς Υἱὸς καὶ Κριτής, ἔτι περὶ τὴν πύλην τῆς θαυμαστῆς ἐκείνης ἱστάμενος πόλεως, προσέθετο τοῖς ὑπολοίποις ἀνταποδοῦναι τῶν ἁμαρτωλῶν. καὶ προσήχθη Αὐτῷ ἑτέρα συναγωγὴ πονηρὰ καὶ παμβέβηλος ὑπὲρ πάσας τὰς προλαβούσας καὶ ἔστη κατέναντι τοῦ προσώπου Αὐτοῦ, φέρουσα ἐπὶ τοῦ μετώπου αὐτῶν πάντων μῖσος χαλεπόν, καὶ οἱ ὀφθαλμοὶ αὐτῶν πλήρες γνόφου καὶ σκότους, καὶ τὰ ὦτα αὐτῶν ἀκοὴν ἔχοντα πονηράν, καὶ ἡ ὄσφρησις αὐτῶν τῆς ὀσμῆς τοῦ θανάτου ἀνάπλεως, καὶ ἐπὶ τοῦ μετώπου αὐτῶν ἐπιγραφὴ διεφιλιακῶν (sic) γραμμάτων ἦν δηλοῦσα σατᾶν. καὶ ἐν τῇ δεξιᾷ αὐτῶν χειρὶ ταῦλα, ἔχουσα ἐπιγραφήν—ἡ ἄρνησις. καὶ ἐν τοῖς ποσὶν αὐτῶν ἰὸς πονηρίας περικεχύμενος· καὶ ἐν τῇ καρδίᾳ αὐτῶν χολέρα ἀψινθίου. τοῖς δὲ στόμασιν αὐτῶν [1]—ἦν παραπικρασμός. ἡ δὲ περιβολὴ αὐτῶν—[1] δυσειδὴς ὑπῆρχε σφόδρα οἱονεὶ δέρματα μυιῶν ἐν ταυτῷ συναφθέντα

[1–1] нѣтъ.

καὶ συρραφέντα. καὶ ἐν τῷ ἐπιβλέψαι ἐπὶ τὴν συναγωγὴν ταύτην τὸν Κύριον, θυμὸς Αὐτοῦ ἔσχατος ἐξεκαύθη ἐπ' αὐτήν, καὶ παρεκελεύσατο τῷ ἀρχιστρατήγῳ διὰ τῆς σάλπιγγος ὁμιλῆσαι καὶ ὀνειδῖσαι αὐτούς. καὶ φησὶν ὁ ἀρχιστράτηγος πρὸς αὐτούς „ὦ κατάρατοι καὶ παμβέβηλοι, οἱ κακῶς ἀπολλύμενοι, ἵνα τί Ἐμὲ τὴν πηγὴν τῶν ἀγαθῶν καὶ Σωτῆρα, ἐγκαταλιπόντες τὸ θεῖον βάπτισμα ἠρνήσασθε καὶ ἐξεδύθητε, τῷ δὲ ἀντιχρίστῳ σατᾶν προσήλθετε καὶ αὐτῷ συνετάξασθε τῷ πονηρῷ καὶ διψῶντι τὴν ὑμῶν ἀπώλειαν. τί ἀγαθὸν ὅλως ἐκ τούτου προσεδοκήσατε ἰδεῖν τοῦ φθορέως καὶ λυμεῶνος τῶν ψυχῶν ὑμῶν; ἢ τί ἄλλο πλὴν γεέννης καὶ ἀκοιμήτου σκώληκος καὶ βρυγμοῦ ὀδόντων τῶν ἐκείνῳ ἀποκειμένων καὶ πᾶσι τοῖς πεισθεῖσι καὶ ἀκολουθήσασιν αὐτῷ ἐν τῇ προσκαίρῳ ζωῇ. καὶ γὰρ οὐ μὴ οἰκτειρήσω πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. καὶ μηδὲν κἂν ἐν τῷ τέλει μετανοῆσαι προειρημένους, ἀλλὰ πάντες ἅμα ἐ εἴνῳ τῇ αἰωνίῳ κολάσει παραπέμψω ὥσπερ δὴ καὶ ὑμᾶς". καὶ εὐθέως ἀπεφήνατο καὶ κατ' αὐτῶν εἰπών „τοὺς Ἐμὲ μὲν ἀρνησαμένους, τῷ δὲ πονηρῷ καὶ παμβεβήλῳ σατᾶν προσελθόντας καὶ ὡς Θεῷ ἀληθινῷ πιστεύσαντας, ἄρατε ἀποτόμως ἐντεῦθεν, καὶ ἐκεῖ τούτους κατακληρώσασθε, ὅπου καὶ ὁ τούτοις θεὸς νομισθεὶς καὶ τιμηθεὶς σατᾶν, σὺν τοῖς πονηροῖς ἀγγέλοις αὐτοῦ τοῖς δαίμοσι καταδεδίκασται, ὡς ἂν τοὺς πόνους τῶν καρπῶν αὐτῶν ἀξίως ἔδωνται καὶ ἦν ἰδεῖν τοὺς ἐπὶ τῶν κολάσεων πικροὺς καὶ φοβεροὺς πυρίνους ἀγγέλους, δίκην ἀετῶν ἐπ' αὐτοὺς ἐρχομένους, καὶ τοὺς μὲν τῶν τριχῶν τῆς κεφαλῆς ἐπαίροντας καὶ βίᾳ ἕλκοντας, τοὺς δὲ καὶ μετὰ πυρίνων σιδηρῶν ροπάλων, τούτους ἰσχυρῶς τύπτοντας καὶ κατακρημνίζοντας εἰς τὴν καταποντιστικὴν ἄβυσσον καὶ **τὸν τάρταρον**, ὅπου αὐτὸς ἐκεῖνος ὁ σατανᾶς καὶ αἱ ὑπ' αὐτῶν **δυνάμεις πικροῖς πρηστῆρσι καὶ σκώληξι σιδηροῖς, φοβεροῖς, ἀθανάτοις αἰωνίως τιμωρεῖσθαι κατεδικάσθησαν**. καὶ ἐθεώρουν αὐτοὺς ἐγὼ ὅπως ἀποτόμως οἱ ἐλεεινοὶ κατεκρημνίζοντο κατὰ τῆς κεφαλῆς καὶ οἱ βοαὶ αὐτῶν ἰσχυρῶς ἀνέβαινον [1].

καὶ προσέσχον ἐν τῇ τοιαύτῃ ὀπῇ τοῦ ἀβυσσιαίου κρημνοῦ καὶ ἠκροώμην τῶν στεναγμῶν καὶ τῶν ὀδυρμῶν τῶν μετὰ τοῦ σατανᾶ τιμωρουμένων, καὶ ἀνέβαινεν εἰς τὰ ὠτά μου ἑνός τινος ὀδυνωμένου κραυγὴ ὑπὲρ τὰς τῶν ἄλλων πάντων ὑπερηχοῦσα. καὶ διηρθρωμένως τοῖς ὠσί μου προσβάλλουσα, ὅθεν καὶ ἠκροώμην ἀσπασίως αὐτῆς φραζούσης ἐπὶ λέξεων οὑτωσί· „οὐαὶ, οὐαὶ, ἐσταυρωμένε κρυπτὲ Θεὲ καὶ ἄνθρωπε τὸ συναμφότερον, πλεῖστοι εἰς Σὲ ἠπατήθησαν καὶ διὰ

[1] далѣе заглавіе Διοκλητιανὸς ὁ τύραννος

τὰ παθήματά Σου ἠγνόησαν καὶ ἠρνήσαντό Σε ὡς κἀγὼ δι' οἰκείαν ἀφροσύνην καὶ δικαίως· ἐν γὰρ τῷ ματαίῳ βίῳ καὶ τῇ προσκαίρῳ μου ζωῇ οὐδὲ ἤθελον ἀκοῦσαι περὶ τοῦ ὀνόματός Σου". καὶ πάλιν μεταβαλλόμενος ἔλεγε· „ναί, Δέσποτα ὕψιστε, Σὺ μόνος Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. ἀμήν. κακῶς καὶ ἄκων [1]. κἂν ἄρτι ὁ ἐχθρός Σου καὶ πικρὸς διώκτης ἐγὼ Κύριον καὶ Θεὸν καθομολογῶ Σε οὐαὶ τῷ μὴ ἀγαπήσαντί Σε. οὐαὶ τῷ τὴν φοβεράν Σου συγκατάβασιν ἀγνοήσαντι. οὐαὶ τῷ μὴ Θεὸν ἀληθινὸν Σε γνωρίσαντι [2—καὶ ὁλοτρόπως ἀγαπήσαντι—2] καὶ ὡς Κριτὴν ζώντων καὶ νεκρῶν μὴ προσκυνήσαντι. οὐαὶ τῷ τὴν ἔνσαρκόν Σου οἰκονομίαν μὴ δεξαμένῳ καὶ τῷ μὴ εἰς τὸ ἅγιόν Σου ὄνομα βαπτισθέντι. οὐαὶ ᾧτινι τὰ Σὰ μυστήρια ἔλαθον. οὐαὶ τῷ τὴν Σὴν καὶ μόνην βασιλείαν μὴ ἀγαπήσαντι καὶ πάντα τὰ γήϊνα ὡς καπνὸν καὶ ἴστὸν ἀράχνης λογισαμένῳ. οὐαὶ καὶ πολλάκις τὸ αὐτό, πρῶτον ἐμοὶ τῷ θεομάχῳ καὶ πᾶσι τοῖς ὁμοίοις ἐμοὶ κατὰ Χριστοῦ τοῦ ἀληθινοῦ ἐκμανεῖσι καὶ τῶν αὐτοῦ γνησίων δούλων, εἶτα καὶ πᾶσιν ἁπαξαπλῶς. οὐαὶ τοῖς ἐπεγνωκόσι μὲν καὶ πιστεύσασιν εἰς Αὐτόν, μὴ φυλάξασι δὲ τὰς ἐντολὰς Αὐτοῦ καὶ τὰ δικαιώματα καὶ διὰ μετανοίας μὴ θελήσασιν ἐξομολογήσασθαι καὶ ἱλεώσασθαι Αὐτὸν πρὸ θανῆς". καὶ πάλιν ἀπὸ βάθους καρδίας στενάζων καὶ μυκώμενος ὡσεὶ δέκα βοῶν ὁμόφωνον βοῇ ἔλεγεν· „οὐαί, ὅτι κατεκαύθην, ἄλλο οὐχ ὑποφέρω. οὐαί μοι, ὅτι ἐμπεπύρισμαι, μυριάδες πρηστήρων καὶ σκηπτῶν κατεσθίουσί μου καὶ κατατήκουσι πάντα τὰ μέλη. ὦ εὐεργέτα θάνατε, ποῦ ἦσθα νῦν, ἵνα μετελθὼν τῶν τηλικούτων καὶ τοσούτων ὀδύνων ἀπήλλαξας". ὄντως οἴχῃ νῦν ἐξ ἀνθρώπων καὶ ὅλως καὶ τῶν δεινῶν λύσις τοῦ λοιποῦ οὐκ ἔσται. καὶ πάλιν τετρυγὼς τοὺς ὀδόντας καὶ ἀπὸ βάθους καρδίας ἀναβρασσόμενος ἔλεγε· „τίς ἠπίστατο, ὅτι οὕτως πάντως ἔσται ὡς καὶ νῦν ὁρῶμεν τὰ πράγματα φεῦ. φεῦ ἀνάγκαι ὑπὲρ πάσας ἀνάγκας. ὀδύναι δριμεῖαι καὶ βαρεῖαι ὑπὲρ πᾶσας ὀδύνας". καὶ ἕτερα πλεῖστα τοιουτότροπα ἔλεγεν ὥσπερ τις μαινόμενος καὶ ἐσθίων τὰς σάρκας αὐτοῦ, ἀλλ' οὐκ ἦν ὁ οἰκτείρων καὶ ἐλεῶν αὐτοῦ.

ἐπεὶ δὲ τῶν τοιούτων ὀδυρμῶν καὶ κωκυτῶν ἀρκούντως ἐπλήσθησαν αἱ τῆς ψυχῆς ἡμῶν νοεραὶ ἀκοαὶ καὶ αἰσθήσεις, τούτων μὲν τῆς ἠχῆς ἀπέστημεν. πρὸς δὲ τὸν Κύριον ἡμῶν τὸν δίκαιον Κριτὴν ἔτι πρὸς τῇ ὡραίᾳ πύλῃ τῆς νέας Ἱερουσαλὴμ καὶ φοβερῶς ἱστάμενον καὶ κατ' ἀξίαν ἑκάστῳ ἀποδιδόντα τῶν ἁμαρτωλῶν ἐν τῷ οἰκείῳ τάγματι κατὰ τὰς πράξεις καὶ κατὰ τὰ διαβούλια αὐτοῦ, τὴν αἰσθητι-

[1] ἀκουσίως.

[2—2] нѣтъ.

κὴν τοῦ νοὸς ἡμῶν ὅρασιν ἠπορήσαμεν καὶ κατανοοῦντες ὁρῶμεν ὡς συνετελέσθη πᾶσα ἡ τῶν ἁμαρτωλῶν[1], καὶ ἰδοὺ ἐξέλιπον οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου πάσης τῆς γῆς, οὐχ ηὑρίσκετο ὁ τόπος αὐτῶν, διότι ἠφόρισε Κύριος ὁ Θεὸς εἰς τοὺς ἡτοιμασμένους τόπους καὶ τὰς κολάσεως αὐτοῖς καθὰ καὶ προεπηγγείλατο αὐτοῖς ἔτι οὖσιν ἐν τῷ τῆς μετανοίας καιρῷ.

καὶ ἠκούομεν ὑμνῳδίας ἀγγελικῆς καὶ θεοπρεποῦς ᾀδομένης ὑπὸ τῶν παρισταμένων θείων δυνάμεων τῷ ἀστέκτῳ θρόνῳ τῆς κρίσεως. καὶ ᾖδον οὐχὶ πάντες οἱ ἄγγελοι ἅμα, ἀλλὰ τάγματα ταγμάτων κατ' ἀξίαν ἕκαστον. τούτων τοίνυν ᾀδόντων ἐνηχεῖτο ταῖς ἀκοαῖς ἡμῶν ἡδονή τις χαρᾷ καὶ φόβῳ σύμμικτον ἀπὸ τοῦ γλαφυροῦ καὶ ἐξαισίου μέλους ταῖς ψυχαῖς ἡμῶν ἐγγινομένη. καὶ ἐδονεῖτο τὰ πέρατα τῆς καινῆς ἐκείνης καὶ θεσπεσίας κτίσεως. πρὸς δὲ τούτους ᾖσε καὶ τὸ Πνεῦμα Κυρίου τὸ ἐπὶ πάσης τῆς κτίσεως ἑστὼς αἶνον ἀποδεδωκὼς τῷ Μονογενεῖ καὶ Συμφυεῖ Υἱῷ καὶ Λόγῳ τοῦ Θεοῦ καὶ Πατρός, τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ.

καὶ τῆς ὑμνῳδίας ταύτης ληξάσης, ἕτερον μέλος ἠκούετο ἡμῖν ἐξηχούμενον ἔνδον τῆς ἁγίας πόλεως ᾀδόντων κἀκεῖσε καὶ αἶνον εὐχαριστίας ἀναπεμπόντων τῷ Κυρίῳ πάντων τῶν καταπαυσάντων ἁγίων. καὶ μετὰ τὸ παύσασθαι αὐτούς, κλείσας ὁ Κύριος τὰς πύλας τῆς θαυμαστῆς ἐκείνης καὶ ἁγίας πόλεως, εἰσῆλθε καὶ κατέπαυσε καὶ Αὐτὸς ἔνδοθεν τοῦ θαυμαστοῦ τοῦ ναοῦ τοῦ ὄντος ἐν μέσῳ αὐτῆς, ἐν τῷ θρόνῳ καθεσθεὶς τῆς ἁγίας δόξης Αὐτοῦ. καὶ προσέταξεν ἐνεχθῆναι κατὰ πρόσωπον Αὐτοῦ πάσας τὰς πνευματικὰς νοητάς τε καὶ οὐρανίους στολὰς ἐξ ἀσυγκρίτων καὶ ἀνεκδιηγήτων φρικτῶν νοητῶν διαυγειῶν, ἰσχὺϊ τῆς δυνάμεως Κυρίου δεδημιουργημένας καὶ ἐξυφασμένας. καὶ δὴ προσήνεγκαν Αὐτῷ ταύτας ἐν τιμῇ καὶ δόξῃ ἀρχάγγελοι θεῖοι ἐπικομιζόμενοι, οὗσας τῷ τε κάλλει καὶ τῷ ἀριθμῷ ἀφράστους καὶ βροτείᾳ γλώσσῃ ἀνεκδιηγήτους καινῷ ὑλικῷ ἀκαταλήπτους. καὶ ἐτέθησαν πᾶσαι ἔμπροσθεν τῆς θείας δόξης Αὐτοῦ. καὶ νεύματι θείῳ καλούμενοι πάντες οἱ ἅγιοι εἰσήρχοντο πρὸς Αὐτὸν κατὰ τάξιν ἕκαστος.

ἐν πρώτοις οὖν εἰσῆει πρὸς τὸν Κύριον ἡ τῆς Αὐτοῦ ἁγίας ἐνανθρωπήσεως Μήτηρ καὶ σκηνὴ τῆς θείας Αὐτοῦ φύσεως χρηματίσασα καὶ εὐθὺς ἐξενεγκὼν ὃν ἀπὸ τῆς ἁγίας Αὐτοῦ κορυφῆς ἐφόρει στέφανον φρικτόν, τέθηκεν ἐπὶ τὴν ἁγίαν αὐτῆς κεφαλήν, ἐπειπὼν αὐτῇ· „δεῖξαι, ὦ Μῆτέρ Μου, ταύτην τὴν ταινίαν καὶ δόξαν, ἣν ὁ Πατήρ Μου ἐχαρίσατό Μοι τρόπαιον τῆς κατὰ τοῦ διαβόλου καὶ

[1] доб. ὁμήγυρος.

τοῦ θανάτου νίκης, ἣν εἰργασάμην διὰ τῆς ἐκ σοῦ δανεισθείσης σαρκός Μου". ἔτι δέδωκεν αὐτῇ τὴν πρώτην στολήν, ἥτις ἦν φρικτὴ καὶ θεία ἐκ βύσσου καὶ πορφύρας βασιλικῆς νοητῆς ἐπουρανίου, ἣν Αὐτὸς ἐνεδιδύσκετο ὡς φορῶν τὴν σάρκα, ἣν ἐξ αὐτῆς προσελάβετο. ἔτι ἐδόθη αὐτῇ ἑτέρα στολὴ φοβερὰ καὶ ἀπόρρητος ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος κατασκευασθεῖσα, περὶ ἧς ἐλαλήθη θαυμαστὰ καὶ παράδοξα ἐν ταῖς ἐπουρανίαις καὶ ἁγίαις δυνάμεσιν. ἔτι ἐδόθησαν αὐτῇ στολαὶ ἕτεραι μυριοπλασίως φρικταί, νοηταὶ θεῖαι φοβεραί, μυριοβαφεῖς, ροδοειδεῖς, χιονοφεγγεῖς, λευκαί, ἐρυθραί, κυαναῖ ἐκ χροιῶν ἁπασῶν καὶ εἰκασίᾳ ὑλικῆς ποιότητος ἐντίμου ἀνείκαστοι καὶ ἀνεκδιήγητοι, ἅσπερ ὑπεδέξατο ἐν ταῖς ἀκηράτοις αὐταῖς καὶ θείαις αἰωνίαις μοναῖς καὶ τιμήσας αὐτὴν ὡς Μητέρα ὑπανέστη προσιούσῃ καὶ ἀνέπαυσεν ἐν τῷ πλησίον Αὐτοῦ ἑστῶτι θείῳ καὶ πυριμόρφῳ θρόνῳ τῆς δόξης Αὐτοῦ, μεγαλύνας αὐτὴν καὶ ἐπαινέσας ἐπὶ πάντων τῶν ἀπ' αἰῶνος ἁγίων τῆς τε ψυχικῆς καθαρότητος καὶ σωματικῆς, δι' ἣν καὶ ἠξιώθη τῆς Αὐτοῦ ὑποδοχῆς καὶ τῆς ἐν τοῖς δεινοῖς αὐτῆς μεγαλοψυχίας καὶ μεγίστης ὑπομονῆς. καὶ πλέον πάντων τοῖς τῶν θερμῶν αὐτῆς καὶ ἀεννάως χεομένων ὑπὲρ τῆς σῆς εἶχε τελείας ἀγάπης δακρύων χύσεων καὶ τῶν ἐκτενῶν προσευχῶν, ὑπέρ τε τῶν Ἰουδαίων εὐχομένη καὶ πάντων τῶν πιστῶν καὶ ἰδοὺ Αὐτὸς κατενώπιον αὐτῆς ἀνέῳξε τοὺς ἀθανάτους θησαυροὺς πάντων τῶν ἀιδίων ἀγαθῶν καὶ ἀθανάτων, τῶν τε ἐπιγείων καὶ τῶν ἐπουρανίων καὶ κατέστησεν αὐτὴν Κυρίαν καὶ Δέσποιναν πασῶν τῶν ἐπουρανίων καὶ ἁγίων δυνάμεων καὶ πάντων τῶν ἁγίων. καὶ ὕμνησαν οἱ ἄγγελοι καὶ πάντες οἱ ἅγιοι ἐν ἀγαλλιάσει ψυχῆς μεγαλύνοντες.

ἔτι προσέθετο Κύριος ἀπονεῖμαι δῶρα καὶ γέρα τοῖς γνησίοις δούλοις καὶ φίλοις Αὐτοῦ. καὶ ἰδοὺ παρεγένοντο πρὸς Αὐτὸν οἱ ἅγιοι δώδεκα ἀπόστολοι. καὶ ἐδόθησαν καὶ αὐτοῖς στολαὶ βασιλικαὶ θεοπρεπεῖς μυριόμορφοι νοηταὶ ἐν τῇ καλλονῇ καὶ ποιότητι αὐτῶν, ἀνθρωπίνῃ γλωσσῃ ἀνείκαστοι καὶ ἀνεκδιήγητοι. πρὸς δὲ καὶ θρόνοι δώδεκα θαυμαστοὶ ὑπὲρ λίαν, καὶ τῆς ἐν τοῖς βασιλείοις τῆς γῆς ἀνείκαστοι καὶ ἀπαράμιλλοι, ἀπό τε γὰρ λίθου τοπαζίου, σμαράγδου καὶ λυχνίτου καὶ μαργάρων παμμεγίστων ἐντίμων καὶ ἐκ καθαροῦ χρυσίου δοκιμώτατοι ὁρῶντο κατεσκευασμένοι θείκης σοφίας τεχνουργίᾳ. ἔτι ἐξενεγκὼν ὁ Κύριος ἀφ' ἑνὸς τῶν θείων καὶ νοητῶν Αὐτοῦ θησαυροφυλακείων στεφάνους φρικωδεστάτους, οἵτινες ἦσαν ἀπὸ θεικῶν τινῶν διαυγειῶν καὶ ξένων ἀπαυγασμάτων θείῳ Πνεύματι κατηρτισμένοι καὶ συντεθειμένοι, ὧν ἡ φρικτὴ καὶ παράδοξος θέα οὐ μόνον ἡμᾶς ἐξέπληξε καὶ παντελῶς ἐξεστηκέναι πεποίηκεν, ἀλλὰ καὶ πάντας

ἁγίους, ἐπειδὴ ἦσαν τῇ ἀστραπῇ τῶν ἰδίων χαρίτων νικῶντες καὶ ὑπερλάμποντες καὶ αὐτῆς τῆς τοῦ φθαρτοῦ ἐκείνου ἡλίου λαμπρότητος καὶ φωτοειδοῦς φαιδρότητος. τῆς δὲ καλλονῆς καὶ ὡραιότητος αὐτῶν οὐκ ἦν τοῖς ὁρῶσι κόρος, οὐδὲ νοῦς εἰς τὸ καταλαβέσθαι καὶ γραφῇ παραδοῦναι βροτοῖς ἱκανή. τούτους λαβὼν ἐπέθηκεν ἐπὶ τὰς κεφαλὰς αὐτῶν καὶ κατέστεψεν αὐτοὺς ὡς βασιλεῖς. καὶ ἐκάθισεν αὐτοὺς ἐπὶ τῶν θαυμαστῶν ἐκείνων δώδεκα θρόνων δόξῃ καὶ τιμῇ [1]θεϊκῇ[1] ἐστεφανωμένους, κριτὰς ἀποφήνας τῶν δώδεκα ἰσραηλιτικῶν φυλῶν. εἶτι προκριτοτέρους οἷα βασιλεῖς καὶ δεσπότας ἀποδείξας πάντων τῶν σεσωσμένων ἀπὸ τῶν τοιούτων δώδεκα φυλῶν, ὥστε τιμᾶσθαι αὐτοὺς παρὰ πάντων καὶ ὑπὲρ πάντας. τοῦτο γάρ ἐστι τὸ ἐπὶ δώδεκα θρόνων καθεσθῆναι καὶ κρίνειν, ἤτοι τὸ ἐν ὑπεροχῇ ἐξηρημένῃ καὶ δόξῃ καὶ ἀπολαύσει τῶν αἰωνίων ἀγαθῶν αὐτοὺς εὑρεθῆναι ὑπὲρ ἅπαντας τοὺς ἀπὸ ἰσραηλιτικοῦ γένους εὐαρεστήσαντας τῷ Κυρίῳ καὶ ὥσπερ βασιλεῖς αὐτῶν καὶ δεσπότας χρηματίσαι.

πρὸς τούτους ἔτι κέκληκεν ὁ Κύριος τοὺς ἑβδομήκοντα μαθητὰς Αὐτοῦ καὶ διένειμεν αὐτοῖς ἀναλόγως τὰς πλουσιοδώρους καὶ ἀθανάτους Αὐτοῦ δωρεάς, χαρισάμενος καὶ αὐτοῖς στεφάνους φρικτοὺς καὶ διαυγεῖς ἀμαραντίνους καὶ χλαίνας θεουργοὺς νοητὰς καὶ πνευματικάς, καὶ εἰς διήγησιν ἀνεκλαλήτους προσθείς

ἔτι ἀνέψξεν ὁ Κύριος αὖθις κατὰ πρόσωπον πάντων τῶν ἁγίων Αὐτοῦ πάντας τοὺς πνευματικὰς θησαυροὺς Αὐτοῦ τοὺς κεκτημένους τὰ ἀπόρρητα καὶ ἀνεκλάλητα ἐκεῖνα ἀγαθά, ἃ οὔτε ὀφθαλμοὶ φθαρτοῦ καὶ θνητοῦ ἀνθρώπου εἶδον, οὔτε μὴν ἐπὶ καρδίαν τούτου ἀνέβη ποτέ, ἃ προητοίμασε τοῖς ἠγαπηκόσιν Αὐτὸν καὶ τηρήσασι τὰς ἐντολὰς τὰς θείας Αὐτοῦ καὶ τὰ ἐν νόμῳ δικαιώματα Αὐτοῦ, καὶ ἐκένωσε πάντας αὐτοὺς εἰς δόξαν, εἰς τιμήν, εἰς σωφροσύνην καὶ πνευματικὴν ἀγαλλίασιν πάντων τῶν ἀπ᾽ αἰῶνος ἁγίων Αὐτοῦ. τὸ δὲ μέγιστον πάντων τῶν αἰωνίων ἀγαθῶν καὶ κεφαλαιωδέστερον αὕτη ἡ κατάληψις καὶ θεωρία ἀναλόγως τοῖς ἀξίοις γενομένη τῆς ἁγίας καὶ ζωαρχικῆς τριαδικῆς Τριάδος ὑπῆρχε τοῖς ἐκεῖ ἀϊδίως σὺν αὐτῆς συνοῦσα καὶ θεοῦσα καὶ τῆς ἐφέσεως καὶ γλυκύτητος αὐτῆς τούτοις ἀναλόγως μεταδιδοῦσα. τούτων οὕτως ἐνηδόνως καὶ ἀκορέστως ὑφ᾽ ἡμῶν ὁρωμένων κατὰ τὴν ἐλέει καὶ οἰκτιρμοῖς Θεοῦ δοθεῖσαν ἡμῖν θεωρίαν καὶ ἀκριβῆ τούτων πάντων κατάληψιν καὶ κατανόησιν. ἔτι προσέσχομεν καὶ ὡρᾶτο ἡμῖν πρὸ προσώπου τοῦ φρικωδεστάτου καὶ πανσέπτου ἐκείνου καὶ ὑπερουρανίου θείου ναοῦ μέγα τι καὶ θεοπρε-

[1]–[1] нѣтъ.

πέστατον προαύλιον περιφανὲς καὶ λίαν δεδοξασμένον ὁ γὰρ πάτος αὐτοῦ χρυσέοις ἄβαξι μεγίστοις καὶ πυρευροίζοις ἐκεκόσμητο καὶ πεπάτωτο καὶ αἴγλῃ τῆς πυρσοῦ γαληνομόρφου ἐκεῖθεν ἐξεπορεύετο. καὶ ἰδοὺ ὁρῶμεν ἐπ' αὐτῷ περιτρέχοντας καὶ διακόνων χρείαν ἀποπληροῦντας νεανίσκους τινὰς ὡραιοποικιλομόρφους τὸν ναὸν ἑτοιμάζοντας. ἡ δὲ ἑτοιμασία ξένη τις ἦν καὶ γλώσσῃ βροτείῳ ἀνεκδιήγητος.

καὶ ἰδοὺ μετὰ τὸ εἰσελθεῖν αὐτοὺς ἔνδον τοῦ ναοῦ, ἕτεροί τινες νεανίσκοι χρυσοξανθόκομοι, εὐμεγέθεις, φρικτοπρόσωποι, παραπλήσιοι τῷ μήκει ταῖς ὑψικόμοις κυπαρίσσαις, καὶ αὐτοὶ πῦρ ὑποδεδεμένοι τοῖς ὡραίοις ποσὶν αὐτῶν. τὸ δὲ τοιοῦτον πῦρ οὐχ ὡς τὸ φθαρτὸν τοῦτο καὶ ὑλότροφον τὸ παρ' ἡμῖν, ἀλλ' οἷον ἐξάνθισμα πυραμικῆς αἴγλης συντρέχοντες ἐφαίνοντο καὶ τὸ θυσιαστήριον τοῦ ναοῦ εὐτρεπίζοντες. τοσοῦτον δέ μοι ὁ ναὸς εὖρος καὶ μῆκος ἐδόκει ἔχειν, ὡς διάστημα τρισχιλίων σταδίων καὶ τούτων πορρωτέρω. περὶ δὲ τοῦ κάλλους καὶ τῆς κατασκευῆς αὐτοῦ καὶ τῆς ὡραιότητος πειράσομαι μὲν εἰπεῖν καὶ κατὰ τὸ δυνατὸν διηγήσασθαι ὅμως δ' οὐδὲν δυνήσομαι κἂν μερικῶς γοῦν ἐκφᾶναι τῶν αὐτοῦ ἀγαθῶν. καὶ οὐ μόνον ἐγὼ δ' ἰδιώτης καὶ ἄμουσος πρὸς ταῦτα διαπορήσαμι καὶ ἀφασίᾳ πεδηθῶ, ἀλλὰ καὶ πάντες οἱ σοφοὶ τῆς γῆς, εἴπερ ἐν ταύτῳ συναχθέντες ἐπεχείρησαν τῇ τοιαύτῃ ἐξηγήσει ἐπιβαλεῖν. ἐπίσης ἐμοὶ ὡς οἶμαι διηπόρησαν ἄν· ἐπεὶ τοῖς ὑλικοῖς τοῦτο ἀδύνατον, εἶχε δὲ οὕτως.

μερικὴ διήγησις τοῦ οὐρανίου ναοῦ σταυροειδὲς ἦν ἔχων τὸ σχῆμα, τετράτρουλος, εὐμήκης, ἀνείκαστος, φωτεινότερος οὐ τοῦ παρ' ἡμῖν ἡλίου, ἀλλὰ τοῦ ἐπταπλασίως αὐτοῦ ὑπερλάμποντος ἐκείνου καὶ ἀδύτου. τρινάρθηξ ἐξάλλους ἔχων τοὺς νάρθηκας καὶ παρὰ τούτοις ἕτερα τὰ προπύλια, τρία βήματα παράλληλα καὶ προθέσεις ἰσαρίθμους, ἐμβόλους τε τέσσαρας ἐν τοῖς πλαγίοις καὶ προνάοις δύο. ἡ δὲ οἰκοδομὴ αὐτοῦ δακτύλῳ Θεοῦ δεδημιουργημένη τῷ κάλλει καὶ τῇ μαρμαρυγῇ καὶ ταῖς πολυφαίδροις συμπλοκαῖς καὶ ξέναις τεχνουργίαις καὶ ἀνεξιχνιάστοις μηχανήμασι καὶ ὡραιότησιν, ὅλος ἄρρητός τις καὶ ἀνέκφραστος πέφυκε, τέως δὲ κατασκευαστικὴν ὕλην ἐδόκει ἔχειν, ἀντὶ μὲν πολλοῦ τιτανίου χρύσιον πυρεύροιζον, ἐν οἷς δὲ καὶ ἄργυρος καθαρὸς καὶ μαργάρων οἱ τιμιώτεροι καὶ λίθων οἱ τιμαλφέστεροι ἐλαμβάνοντο. ἀντὶ δὲ λίθων οἰκοδομικῶν ἐκ τῶν δώδεκα λίθων τιμίων οἱ τιμιώτεροι, καὶ ἀπὸ πάσης χροιᾶς ἐξειλεγμένοι καὶ ὑπεραρθοῦντες στοιχηδὸν συντεθειμένοι καὶ συναρμολογηθέντες τῇ τεχνουργίᾳ τοῦ ἁγίου Πνεύματος, δόμον ἐπὶ δόμῳ ἑτερόχροιον παρὰ τὸν συμπαρακείμενον ἐπετέλουν καὶ μαρμαρυγὴν αἴγλην ἐκ τῶν διαφόρων χροιῶν σύμμικτον καὶ ὑπεράρρητον ἀναπέμποντες, ὑπῆρχε δὲ

χάρις τοῖς τοῦ ναοῦ οἰκοδομήμασι θεία τις καὶ ἡ τοιαύτη οἰκοδομὴ δίκην ὑλοῦ τοῖς ἔξω ἑστῶσι τοῦ ναοῦ παρεῖχε τηλαυγῶς τὰ ἔνδον τούτου ὁρᾶν καὶ τοῖς ἔνδον οὖσιν ἰσοτρόπως πάλιν τὰ ἔξω κατανοεῖν. καὶ φρικτὴ καὶ πλήρης θάμβους ἦν ἡ ὑλαία ἐκείνη κατασκευή, καὶ οὕτως μὲν εἶχον τὰ τῆς οἰκοδομῆς τοῦ θείου ναοῦ καὶ τούτων ἐξαισιώτερον. ὁ δέ γε πάτος αὐτοῦ καὶ τὸ ἐνδότερον θυσιαστήριον καὶ οἱ ἀναβαθμοὶ καὶ ὁ μέσον τῶν καθεδρῶν θεῖος θρόνος, τό τε καταπέτασμα καὶ ἡ τράπεζα καὶ τὰ λοιπὰ ἀκολούθως τῶν παρ' ἡμῖν εἰκασίαν μέν τινα ἀπὸ τῶν ἐπιγείων καὶ ὧν τὴν γνῶσιν ἡμεῖς ἔχομεν οὐδαμῶς κατάλληλον κέκτηνται, ἵνα διὰ τῆς ὁμοίας παραθέσεως ἀμυδρῶς πως τὰ ἐν αὐτοῖς δηλωθῇ. τέως δὲ ὃ κατελάβομεν ἡμεῖς οἱ ἐμπαθεῖς καὶ τυφλοὶ κατὰ τὸν ἔσω ἄνθρωπον ἐροῦμεν. Πνεύματος θείου τὰ πάντα ἦσαν πεπληρωμένα καὶ αὖρα τις ὑπέπνει καὶ ἐπεπόλαζεν ἑκάστῳ μέρει τοῦ ναοῦ ἡ κατάλληλος ὅτε γὰρ πάτος πυρὶ λευκῷ καὶ ἐξαλλάσσοντι ἐσπαργανωμένος καὶ ἐδόκει κυματίζειν ἀντὶ κιόνων [1]— ναφέλαιτον —[1] ναὸν ὑπήρειδον. τὸ ἅγιον θυσιαστήριον καὶ τὰ ἐν αὐτῷ πάντα μυριοπλασίοις καὶ φρικταῖς ἀστραπομόρφοις φωτοχυσίαις[2] τοῦ θείου Πνεύματος ἐκαλύπτετο. τὰ δὲ ἐν αὐτῷ οὐκέτι ἡμῖν ἐδόκει ὑλικὰ ὡς τὰ ἄλλα, ἀλλὰ πνευματικὰ καὶ θεῖα ἐχρημάτιζον. ἐπεὶ δὲ οἱ προρρηθέντες θεῖοι νεανίσκοι διακόνων τάξιν ἀναπληροῦντες τὰ πάντα ηὐτρέπισαν καὶ τὸ—εὐλόγησον Δέσποτα — κεκράγασιν, ἰδοὺ Αὐτὸς ὁ Κύριος ὡρᾶτο ἐφεζόμενος ἐπὶ τοῦ μεσαιτάτου φρικτοῦ καὶ πυριμόρφου θρόνου. καὶ οἱ δώδεκα Αὐτοῦ μαθηταὶ οἱ πρόκριτοι συγκαθήμενοι αὐτῶν ἐπὶ θρόνων θεϊκῶν δώδεκα ἓξ μὲν ἐκ δεξιῶν ἱσταμένων τοῦ δεσποτικοῦ θρόνου. τῶν δὲ ἑτέρων ἐξ εὐωνύμων.

καὶ φησὶν ὁ Κύριος τοῖς διακόνοις· „καλέσατε πάντας τοὺς ἐκλεκτούς Μου ἐνταῦθα“. καὶ ἐθεασάμεθα νεανίαν ὡραιόμορφον σταθέντα ἐπὶ τὸ μέσον τῆς ἁγίας πόλεως ὑπερανεστηκότος σκοποῦ σάλπιγγα χρυσήλατον ἐπὶ χεῖρας κατέχοντα καὶ ἐνάρθρως οὕτωσὶ σαλπίζοντα, καὶ φησί „δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός Μου ἐν τῷ ναῷ τῆς ἁγίας δόξης Μου, θυσίαν καινὴν ἐν εὐφροσύνῃ ἐπιτελέσωμεν“ καὶ ἐκ τρίτου τὸν αὐτὸν λόγον ὁ δηλωθεὶς νεανίας κεκραγὼς κατῆλθε τοῦ σκοποῦ. ἀπὸ δὲ τῆς κραυγῆς ταύτης, ἐξῆλθον πάντες οἱ ἀπ' αἰῶνος ἅγιοι καὶ δίκαιοι καὶ ἤρχοντο πρὸς τὸν ναὸν ὥσπερ ἀετοί τινες ὠκύπτεροι καὶ περιστεραὶ φωτοειδεῖς. ἐν γοῦν τὸ πορεύεσθαι αὐτοὺς ἀνέβαινον ἀπὸ τῆς θαλάσσης τοῦ πυρὸς βοαὶ τῶν ἁμαρτωλῶν τῶν ἐκ

---

[1]—[1] νεφέλας τὸν.

[2] слѣдующее далѣе въ Синодальномъ спискѣ пропущено

αὐτῷ ἐγκυβιστευόντων εἰς τὰ ὦτα αὐτῶν, καὶ ἐδόκουν ὑπὸ συμπαθείας τὰ σπλάγχνα δονεῖσθαι καὶ ὥσπερ ἀλγεῖν. καὶ φησὶν ὁ Κύριος· „οὐ χρὴ αἰώνιον πένθος ἐν ἀτελευτήτῳ εὐφροσύνῃ ἐξακούεσθαι“. καὶ ἐκτείνας τὴν χωποιὸν καὶ θείαν δεξιὰν Αὐτοῦ σφραγίσας πᾶσαν τὴν θαλάσσαν ἐκείνην τοῦ ἀτελευτήτου πυρός, καὶ εὐθέως συνουλώθη καὶ ἤγγισε χεῖλος αὐτῆς πρὸς τὸ τέλος, καὶ ἐπεκαλύφθη διὰ τῆς ξηρᾶς τῆς καινῆς ἅπασα. καὶ οὐκέτι οὐδαμῶς ἴχνος αὐτῆς κατεφαίνετο, ἀλλὰ μονότροπος ἡ τῆς ἐπαγγελίας ἐκείνη γῆ ἦν. καὶ οὐκέτι οὐδὲν λυπηρὸν ἐν αὐτῇ ὡρᾶτο. κοὶ μετὰ τὸ πάντας αὐτοὺς εἰς τὸν ναὸν συνελθεῖν τὸν θεῖον ἐωρῶμεν αὐτούς. καὶ τοῦ Κυρίου καθεζομένου ἐπὶ θρόνου ἁγίου Αὐτοῦ, καὶ πάντων τῶν ἁγίων ἀγγέλων ἐν φόβῳ καὶ τρόμῳ παρισταμένων καὶ δορυφορούντων Αὐτῷ, ἰδοὺ ἡ μεγάλη Βασίλισσα καὶ Μήτηρ Αὐτοῦ ἐξιοῦσα τοῦ ὑπερουσίου θαλάμου τῆς θείας δόξης αὐτῆς[1] παρέστη ἐκ δεξιῶν τοῦ Υἱοῦ αὐτῆς περιβεβλημένη θεικὴν στολὴν καὶ τὴν κεφαλὴν ἐστεμμένην τῷ στεφάνῳ τοῦ Υἱοῦ αὐτῆς τῷ δοθέντι αὐτῇ, ὅλη κεκαλλωπισμένη πεποικιλμένη. καὶ ἰδοὺ οἱ ἑβδομήκοντα ἀπόστολοι φῶς ἄρρητον ἀπολάμποντες καὶ ἰδοὺ πάντες οἱ ὅσιοι καὶ δίκαιοι εὐλογημένοι τοῦ Θεοῦ καὶ Πατρὸς καὶ συγκληρονόμοι τῆς βασιλείας τοῦ Υἱοῦ Αὐτοῦ, προρισθέντες ὅλοι λελαμπρυσμένοι ἀλληνάλλως καὶ δεδοξασμένοι ἀναλόγως τῇ ἰδίᾳ δικαιοσύνῃ. ἕκαστος οὖν αὐτῶν ἐπικομιζόμενος δῶρα εἰσῄει καὶ προσέφερε ταῦτα τῷ Κυρίῳ. ἕτερος αὐτῶν τοῦ ἑτέρου τὴν ὡραιότητα κατανοῶν καὶ ὑπερεκπληττόμενος. καὶ μετὰ τὴν τῶν δώρων αὐτῶν εἰσκομιδὴν ἀπῄει ἕκαστος αὐτῶν καὶ ἵστατο εἰς τὸν ἀφωρισμένον τόπον αὐτῷ. καὶ εὐθὺς φῶς ἄρρητον ἀνῆπτεν ἐν ταῖς καρδίας αὐτῶν. καὶ ἀπὸ τῆς βλυζούσης ἐν αὐτῇ ἀγαλλιάσεως οὐκ ἠδύναντο ἐγκρατεύσασθαι ὅλως, κατανοοῦντες τὴν ἐν τῷ ναῷ πεφυκυῖαν πνευματικὴν καὶ θείαν ἀγαλλίασιν. καὶ γὰρ ἦν ἐκεῖσε πεφυτευμένη εὐφροσύνη καὶ θεία ἀγαλλίασις καὶ χαρὰ ἀΐδιος. ἐκεῖ πλουσίως ἀνέβλυζεν ἡ εἰρήνη τοῦ Τρισυποστάτου ὥσπερ μέλι γλυκάζον. ἐκεῖ ὑπῆρχεν ἡ ἀγάπη πλουσιοπαρόχως ἐνοῦσα καὶ ταῖς καρδίαις τῶν ἁγίων δαψιλῶς ἐμβάλλουσα. ἐκεῖ ὑπῆρχεν ἔφεσις ἀσύγκριτος τοῦ ἀεὶ ὄντος καὶ ζῶντος εἰς τοὺς αἰῶνας. καὶ ἐνίοτε μὴ δυναμένοι ἐγκρατεύσασθαι ἀπὸ τῆς ἀφάτου[2] χαρμονῆς καὶ θυμηδίας, μεθ' ἡδονῆς ἄφνω ἐκέκραγον καὶ σκιρτῶντες εὐχαριστηρίους ᾠδὰς πλησθέντες οὖν τοῦ θείου τοῦδε καὶ ὑπερουρανίου ναοῦ ἀπὸ τῶν εἰσιόντων ἐν αὐτῷ Υἱὸν τοῦ Θεοῦ καὶ δῶρα νοητὰ καὶ πνευμα-

[1] здѣсь оканчивается мѣсто, пропущенное въ Синодальномъ спискѣ.

[2] ἀφθάρτου.

τικὰ προσφερόντων, ὥσπερ εἴρηται, κατῄει τοῦ ἐνδόξου θρόνου ὁ Κύριος τὴν μυστικὴν ἐκτελέσων ἱερουργίαν, καὶ ἰδοὺ χερουβὶμ καὶ σεραφὶμ φόβῳ καὶ τρόμῳ περιιπτάμενα διηκόνουν Αὐτῷ καὶ τὸν τρισάγιον ὕμνον σὺν ἡδονῇ καὶ θάμβει ἀνέπεμπον. καὶ ἰδοὺ τὰ λοιπὰ ἀγγελικὰ τάγματα πάντα κύκλῳ τοῦ θυσιαστηρίου περειστήκεισαν. οἱ δέ γε δώδεκα ἅγιοι ἀπόστολοι συλλειτουργοῦντες ἦσαν τῷ Κυρίῳ τὰ γοῦν ῥήματα τῶν ἐκφωνήσεων καὶ τῆς λοιπῆς ἐκκλησιαστικῆς ἀκολουθίας τηνικαῦτα προσεφέροντο ἐν τῇ θείᾳ ἱερουργίᾳ ἐκείνῃ, ἡμῖν μὲν ὡς ἔτι δεσμίοις οὖσι τῆς φθορᾶς καὶ τῶν σαρκικῶν παθῶν ἀνέκφραστα καὶ ἀκατάληπτα πεφύκασι τοῖς δὲ ἐκεῖσε ἀξιωθεῖσι γενέσθαι πάντα σαφῆ καὶ εὔληπτα καὶ ἡδονῆς ἀπείρου παραίτια. ἀντεφώνουν γὰρ τάγματα ἁγίων μετὰ τῶν ἀγγέλων ἐν τῷ ψάλλειν καὶ πάλιν ὑπέψαλλον ἀρχόμενα τὸν ὕμνον ἀγγελικὰ στρατεύματα καὶ ἀντεπῇδον αὐτοῖς οἱ ἅγιοι τοῦ Ὑψίστου. ἔφριξε τοιγαροῦν ἐπὶ τῇ φθογγῇ τούτων καὶ τοῖς τελουμένοις ἅπασιν ἐξαισίοις φρικτοῖς οὐρανὸς καὶ γῆ, καὶ διεχέθη ἐν ταῖς καρδίαις τῶν ἁγίων δρόσος νοητὴ ἀθάνατος ἐκ τοῦ ἁγίου Πνεύματος, καὶ ἐγανήθησαν ἅπαντες καὶ ἐγέλων γέλωτα θεῖον τῷ ὄντι καὶ πνευματικόν. ἐπεὶ δὲ καιρὸς τῆς μεταλήψεως ἤγγικε, μετεδίδου αὐτοῖς ὁ Κύριος ἐκ τοῦ πνευματικοῦ μάννα τῆς Ἑαυτοῦ θείας ζωῆς καὶ ἐπότιζεν αὐτοὺς ἀπὸ τοῦ πνευματικοῦ μύρου τῆς θεότητος Αὐτοῦ. καὶ ἰδοὺ πάντες ἐμεθύσθησαν δόξῃ ἀρρήτῳ καὶ θεϊκῇ εὐφροσύνῃ καὶ ἐπλήσθησαν γαβριάματος φίλτρου θείου καὶ γεγόνασιν ἀνάπλεοι ἔρωτος θεουργικοῦ. ὁ γοῦν Κύριος προσέθετο ἐκδιηγήσασθαι τοῖς ἀγαπητοῖς καὶ ἐκλεκτοῖς Αὐτοῦ ἀπὸ τῶν κρυφιομύστων μηνύσεων τῆς ἀϊδιότητος καὶ τῆς μεγαλωσύνης Αὐτοῦ καὶ εὐθέως ἐσοφίσθησαν καὶ ἐπληρώθησαν πάντες ἀπὸ τῆς ἀποκρύφου σοφίας καὶ τῆς τῶν ἀκαταλήπτων κριμάτων Αὐτοῦ μυήσεως. καὶ ἐθεώθησαν καὶ ἐδοξάσθησαν καὶ χρηστοὶ Κυρίου ἐν τῇ Αὐτοῦ χάριτι καὶ συγκληρονόμοι καὶ συναδελφοὶ τῷ Μονογενεῖ Υἱῷ τοῦ Θεοῦ καὶ Πατρὸς εὐδοκίᾳ Αὐτοῦ καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος γεγόνασιν. καὶ τέλος μὲν ἔσχε τοιόνδε ἡ τοιαύτη καινὴ θυσία.

ταύτης δὲ συντελεσθείσης, ἐξῆεσαν πάντες οἱ ἅγιοι ἐκεῖθεν καὶ πᾶσαι αἱ θυγατέρες τῆς νέας Ἱερουσαλὴμ προπορευομένου πάντων αὐτῶν καὶ προηγουμένου τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ ἀπιόντες πρὸς τὰ ἐρασμιώτατα καὶ ὡραιόμορφα καὶ φρικωδέστατα παλάτια Αὐτοῦ, ἃ ὑπῆρχον κατὰ ἀνατολὰς τῆς αὐτῆς ἁγίας Σιὼν ᾠκοδομημένα παραπλησίως τῷ προγραφέντι θείῳ καὶ πανσέπτῳ ναῷ τοῦ ἁγίου τῶν ἁγίων. μέσον αὐτῶν θεῖον θάλαμον καὶ ἀσύγκριτον ἔχοντα, περὶ οὗ διηγήσασθαί τι οὐ δυνάμεθα. πλὴν

εἴδομεν χερουβὶμ καὶ σεραφὶμ ὅτι εἰστήκεισαν ἐπὶ τῆς ἀνεκλαλήτου πύλης αὐτοῦ αὐτόθι ἀεὶ παρεδρεύοντα ὡσαύτως ὡρᾶτο ἡμῖν ἐν τοῖς τοιούτοις παλατίοις νυμφὼν φρικωδέστατος καὶ παστὰς ἀσυγκριτος, χερουβικαῖς πτέρυξι καὶ θρόνοις, ἀρχαῖς, ἐξουσίαις καὶ κυριότησι καὶ ἀγγελικαῖς ὑμνῳδίαις καὶ φρικταῖς λειτουργίαις δεδοξασμένη καὶ ἀσυγκρίτῳ φαιδρότητι καθωραιζομένη. κατενώπιον δὲ τῆς θεικῆς ταύτης καὶ ἀνεκλαλήτου παστάδος καὶ τράπεζά τις φρικτὴ καὶ ὑπὲρ ἔννοιαν ἵστατο ἔχουσα ἐπικείμενα ἄὐλα καὶ νοητὰ ἀγαθὰ ὧν οὐκ ἦν ἀριθμὸς οὐδὲ εἰκασμὸς αὐτοῖς ἀπὸ τῶν τῆς γῆς ἀγαθῶν πέφυκεν εἶναι. τοῦτο δὲ μόνον ἐκ τῆς θέας αὐτῶν ἔγνωκα προσγίνεσθαι τοῖς εἰς αὐτὰ ἀτενίζουσι, τὸ μὴ ἔχειν κόρον τῆς θέας αὐτῶν, μηδὲ θέλειν αὐτῶν εἰς τὸ παντελὲς τὸ τῆς διανοίας ὄμμα ἀφιστᾶν ἢ ἀλλαχόσε που τοῦτο ἀπασχολεῖν. καὶ ἰδοὺ ἑτέρα πάλιν τράπεζα ταύτης φρικωδεστέρα πλήρης οὖσα ἀνεκλαλήτων καὶ θείων ἀγαθῶν. ἦν οὖν αὕτη ἡτοιμασμένη τοῖς δώδεκα προκρίτοις ἀποστόλοις. καὶ ἰδοὺ ἑτέρα αὕτη τῶν ἐνδόξων προφητῶν καὶ ἄλλη παραπλησίως τῶν ἱεραρχῶν καὶ ἑκάστου αὐτῶν τάγματος ἀναλόγως τράπεζα ἐκεῖσε πλήθουσα τῶν ἀφθάρτων καὶ αἰωνίων ἀγαθῶν ἐμοὶ τῷ ἐλεεινῷ καθωρᾶτο. καὶ περὶ αὐτὰς ἦσαν ὑπηρέται χρυσότριχες φωτόμορφοι καὶ καλλιπρεπεῖς νεανίαι ἀσύγκριτον τὴν ὡραιότητα καὶ τὴν ἑτοιμασίαν κεκτημένοι.

καὶ ἰδοὺ ὁ Κύριος ἐξῆει ἀπὸ τῶν θείων ἀδύτων Αὐτοῦ καὶ ἦλθεν ἀνακλιθῆναι εἰς πνευματικὴν ἑστίασιν μετὰ τῶν φιλούντων Αὐτοῦ. καὶ συνήποντο Αὐτῷ ἥ τε Δέσποινα καὶ Μήτηρ Αὐτοῦ καὶ ἡ ἐξ ἐθνῶν Ἐκκλησία ἡ νυμφευθεῖσα Αὐτῷ. καὶ εἰσῆεσαν ἐπὶ τὴν πασάδα τοῦ νοητοῦ καὶ ἀκηράτου νυμφῶνος ἐπὶ τῷ ἀνακλιθῆναι εἰς τὸν πνευματικὸν γάμον. ὁ δὲ Κύριος προσκαλεσάμενος πάντας τοὺς ἁγίους Αὐτοῦ ἐπὶ τὴν ἄφραστον καὶ πνευματικὴν ἐκείνην ἀγαλλίασιν ἐστολισμένους ὄντας ταῖς δοθείσαις αὐτοῖς πνευματικαῖς στολαῖς καὶ τοῖς διαδήμασι τοῦ κάλλους κατεστεμμένους. καὶ συνανεκλίθησαν ἅμα Αὐτῷ ἐπὶ τὰς ἀφωρισμένας ἑτοιμασίας ἑκάστῳ τάγματι αὐτῶν καὶ ἐνευφραίνοντο ἀρρήτου δόξης καὶ θυμηδίας ἐμπιπλάμενοι. αἱ μέντοι ἅγιαι πᾶσαι στρατιαὶ αἱ τῶν ἀγγέλων παρειστήκεισαν φόβῳ καὶ τρόμῳ Κυρίῳ τῷ Θεῷ καὶ ἔψαλλον τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ ξένην τινὰ καὶ ἄρρητον ᾠδὴν Κυρίῳ τῷ Θεῷ, καὶ ἀντεφώνουν αὐτοῖς πᾶσαι αἱ νοεραὶ δυνάμεις περικύκλῳ. καὶ μέλος ἡδὺ καὶ θαυμαστὸν λίαν ἐκεῖθεν ἐξεχεῖτο καὶ φωναὶ ἑορταζόντων ἐξηκούοντο καὶ οὐκ ἦν κόρος τοῖς ἐκεῖ ἀπὸ τῆς θαυμαστῆς ἡδύτητος αὐτῶν. διηκονοῦντο δὲ ἐν ταῖς χρείαις αὐτῶν ὑπὸ νοερῶν καὶ ἁγίων ἀγγέλων τῶν ἐπ' αὐτῷ τούτῳ τεταγμένων. καὶ ἦσθιον βρῶσιν νοητὴν τὴν αἰώνιον, ἀφ' ἧς διεδίδο-

το αὐτοῖς εὐφροσύνη καὶ χαρὰ ἄφραστος καὶ ἀΐδιος. ἐσθιόντων δὲ αὐτῶν καὶ πινόντων τὸ ἀθάνατον νέκταρ εἰς κόρον, ἐμεθύσκοντο μέθην τινὰ θείαν καὶ ἀλλοίωσιν πνευματικήν, πληρούμενοι σοφίας θεικῆς καὶ χάριτος γνώσεώς φημι τελεωτέρας τῶν ἀποκρύφων μυστηρίων τῆς ἁγίας Τριάδος τοιούτους δὲ ψαλμοὺς ᾖδον τότε οἱ παριστάμενοι θεῖοι νόες, οὓς ὁ Θεὸς καὶ Πατὴρ διὰ τοῦ ἁγίου Αὐτοῦ Πνεύματος συναρμόσας παρέσχεν ἑκάστῳ τάγματι αὐτῶν, ἐφ' ᾧ ᾄδειν αὐτοὺς ὡς ᾄσμα θεῖον ὑμεναίου ἐν τοῖς ἀκαταλήπτοις καὶ φρικτοῖς γάμοις τοῦ Μονογενοῦς Υἱοῦ Αὐτοῦ. καὶ ἑωρῶμεν αὐτοὺς ὅπως ἐν τῷ ᾄδειν τὰ τοιαῦτα ἄσματα ὑπὸ τῆς ἡδονῆς καὶ φρικτῆς αὐτῶν συνθέσεως ὑπερεκπληττόμενοι καὶ ὑπερνικώμενοι τῆς συνήθους αὐτῆς εὐτάκτου στάσεως καὶ εὐλαβείας ἐπελανθάνοντο καὶ σκιρτῶντες ὁρῶντο καὶ ἐναλλόμενοι ἐγεγήθεισαν. τῆς γοῦν ἐκείνης καινῆς εὐωχίας καὶ νοητῆς βρώσεως οἱ ἅγιοι εἰς κόρον ἐμφορούμενοι οὐκ ἠλαττοῦντο τὰ ἐσθιόμενα ὡς ἐπὶ τῶν φθαρτῶν γίνεται τῇ μεταλήψει, ἀλλ' οὕτως ἔμενον ἀμείωτα ὥσπερ πρὸ τοῦ μηδένα ἅψασθαι αὐτῶν παραπλησίως τῷ παρ' ἡμῶν καιομένῳ πυρί, ἀφ' οὗ πάντες μὲν οἱ χρήζοντες ἀρκούντως μεταλαμβάνουσιν μείωσιν δὲ τὴν οἱανοῦν ἐν αὐτῷ οὐδαμῶς ἐργάζονται.

ἐπεὶ δὲ τῆς φρικώδους ἑστιάσεως καὶ πνευματικῆς ἐκείνης εὐφροσύνης ἀνέστησαν, παραλαβὼν πάντας αὐτοὺς ὁ Κύριος εἰσῆλθεν εἰς τὸν κατὰ ἀνατολὰς τῆς ἁγίας πόλεως συμπαρακείμενον παράδεισον προπορευομένας καὶ ἑφεπομένας ἔχων καὶ πάσας τὰς ἀγγελικὰς δυνάμεις. οὗτος δὲ ἦν ὁ ἐν Ἐδὲμ παράδεισος τοῦ Θεοῦ, ἀφ' οὗ ὁ Ἀδὰμ τὴν ἐντολὴν παραβὰς ἐξεληλύθει. καὶ τούτων ἐν τούτῳ χορευόντων καὶ τοῖς ἐκεῖσε κάλλεσι καὶ θεάμασι τῶν τε ἀνθέων καὶ τῶν ἀφάτων φυτῶν ὡραϊζομένων οἱ ὑμνῳδοὶ ἄγγελοι οὐκ ἔληγον τῶν θείων ἐκείνων καὶ ἐξαισίων ᾀσμάτων οὐδαμῶς, ἀλλ' ἔμελπον προσφόρους καὶ εὐχαριστηρίους ὕμνους καὶ ᾠδὰς Κυρίῳ τῷ Θεῷ. καὶ ἦν ὁρᾶν ἐπὶ τούτους πάντας τοὺς ἁγίους χαρὰν καρπουμένους καὶ δόξαν ἄληκτον καὶ εὐφροσύνην καὶ ἀγαλλίασιν ἀΐδιον. διότι κόρος αὐτοῖς οὐκ ἦν τῆς ἐφέσεως τῶν ἐκεῖσε ὁρωμένων τερπνοτήτων καὶ ἡδυτήτων τῶν ἀνεκλαλήτων καὶ ἀνεξιχνιάστων, ὅθεν καὶ εὐχαριστηρίους φωνὰς σὺν τοῖς ἁγίοις οἱ ἄγγελοι ἀνέμελπον τῷ Δοτῆρι τούτων ἁπάντων Χριστῷ τῷ Θεῷ.

μετὰ γοῦν τὸ διοδεῦσαι τούτων καὶ ἰδεῖν τὴν τοῦ νοητοῦ τοῦδε παραδείσου τερπνότητα, ὑποστρέφειν ἐδόκουν αὖθις οἱ ἅγιοι σὺν τῷ Κυρίῳ εἰς τὴν ἁγίαν πόλιν, ἀφ' ἧς καὶ ἐξῆεσαν καὶ φασὶ πρὸς τὸν Κύριον· „Κύριε, δὸς ἡμῖν καὶ ταύτην τὴν χάριν, ἵνα ὥσπερ ἐν τῷ

ματαίῳ κόσμῳ οντες ναοὺς ἐπὶ τῷ ὀνοματί Σου ἀνηγείρομεν καὶ ἐν αὐτοῖς ἀθροιζόμενοι ὑμνοῦμεν καὶ ἐμεγαλύνομεν τὴν δυναστείαν Σου, οὕτως δὴ γένωνται ἡμῖν καὶ ἐν τῇ καινῇ καὶ ἀφθάρτῳ ταύτῃ καὶ μακαρίᾳ γῇ, ἐν ᾗ φῶς ἄληκτον καὶ ζωὴ ἀΐδιος πέφυκε, ναοὶ διάφοροι τοῦ Σοῦ ἁγίου ὀνόματος καὶ σκηναὶ καὶ καταπαύσεις κατάλληλοι, ὡς ἂν παραβάλλωμεν ἐν αὐτοῖς καὶ γεραίρωμεν τὸ πολυύμνητον καὶ πολυθαύμαστον ὄνομα τῆς τρισυποστάτου καὶ ὑπεραγίας δόξης Σου". καὶ προσχὼν ἐπένευσε καὶ ἐπευδόκησεν ὁ Κύριος τῇ θελήσει καὶ ἀποδοχῇ τῶν ἁγίων Αὐτοῦ. καὶ ἰδοὺ ἐκτείνας τὴν χωποιὸν καὶ παντουργὸν Αὐτοῦ δεξιάν, ἐσήμανε κατὰ ἀνατολὰς καὶ ἐσφράγισε κατὰ δυσμὰς καὶ κατὰ ἄρκτον καὶ μεσημβρίαν, καὶ ἐβόησεν εἰς ἐπήκοον πάντων καὶ εἶπε· „δεῦτε καὶ ἐμφανίσθητε πάντες οἱ μετεωρισμοὶ τῶν ἁγίων Μου ἐπὶ τὸ αὐτὸ καὶ τὰ ἀγαθὰ καὶ ἐκλεκτὰ καὶ ἀγαπητὰ σκηνώματα τὰ ἀπ' αἰῶνος ἡτοιμασμένα αὐτοῖς". καὶ ἰδοὺ εὐθέως πᾶσα ἡ γῆ καὶ πᾶς ὁ περὶ αὐτὴν αἰθὴρ ἀπὸ περάτων ἕως περάτων ἀνῆψεν ἐν πυρακτώματι λευκῆς χιονώδους αὔρας καὶ ἐπεκράτησεν ἐφ' ἱκανόν, εἶτ' αὖθις ἀνελήφθη μὲν αὕτη εἰς τὸν οὐρανόν, ὥστε μηδ' ἴχνος αὐτῆς φαίνεσθαι.

τὸ δὲ τῆς ἁγίας γῆς ἐκείνης πάγκαλον πρόσωπον καθωρᾶτο ὅλον δεδοξασμένον καὶ δίκην ἡλίου τηλαυγοῦς ἀκτῖνας ἐκπέμπον καὶ ἄφατον εὐπρέπειαν παρέχον τοῖς ἀτενίζειν ἠξιωμένοις ἁγίοις αὐτῷ. καὶ ἰδοὺ ἐν ὅλῳ τῷ θείῳ κόσμῳ καὶ ἀθανάτῳ ἐκείνῳ οἶκοι, παλάτια, θάλαμοι, κοιτῶνες, ἱλαστήρια, ναοὶ καὶ ξέναι καὶ φρικωδέστατοι οἰκοδομαὶ ἄλλαι καὶ κτίσεις ἐμπερίγγραπτοι καθορῶντο κατεσκευασμέναι μὲν ἐξ ἀστραπημόρφου θείας νεφέλης. περιπεφραγμέναι δὲ καὶ ἀλλήλων διηρημέναι ὑπὸ περιφραγῆς διαχρύσων σταυρῶν ἐξαισίως καὶ θεοπρεπῶς τετορνευμένων. καὶ ἰδοὺ ἐν αὐταῖς ταῖς αἰωνίοις μοναῖς καὶ κατοικίαις τῶν ἁγίων κλίναι στρωμναί, δίφροι, θρόνοι, σκάμνοι καὶ τὰ λοιπὰ χρειώδη εἴδη πλούσια καὶ φρικτοκατασκεύαστα ὑπάρχοντα ἡμῖν κατεφαίνοντο. καὶ ἰδοὺ ἐν αὐτοῖς πᾶσι κῆποι νοητοί, ἀμπελῶνες πνευματικοί, περίαυλοι, στοαὶ φρικταί, δένδρα καὶ φυτὰ ἀθάνατα καὶ ἀφθαρτόκαρπα. καρποὶ ξένης φύσεως, νοῦν καὶ καρδίαν ἐξιστῶντες τῇ τῆς μεταλήψεως νοητῇ εὐφροσύνῃ. καὶ περὶ τούτων ἁπάντων εἰ χερουβικόν τις ἔχει στόμα καὶ γλῶσσα τῶν σεραφίμ, οὐδ' οὕτως ἂν ἱκανὸς ἔσται κἂν τὸ πολλοστὸν αὐτῶν ἐκδιηγήσασθαι καὶ γραφῇ παραδοῦναι. καὶ διένεμεν ἐκ τούτων τοῖς ἁγίοις κατὰ ἀναλογίαν ὁ Κύριος τὰ ἐπάξια. καὶ εἶχον τὰς τοιαύτας καταπαύσεις ἐν τῇ τῶν πραέων γῇ καὶ ἐν τοῖς ἡδοπνόαις κόλποις αὐτοις τοῖς ἀποκληρωθεῖσι τῷ πατριάρχῃ Ἀβραάμ, ὡσπερεί τινα προάστεια καὶ μεταβατήρια, ἐν

οἷς ἐξερχόμενοι καὶ ἀλλήλους προσκαλούμενοι ἑώρταζον ἑορτὰς πνευματικὰς καὶ ἠγαλλιῶντο καὶ ηὐφραίνοντο εὐφροσύνην πνευματικὴν καὶ ἄληκτον. ἐν ταύτῃ δὲ τῇ νέᾳ καὶ ἀφθάρτῳ κτίσει οὐκ αἰών, οὐ χρόνος, οὐχ ἡμέρα, οὐ νὺξ ὅλως γνωρίζεται, οὐ τροπαὶ καὶ ἀλλαγαὶ καιρῶν, οὐ χρεία ὑετοῦ, οὐ θέρμης ἡλιακῆς, οὐ κόπου, ἢ πείνης, ἢ δίψης, ἢ τινος ἄλλου τῶν παρ' ἡμῖν, ἀλλὰ ἀεὶ ὡσαύτως ἔχουσα εἰρηναία καὶ ἄλυπος ὑπάρχει διαγωγὴ καὶ ζωὴ αἰώνιος ἐκεῖ ἀπέδρα πᾶσα ὀδύνη καὶ λύπη καὶ στεναγμὸς καὶ ἐμπεφύτευται χαρά, εἰρήνη, εὐφροσύνη καὶ ἀγαλλίασις διηνεκής. τῶν γὰρ ἐκ νεκρῶν ἀναστάντων σωμάτων ἤδη ἀφθαρτισθέντων καὶ σαρκικῆς τῆς παρ' ἡμῖν οὔσης φημὶ νῦν τροφῆς ἀνενδεῶν γενομένων καὶ ἐκ ποδὸς πάσης κακίας γεγενημένης σὺν τῷ σατανᾷ καὶ πᾶσι τοῖς δαίμοσιν αὐτοῦ, καὶ τῆς καινῆς κτίσεως ἀφθαρσίᾳ τιμηθείσης καὶ πρὸς κατάλληλον κρᾶσιν τοῖς τοιούτοις σώμασι μεταμειφθείσης οὐκέτι λοιπὸν χρεία ὕπνου, ἢ κόπου, ἢ ἐργασίας τινὸς σωματικῆς, ἢ ὑετοῦ, ἢ ψύχους, ἢ θέρμης, ἤ τινος ἄλλου τῶν χρειωδῶν ἡμῖν ἐκεῖσε ἐστίν. ἀλλὰ φῶς ἀειλαμπὲς καὶ ἀπόλαυσις πάντων τῶν νοητῶν ἀγαθῶν καὶ ἑορτὴ ἀκατάπαυστος καὶ ἀπέραντος. καὶ ἐν ταύτῃ τῇ μακαρίᾳ γῇ οἱ καταξιωθέντες φθάσαι καὶ οἰκεῖν ὡς ἄγγελοι διάγουσιν οἱ ἐν τῷ οὐρανῷ καὶ ἀλλοίωσιν οὐχ ἔχουσιν, καθὼς ὁ εἰς πάντα τὰ ὁραθέντα μοι καθοδηγῶν καὶ φωτίζων μεθεῖος ἄγγελος πρός με ἐφθέγξατο. πρὸς τοῖς ἄλλοις τοίνυν θαυμασίοις τοῖς ἐκεῖ, καὶ τοῦτο ἑώρων ἐν τοῖς ἁγίοις, ὅτι περ ὡς ἐξήρχοντο ἀπὸ τῆς ἁγίας πόλεως ἐπὶ τὰς ἤδη ἀπονεμηθείσας αὐτοῖς σκηνάς, ὡς δεδήλωται προερχομενοι καὶ παραβάλλοντες ἐν αὐταῖς τινὲς μὲν ἀεροπόροι ἀπήρχοντο, τινὲς δὲ μὴ ἰσχύοντες οὕτως προσιέναι βαδίζοντες ἐπὶ τῆς ξηρᾶς ἀπήεσαν.

τούτων τοιγαροῦν οὑτωσὶ δεδεγμένων, ἐλέῳ Θεοῦ[1] καὶ τρόμῳ συνεσχέθη πᾶσα ἡ κτίσις ἐκείνη καὶ διεδονήθη ὑπὸ τοῦ θάμβους τῆς τοιαύτης ἠχοῦς, καὶ ἰδοὺ ἀνεῳχθη ἡ κατὰ ἀνατολὰς μεγάλη πύλη τοῦ οὐρανοῦ ἥτις ὑπὸ τῶν κυριοτήτων φυλάσσεται καὶ εἴδομεν, ὅτι ἐξῆει ὁ Κύριος ἀπὸ τοῦ θαλαμοῦ καὶ τοῦ νυμφῶνος τῆς δόξης τῆς ἁγιωσώνης Αὐτοῦ, δεδοξασμένος τὸ πρόσωπον, καὶ ἀνῄει ἐν ἰσχύϊ ἐπὶ τὴν πύλην τοῦ οὐρανοῦ τῶν νοερῶν καὶ ἀσωμάτων πασῶν δυνάμεων προπορευομένων μεθ' ὕμνων καὶ ἑφεπομένων Αὐτῷ. συνανήρχοντο δὲ τούτῳ καὶ ὅσοι πτέρυγας δυνατὰς ἀπὸ τῶν ἁγίων εἰς τοσοῦτον ὕψος ἀρθῆναι καὶ πετασθῆναι ἐκέκτηντο. καὶ πρό πάντων αὐτῶν ἡ ἁγία Θεοτόκος, ἥτις ὡς ἀστραπὴ ὡραϊσμένη τῷ Υἱῷ αὐτῆς ἠνω-

[1] доб.—ἰδοὺ ἐσάλπισεν ἡ μεγάλη καὶ βασιλικὴ σάλπιγξ τοῦ Υἱοῦ τοῦ Θεοῦ.

μένη ἀνήρχετο, καὶ φθάσαντες τήν τοῦ οὐρανοῦ ἀνεῳγμένην πύλην εἰσέδυσαν πάντες εἰς τὰ ἐνδότερα, καὶ ἡμῖν οὐκέτι ἐδόθη συνεῖναι ἔνθαδὴ ἐπορεύθησαν καὶ ὅπου κατέληξαν μόνον δὲ τοῦτον εἴρηκέ μοι τὸν λόγον ὁ καθοδηγῶν με, ὅτι περ φησὶν εἰς τὴν ἄνω βασιλείαν τῶν οὐρανῶν οὗτοι πάντες εἰσέδυσαν. καὶ αὖθις εἶπον αὐτῷ, — ὅτι πῶς τινὲς μὲν τῶν ἁγίων συνανῆλθον[1] τῷ Κυρίῳ εἰς τὴν τῶν οὐρανῶν βασιλείαν, τινὲς δὲ ἐναπέμειναν ἐν τῇ αἰωνίῳ ζωῇ καὶ ἐπιγείῳ βασιλείᾳ. καὶ ἔφη μοι, ὅτι ἐκεῖνοι μόνοι τῆς τοιαύτης πορείας [2]— καὶ διαγωγῆς ἠξιώθησαν, ὅσοι διὰ τῆς ἄγαν ἐγκρατείας —[2] ἑαυτοὺς λεπτύναντες εἰς τελείαν ἀπάθειαν πεφθάκασι, τῶν γηίνων ἑαυτοὺς [3]— λεπτύναντες καὶ —[3] ἐκσπάσαντες, καὶ ἔξω κόσμου τῷ νοὶ γεγόνασι, καὶ πρὸ τοῦ φυσικοῦ θανάτου τούτῳ ἑκουσίως τεθνήκασιν. ὅσοι δὲ ἐν τῇ ἀπολαύσει τῶν τῆς καινῆς κτίσεως ἀγαθῶν ἀναπέμειναν εἰσὶν οἱ ἐν λαικῷ σχήματι καὶ νομίμῳ συζυγίᾳ εὐαρεστήσαντες τῷ Θεῷ τήν τε κοίτην ἀμίαντον διαφυλάξαντες καὶ ἐν εὐποιΐᾳ καὶ ἐλεημοσύνῃ καὶ προσευχαῖς τὸν ἑαυτῶν βίον διαβιώσαντες, καὶ ὅσοι διὰ δακρύων καὶ μετανοίας καὶ καθαρᾶς ἐξομολογήσεως ἑαυτοὺς ἐκάθηραν καὶ ἐν εἰλικρινεῖ μετανοίᾳ καὶ ἀποχῇ τῶν φαύλων τοῦ σώματος ἐχωρίσθησαν, ἐλπίσαντες εἰς τὸν Θεὸν ἀδιστάκτως καὶ εἰς τὸ μέγα πέλαγος τῶν αὐτοῦ οἰκτιρμῶν. οἱ δὲ ἐν τῇ μεγαλοπόλει καὶ νέᾳ Σιὼν κατοικεῖν καὶ ἐν τῷ τῆς Ἐδὲμ παραδείσῳ ἀξιωθέντες εἰσίν οἱ εὐσεβῶς μὲν καὶ ὁσίως ζήσαντες καὶ ἐν πάσαις ταῖς τοῦ Κυρίου ἁγίαις ἐντολαῖς ἀπροσκόπως μὲν ὁδεύσαντες, μὴ σπεύσαντες δὲ καὶ πρὸς αὐτὸ φθάσαι τὸ τέλος τῆς ἀρετῆς, ἧς δὴ τὸ ἄκρον εἰς οὐρανὸν εἰσελάσαντες καταλαβεῖν ἐδυνήθησαν. ὅθεν καὶ ἀπέλαβον οἱ πάντες ἀξίους τοὺς καρποὺς τῶν πόνων αὐτῶν ἐν ἑκατὸν καὶ ἐν ἑξήκοντα καὶ τριάκοντα κατὰ τὸν ἐν Εὐαγγελίοις λόγον τοῦ Κυρίου. τούτων οὕτω σαφῶς ὑπὸ τοῦ εἰς πάντα καθοδηγοῦντός με δεδιδαγμένων καὶ διαφωτισθέντων μοι, εἴδομεν καὶ ἰδοὺ αὖθις ὁ Κύριος μετὰ πασῶν τῶν οὐρανίων θείων δυνάμεων καὶ πάντων τῶν συναναβάντων Αὐτῷ ἁγίων κατέβη καὶ κατέπαυσεν Αὐτός τε καὶ οἱ μετ' Αὐτοῦ εἰς τὰς ἐν τῇ ἁγίᾳ πόλει ἀποκληρωθείσας αὐτοῖς καταπαύσεις. ἦσαν δὲ πάντες οἱ ἅγιοι οἱ συγκατελθόντες ἀπὸ τοῦ οὐρανοῦ τῷ Κυρίῳ δεδοξασμένοι λίαν καὶ ὑπέρλαμπροι, ἀφωμοιωμένοι τῷ Υἱῷ τοῦ Θεοῦ, τοῦτο χαρισαμένης αὐτοῖς τῆς τελεσθείσης ἐν οὐρανῷ φρικτῆς καὶ θείας μυσταγωγίας καθ' ὃν

---

[1] доб.—αὐτῷ.

[2—2] нѣтъ.

[3—3] нѣтъ.

τρόπον καὶ ἐν τῇ νέᾳ Ἱερουσαλήμ. καὶ ἦν ἐν μέσῳ αὐτῶν πᾶσα ἡδονὴ καὶ χαρὰ καὶ ἀγαλλίασις πνευματικὴ ἀϊδίως ἑορταζόντων καὶ εὐφραινομένων. καὶ ἀπὸ δόξης εἰς δόξαν μεταβαινόντων τῆς ἐπιγείου δηλαδὴ πρὸς τὴν ἐπουράνιον. καὶ τὸ δὴ μεῖζον πάντων συνόντων τῷ Κυρίῳ ἀεὶ αἰσθητῶς τε καὶ νοητῶς καὶ τῇ μυήσει καὶ καταλήψει τῆς ζωαρχικῆς Τριάδος ὡς ἑνὸν ἑκάστῳ υἱῶν Ὑψίστου καὶ Θεὸν καὶ βασιλέων ἀποδεικνυμένων.

ἔτι προσέχομεν τῇ διανοίᾳ, καὶ ἰδοὺ ὁ Κύριος ἑστὼς ἐπὶ τὴν πύλην τῆς ἁγίας πόλεως, δι' ἧς οἱ ἅγιοι καλούμενοι ἐν τῇ κρίσει εἰσήρχοντο, καὶ σὺν Αὐτῷ βασίλισσά τις φρικτὴν καὶ ἐξαισίαν καὶ εὐπρέπειαν προβαλλομένη καὶ ἄλλοι τῶν ἐνδόξων καὶ βασιλέων πλεῖστοι. καὶ ἐδόκει πρὸς ἡμᾶς ἀτενίσαι τῷ πράῳ καὶ ἡμέρῳ Αὐτοῦ βλέμματι καὶ προς Αὐτὸν ἐκκαλεῖσθαι, ἀφ' οὗ ἦμεν κείμενοι καὶ ταῦτα πάντα καθορῶντες τοῦ ὑψηλοτάτου καὶ οὐρανομήκους ἐκείνου σκοποῦ. καὶ ἰδοὺ εὐθέως ὡράθημεν ἁρπαγέντες ἐκεῖθεν καὶ μήκοθεν κατέμπροσθεν τῶν ποδῶν Αὐτοῦ κείμενοι. καὶ Αὐτὸς τοιάδε ἐν πραείᾳ καὶ ἱλαρᾷ φθογγῇ ἐξεφώνει· „ἰδού, Γρηγόριε, ταῖς πρεσβείαις· καὶ καθαραῖς ὑπὲρ σοῦ προσευχαῖς τοῦ θεράποντός Μου Βασιλείου δυσωπηθεὶς ὑπέδειξά σοι ταῦτα πάντα, καὶ διὰ πολλῶν μὲν καὶ ἄλλων ὠφέλειαν καὶ σωτηρίαν, ἐξαιρέτως δὲ σοῦ τοῦ πληροφορίαν δεξαμένου λογισμῶν περὶ τῶν Ἰουδαίων ὡς καλῶς πράττουσι τὸν νόμον Μωϋσέως κατέχοντες καὶ κατ' ἐκεῖνον πολιτευόμενοι. καὶ περὶ τούτων μὲν οἶμαι πληροφορηθῆναί σοι ἀρκούντως, οἷς τε αὐτὸς ἤκουσας καὶ οἶδας, καὶ οἷς πρὸς αὐτοὺς Μωϋσῆς ὁ ἐκλεκτός Μου διελέχθη καὶ ἐλάλησεν. εἰ δὲ καὶ ἔτι παρ' Ἐμοῦ Αὐτοῦ ἀκοῦσαί τι βούλῃ περὶ τῶν τοιούτων, ἴσθι ὡς εἴ τις μὴ ἐπακολουθεῖ τῷ εὐαγγελίῳ Μου καὶ πᾶσι τοῖς γεγραμμένοις ἐν αὐτῷ, εἰς τὸν αἰῶνα οὐ ζήσεται, ἀλλὰ βδελυκτὸς ἔσται καὶ παρὰ τῷ Πατρί Μου ᾧ δοκεῖ ὑπείκειν καὶ λατρεύειν καὶ υἱὸς γεέννης εὑρεθήσεται, κἂν πᾶσαν τὴν ὑπὲρ ἄνθρωπον πολιτείαν ἐνδείξηται καὶ κόπους ἀπείρους ἐκτελέσῃ καὶ ὑπερφυεῖς. πάντες γὰρ οἱ μὴ διὰ θύρας τοῦ εὐαγγελίου Μου εἰσερχόμενοι κλέπται εἰσὶ καὶ λῃσταί καὶ ταῦτα μὲν περὶ τούτων. σὺ δὲ σύνες περὶ τῶν δειχθέντων σοι πάντων καὶ φρόντισον ὅπως καὶ σὺ ἐκ τούτων μεγάλως ὠφεληθείσῃ καὶ ἑτέρους οἰκοδομήσεις εἰς τὴν ἑαυτῶν σωτηρίαν. διὰ γὰρ τοῦτο εὐδόκησα ὑποδειχθῆναί σοι ταῦτα, ἵνα ἐμπορεύσῃ δι' αὐτῶν καὶ πολυπλασιάσῃς τὸ ἐμπιστευθέν σοι τοῦτο τάλαντον. μὴ γοῦν φθονήσῃς τοῦ ἀναγγεῖλαι ταῦτα πάντα ταῖς ἐκκλησίαις Μου. πολλοὶ γὰρ τούτων ἀκούσαντες καὶ εὐθύτητι γνώμης καὶ καρδίας ἁπλότητι ταῦτα ἐνωτισάμενοι ἐκπλαγήσονται καὶ φρίξουσι καὶ τὴν Ἐμὴν περὶ

τὸ βρότειον γένος κηδεμονίαν καὶ ἀγαθότητα ὑπερεκπλαγήσαντες τόν τε κόσμον καὶ τὰ ἐν αὐτῷ πρόσκαιρα καὶ ἡδέα καὶ πᾶσαν ἄλλην κακίαν ὁλοψύχως βδελύξονται καὶ τῶν Ἐμῶν ἐντολῶν ἀνθέξονται, ἔφεσίν τε πλείονα τῶν αἰωνίων ἀγαθῶν ἐκ τῆς ἀμυδρᾶς αὐτῶν παραγυμνώσεως τῆς ὑποδειχθείσης σοι προσλήψονται καὶ ἐργασίαν σωτήριον τῷ ἑαυτῶν νοὶ καὶ μελέτην καὶ ἀδολεσχίαν ψυχωφελῆ ἐντεῦθεν ἐρανίσονται καὶ πολλαχῶς σε ψυχικῆς ὠφεληθήσονται".

„ἀλλὰ καὶ πῶς ἔσταί μοι, Κύριέ μου, τοῦτο δυνατόν, (ἐμοῦ εὐθέως ἀνταποκρινομένου αἴφνης ὡς ὑπό τινος θειοτέρας δυνάμεως τοῦ ρυπαροῦ μου στόματος ἀνοιγέντος καὶ ταῦτα φθεγγομένου). πῶς ἄρα καὶ καταλήψομαι αὐτὰ ἐν ἀκαθάρτοις καὶ ρυπαροῖς νοὶ καὶ γλώσσῃ καὶ χείλεσιν; ἢ πῶς ὅλως δυνήσομαι τοιαῦτα ἄρρητα καὶ ἄγνωστα μυστήρια ἐκδιηγήσασθαι κἂν χερουβικὸν στόμα καὶ νοῦν τῶν σεραφὶμ δώῃς μοι," ταῦτα δέ ἔλεγον φρίκῃ πολλῇ καὶ ἀγωνίᾳ συνεχόμενος, καὶ οὐκ ἀπ' ἐμαυτοῦ. πῶς γὰρ ἂν καὶ ἐτόλμησα τοιοῦτόν τι προπετῶς ὅλως σαπρία καὶ σκώληξ ὢν πρὸς τὸν Κύριόν μου διᾶραι στόμα καὶ ἀποκρίνασθαι;

ὁ δὲ αὖθις εἴρηκε πρός με· „οἶδα κἀγὼ τοῦτο, ἀλλὰ τὸ παρὰ σοὶ τοῦτο ἀδύνατον δοκοῦν παρ' Ἐμοὶ καὶ λίαν ἐστὶ ῥᾴον καὶ δυνατὸν βουλομένῳ, ὅθεν καὶ ἐνσκηνώσει ἐν σοὶ ἡ χάρις Μου, καὶ δώσω σοι δύναμιν εἰς τὸ καταλαβεῖν καὶ ἐκδιηγήσασθαι ταῦτα πάντα ταῖς ἐκκλησίαις Μου εἰς πλείονα διαμαρτυρίαν αὐταῖς καὶ πᾶσι τοῖς ἔθνεσιν. καὶ μακάριος ἐστίν ὃς ἁπλῇ καρδίᾳ καὶ νοὸς εὐθύτητι ταῦτα ὑποδέξεται καὶ ἐργάσεται ἐν αὐτοῖς τῷ μικρῷ χρόνῳ τῆς ἐν τῷ ματαίῳ ζωῆς κόσμῳ αὐτοῦ, καὶ σπεύσει ἐκφυγεῖν μὲν τὰ τοῖς ἁμαρτωλοῖς ἀποκείμενα αἰώνια κολαστήρια, κερδῆσαι δὲ τὰ τοῖς δικαίοις ἡτοιμασμένα αἰώνια καὶ ἀθάνατα ἀγαθά. οὐαὶ δὲ τῷ πονηρευομένῳ ἐν αὐτοῖς καὶ ἀπιστοῦντι, ὅτι τούτῳ μερὶς κλῆρος ἐν τοῖς σωζομένοις οὐκ ἔσται. ὅσοι γοῦν υἱοὶ καὶ κληρονόμοι τῆς βασιλείας πεφύκασι τῶν οὐρανῶν καὶ τὰ ὀνόματα αὐτῶν ἐν βίβλῳ ζωῆς ἐγράφησαν, ἐκεῖνοι καὶ δέξονται ταῦτα μεθ' ἡδονῆς καὶ κατανύξεως καὶ φιλοπόνως κτησαμένοι καὶ ἑτέροις πλείστοις μεταδώσουσι, γράψαντες καὶ μεταγράψαντες ταῦτα. οἱ δὲ ἀπηλλωτριωμένοι τῆς ζωῆς ἀπὸ μήτρας καὶ πεπλανημένοι τῆς εὐθείας ὁδοῦ τῶν προσταγμάτων Μου ἀπὸ γαστρός, ὧν ταῖς καρδίαις ἐγκατοικεῖ σπέρμα φθορᾶς τοῦ ἀνθρωποκτόνου σατᾶν, καὶ οἱ τοῦ νοὸς αὐτῶν ὀφθαλμοὶ τετύφλωνται ταῖς τοῦ κόσμου ματαίαις ἡδοναῖς καὶ ἀπάταις, ὧν οἱ σωματικοὶ ἔρωτες βασιλεύουσι καὶ τῇ οἰήσει ὁλοσχερῶς κεκράτηνται, οὗτοι πάντες οἱ λῆρον καὶ ψόφον ταῦτα ἡγήσονται καὶ ἐκγελάσονται καὶ καταμωκήσονται καὶ ἐροῦσι, — τίς ἐστιν οὗτος

ὁ εἰκαιομύθης, ὁ σχολαστὴς καὶ σπερμολόγος, ὁ τῶν τοιούτων ρημάτων καὶ πραγμάτων τῶν ἀποκρύφων καὶ ἀρρήτων τὴν ἀποκάλυψιν δεξάμενος, περὶ ὧν οὐδεὶς ἡμῖν τῶν ἀπ' αἰῶνος ἁγίων καὶ προφητῶν οὕτωσὶ ὥσπερ οὗτος ἐτράνωσε καὶ ἐδήλωσε; μὴ κρεῖττον οὗτος Πέτρου καὶ Παύλου τῶν προκρίτων ἀποστόλων ἐστί, μὴ κρεῖττον Μωϋσέως ἢ Ἠλίου ἢ Δανιὴλ τῶν ἐξοχωτάτων προφητῶν ἢ τῶν ἐν τῇ νέᾳ διαλαμψάντων ἑτέρων μεγάλων ἁγίων θεοφόρων πατέρων καὶ οἰκουμενικῶν διδασκάλων; εἰ οὖν ἐκείνων οὐδεὶς τοιοῦτόν τι ἡμᾶς ἐδίδαξεν ἢ παραδέδωκε, τίς ἐστιν οὗτος ὁ ὑπὲρ ἐκείνους τὴν τῶν ἀποκρύφων δήλωσιν μυηθεὶς καὶ τοιαῦτα ἐκδιδάσκων ἡμᾶς, ἃ μέχρι τοῦ νῦν εἰς ἀκοὴν ὠτίου οὐκ ἀναβεβήκασιν ὅθεν καὶ πολυπραγμονήσουσι τὰ ῥήματα καὶ διασύρουσι καὶ ὡς ὕθλους καὶ γραῶν μύθους ἡγήσονται;— ἀλλὰ σὺ μὴ διὰ ταῦτα ὀκλάσεις πρὸ τὴν ἐξήγησιν τῶν δηλωθέντων σοι. διήγησαι δὲ πάντως καὶ ἐγγράφως παράδος ταῖς ἐκκλησίαις Μου καὶ πᾶσι τοῖς πιστῶς δεχομένοις τὸν λόγον σου καὶ εἰπὲ πᾶσι τοῖς τῶν ἐκκλησιῶν Μου προεστῶσι. τοῖς τε τοῦ πρώτου βαθμοῦ τοῦ μέσου καὶ τελευταίου, καὶ ἄχρι τῶν ἐσχάτων τοῦ κλήρου, ὅτι ἰδοὺ Ἐγὼ παραγίνομαι καὶ ὁ μισθός Μου ἅμα Ἐμοί καὶ μακάριοι ἐστὲ ἐὰν περιποιῆσθε ψυχὰς εἰς σωτηρίαν ὥσπερ οὐαὶ ἡμῖν, ἐὰν μὴ καλῶς ποιμαίνητε τὰ ἐμπιστευθέντα ὑμῖν ποίμνια. ἰδοὺ ἔτι ἅπαξ μαρτύρομαι καὶ προλέγω ὑμῖν κηδόμενος ὑμῶν, ἵνα μὴ ἀμελήσαντες ταῦτα πάθητε. ἐὰν γὰρ μὴ εἰς οἰκοδομὴν ψυχῶν καὶ σωτηρίαν σπεύσητε καὶ εἰς προκοπὴν καὶ αὔξησιν τῶν ἐκκλησιῶν ὑμῶν σπουδάσητε, ἀλλ' εἰς ἑτέρας αἰσχροκερδεῖς καὶ ματαίας ἀσχολίας ἑαυτοὺς ἐκδώσαντες, ἀμελῶς περὶ τὰς ἐμπιστευθείσας ὑμῖν ψυχὰς διάξοιτε, τὰς ψυχὰς τῶν ἐξ ἀμελείας ὑμετέρας ἀπολλυμένων ἀπὸ τῶν χορῶν ὑμῶν ἐκζητήσω καὶ εἰσπράξομαι. εἰπὲ δὲ καὶ αὐτὰ τοῖς τῶν ἀσκητηρίων καὶ λοιπῶν μοναστηρίων προεστῶσι καὶ διαμάρτυραι αὐτοῖς. ἰδοὺ Ἐγὼ ζῶ, λέγει Κύριος, οὐ θέλω τὸν θάνατον ὑμῶν, καὶ διὰ τοῦτο προλέγω πᾶσιν ὑμῖν, ὡσὰν ἀνέγκλητοι εὑρεθῆτε ἐν τῇ ἤδη ἐγγιζούσῃ παρουσίᾳ Μου. καὶ εἰσάξω πάντας ὑμᾶς ἐν τῇ βασιλείᾳ Μου ἰδοὺ γὰρ ἡτοίμασται καὶ ἀναμένω ὑμᾶς. τὰ ἀγαθά Μου πάντα ηὐτρέπισται, ὁ νυμφών μου ἕτοιμος, αἱ παστάδες εὐπρεπεῖς, τὰ ἀγαθὰ Μου πεπλήθηνται σφόδρα δεόμενα πολλῶν τῶν ἀπολαύειν αὐτῶν μελλόντων. ὁ τοῦ νυμφῶνός Μου χῶρος πλατὺς δεόμενος δαιτυμόνων πολλῶν ἡ πόλις Μου μεγάλη καὶ εὐρύχωρος ἱκανὴ χωρῆσαι πάντας ὑμᾶς. τὰ ἀγαθὰ Μου μέτρον οὐκ ἔχει[1]. αἱ στρατιαὶ τῶν ἀγγέλων καὶ πασῶν τῶν δυνάμεων

[1] ἴχουσι.

ἵστανται ᾄδουσαι καὶ τὴν ὑμετέραν κλῆσιν καὶ κατάπαυσιν ἀναμένουσαι. ὁ παράδεισος ἀνεῳγμένος ἕστηκεν ἐκδεχόμενος ὑμᾶς. δεῦτε πάντες, ὀξυποδήσατε, δράμετε, μικρὸν ὅσον ὅσον καὶ ἐπιλήσεσθε τῶν πόνων καὶ κόπων ὑμῶν. μηδεὶς ραθυμήσας ἔξω μείνῃ. ὁρᾶτε, ἰδοὺ προλέγω ὑμῖν καὶ προσκαλοῦμαι πάντας. μὴ ἀποκλείσω ὑμῖν τὰς θύρας τῆς βασιλείας Μου διὰ τὴν σκνιφίαν[1] [2]— καὶ ἀσπλαγχνίαν καὶ ὀκνηρίαν ὑμῶν —[2] καὶ τὴν φιληδονίαν καὶ τὴν νωθρότητα ὑμῶν, μὴ διὰ παντὸς εἰς τὰ γήϊνα ἔχητε τὸν νοῦν ὑμῶν καὶ τὴν ἄκαιρον φροντίδα εἰς τὸ τί φαγεῖν καὶ πιεῖν καὶ ἐνδύσασθαι, καὶ ἀποθησαυρίσητε ὕλην τῷ αἰωνίῳ πυρί. καὶ μὴ παντὶ τρόπῳ σπεύσητε πληροῦν τὰς ἡδονὰς ὑμῶν καὶ κατακόπτεσθε ἀκαίρως εἰς πράγματα ἀνόνητα. τὰ δὲ πρόβατα ὑμῶν καὶ τὰ ἐμπιστευθέντα ὑμῖν ποίμνια λογικὰ παρορᾶτε καὶ ψυχικῶς ἀπόλωνται. ἰδοὺ Ἐγὼ Κύριος Ἰησοῦς Χριστὸς, ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ καὶ Πατρός, ὁ ἐπὶ Ποντίου Πιλάτου σταυρωθεὶς καὶ ἐξηγόρασας ὑμᾶς πάντας τῷ ἰδίῳ αἵματι, Αὐτὸς Ἐγὼ λέγω ταῦτα ὑμῖν, ὅτι ἀντ' Ἐμαυτοῦ κατέστησα ὑμᾶς εἰς τὴν ποίμνην Μου, ὥστε διδάσκειν ταύτην ὑμῖν, καὶ διὰ τοῦ λόγου ὑμῶν καὶ διὰ τοῦ ἀμέμπτου βίου ὑμῶν τὴν ὁδὸν τῆς σωτηρίας, καὶ ῥύεσθε αὐτοὺς ἀπὸ τοῦ φάρυγγος τοῦ νοητοῦ λύκου. καὶ μακάριοί ἐστε, ἐὰν ποιῆτε οὕτως. εἰ δὲ μή, — γινώσκετε, ὅτι τὰς ἐξ αἰτίας ὑμῶν ἀπολλυμένας ψυχὰς ἀφ' ὑμῶν μέλλω ἐπιζητῆσαι, καὶ τότε οὐ φείσομαι οὐδενὸς ὑμῶν, εἰ καὶ νῦν ἀγαθὸς ὢν μακρουθυμῶ ἐφ' ὑμῖν τὴν ἐπιστροφὴν ὑμῶν ἀναμένων καὶ τὴν μετάνοιαν. καὶ ταῦτα μὲν ἐρεῖς τοῖς τῶν ἐκκλησιῶν Μου παρεστῶσι, τῶν τε του ἱερατικοῦ τάγματος καὶ τῶν τοῦ μοναδικοῦ καὶ τῶν ἐξ ἐπιτροπῆς αὐτῶν ψυχικὰς διοικήσεις ἀναδεχομένων λαϊκῶν. τοῖς δὲ ἁμαρτίαις συνεχομένοις καὶ πτῶμα κειμένοις χαλεπὸν τῷ διαβόλῳ καὶ πᾶσι τοῖς ἀπεγνωσμένοις ἀπὸ αἰσχροπραγίας καὶ βορβόρου τῶν ἡδονῶν αὐτῶν καὶ μὴ δυναμένους ἀνανεῦσαι καὶ αἰτήσασθαι περὶ ἀφέσεως ἁμαρτιῶν αὐτῶν,—καὶ πᾶσι τοῖς τοῦ λαοῦ ταῦτα ἐρεῖς·—ἰδοὺ Ἐγὼ ζῶ, Κύριος, οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν εἰς τοὺς αἰῶνας. ἐγέρθητε οὖν, ἐγέρθητε, ἐνωτισάμενοι ταῦτα πάντα, μὴ φοβῆσθε εἰς τὰς ἁμαρτίας ὑμῶν ἀποβλέποντες, ὅτι Ἐγὼ ἀγαθός εἰμι, ἐξομολογήσασθε, κλαύσατε μετανοοῦντες. μετάδοτε τοῖς δεομένοις ἀπὸ τῶν ὑπαρχόντων ὑμῖν[3]. παύσασθε τοῦ λοιποῦ ἀπὸ τῶν πονηριῶν ὑμῶν, σχολάσατε ἐν

---

[1] σκυφίαν

[2—2] нѣтъ.

[3] ὑμῶν.

προσευχαῖς οἴκοις, ἄφετε τοῖς εἰς ὑμᾶς τι πλημμελήματι. κἀγὼ Κύριος ὁ Θεὸς ὑμῶν ἀσμένως δέξομαι πάντας ὑμᾶς καὶ ἐλεήσω ὑμᾶς. καὶ οὐ μόνον ἀφήσω ὑμῖν τὰ πλημμελήματα ὑμῶν, ἀλλὰ καὶ στολὴν ἀφθαρσίας καὶ δικαιοσύνης ἐνδύσω ὑμᾶς ἐν τῇ ἀναστάσει, καὶ εἰσάξω ὑμᾶς πάντας ἐν τῇ ἡτοιμασμένῃ ὑμῖν βασιλείᾳ τῶν οὐρανῶν, καὶ τῶν ἀπορρήτων καὶ ἀθανάτων Μου ἀγαθῶν ἐμπλήσω ὑμᾶς. μόνον ἀνάστητε τῶν παθῶν ὑμῶν, μὴ ὁ θάνατος ἀμετανοήτους ἁρπάσῃ ὑμᾶς καὶ ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθάνητε, καὶ ἡ εἰς ἐμὲ πίστις ὑμῶν οὐδὲν ὠφελήσει ὑμᾶς ἐν τῇ κρίσει Μου. ἰδοὺ ἐγὼ ὁ Κύριος δίκαιος καὶ δικαιοσύνης ἀγαπῶν. καὶ φιλανθρωπία Μου καὶ τὸ ἔλεός Μου ἐπὶ τοὺς ἁμαρτωλοὺς ἐκκέχυται μὲν ἀεὶ καὶ τὰ σπλάγχνα Μου ἀνεῳγμένα εἰσὶν ἐπὶ πᾶσι τοῖς ποιήμασί Μου, καὶ πλέον τοῖς πιστεύσασιν εἰς τὸ ὄνομα Μου τὸ τρισυπόστατον, δι' οὓς καὶ ἐσταυρώθην καὶ τὰ ἀπὸ τῶν ἀπειθῶν Ἰουδαίων εἰς Ἐμὲ εἰργασμένα μακροθύμως ὑπέμεινα, ἐν τῷ παρόντι δὲ βίῳ ταῦτα ἐδείκνυ μοι, καὶ ἕως οὗ ἡ ψυχὴ συνέζευκται τῷ σώματι τῷ ἰδίῳ, μεθ' οὗ συνέπραξε τὰ κακὰ καὶ μεθ' οὗ μέλλει Μοι παραστήσεσθαι ἐν τῇ κρίσει Μου πρὶν οὖν ὁ δεσμὸς οὗτος λυθῇ, ἵλεως ἔσομαι πᾶσι τοῖς μετανοήσασι καὶ ἐξομολογημένοις καὶ ἀφήσασι τοῖς εἰς αὐτοὺς ἁμαρτήμασιν, ἐπεὶ μετὰ τὸ λυθῆναι τὸν δεσμὸν οὐκέτι μετάνοια, οὔτε δάκρυον, οὔτε παράκλησις ἁμαρτωλοῦ τὸ σύνολον ἐνεργεῖ ἢ τούτων ὅλως ὀνίνησιν. κἀγὼ δὲ ἀπότομος καὶ ἀπαράκλητος εὑρεθήσομαι Κριτὴς αὐτῶν ἐν τῇ κρίσει Μου, καὶ τῶν δακρύων καὶ ὀλολυγμῶν αὐτοῦ οὐκ ἐπιστραφήσομαι. ἰδοὺ προείρηκα ὑμῖν. τοῦ λοιποῦ οὖν οὐκ Ἐγὼ, ἀλλ' ὑμεῖς κριταὶ ἑαυτῶν ἔσεσθε, οὐδὲν γὰρ Ἐγὼ τῶν ἐνδεχομένων ἀπέκρυψα ἀφ' ὑμῶν, ὅπου θέλετε πορεύεσθαι, εἴτε εἰς αἰώνιον ζωὴν καὶ βασιλείαν ἀθάνατον καὶ ἀδιάδοχον, ἢ εἰς κόλασιν αἰώνιον καὶ γέενναν πυρὸς ἀσβέστου καὶ θάνατον τῷ ὄντι θάνατον. ἰδοὺ Ἐγὼ Κύριος, ζῶ εἰς τοὺς αἰῶνας σὺν τῷ Πατρὶ καὶ τῷ Πνευματί Μου τῷ ἁγίῳ ταῦτα πάντα εἴρηκα καὶ ποιήσω. ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι Μου οὐ μὴ παρέλθωσιν, ἀμήν. ἀμήν,—λέγω ὑμῖν".

παυσαμένου δὲ Αὐτοῦ, ἦνεσαν Αὐτὸν πᾶσαι αἱ ἅγιαι δυνάμεις αὐτῶν. καὶ ἡμεῖς ἀναστάντες τοῦ ἐδάφους οὗ ἦμεν κείμενοι ἔμπροσθεν τῆς δόξης Αὐτοῦ, Αὐτόν μὲν εἰσεληλυθότα εἴδομεν ἔνδον τῆς ἁγίας καὶ θαυμαστῆς ἐκείνης [1—μεγάλης πόλεως—1] σὺν πάσῃ τῇ περὶ αὐτῶν δορυφορίᾳ καὶ δόξῃ, τὰς δὲ πύλας πάσας τῆς πόλεως ἀνεῳγμένας, καθορῶμεν καὶ ἀναπετασμένας, ὅθεν ἐμνήσθημεν τῆς προφη-

[1—1] μεγαλοπόλεως.

τικῆς φωνῆς τοῦ Ἡσαίου, λεγούσης περὶ αὐτῆς οὕτως· "οὐ κλεισθήσονται αἱ πύλαι σου, Ἰερουσαλὴμ ἡμέρας τε καὶ νυκτός. καὶ ἀλλογενεῖς οὐκέτι διελεύσονται διὰ σοῦ". ἐγλιχόμην δὲ καὶ αὐτὸς εἰσελθεῖν ἐντὸς αὐτῆς καὶ ἱκετεύων περὶ τούτου τὸν καθοδηγοῦντά με θεῖον ἄγγελον, ἀλλ᾽ οὐ συνεχωρεῖτό μοι τοῦτο, ὡς ἀδύνατον ὂν τοῖς ἔτι τῇ φθορᾷ καὶ πάθεσι σαρκικοῖς ἐνεσχημένους. ἐγὼ τε τοιγαροῦν καὶ ταῦτα κατ᾽ ἐμαυτὸν διελογιζόμην, ὁπηνίκα ὁ Κύριος πρός με τοὺς Ἑαυτοῦ λόγους ἐποιεῖτο, ὅτι νῦν ὡς ὁρῶ τῆς τοῦ παλαιοῦ κόσμου ἐναλλαγῆς γενομένης καὶ ἐκ φθορᾶς εἰς ἀφθαρσίαν πάντων μετενηνεγμένων, ποίαις ἐκκλησίαις καὶ τίσι προεστῶσιν αὐτῶν ἐντέλλεταί μοι ὁ ἀγαθὸς Κύριος ταῦτα διαμαρτύρασθαι καὶ εἰπεῖν. καὶ γὰρ ὡς ὕπαρ καὶ οὐκ ὄναρ ταῦτα πάντα ὑπελάμβανον κατιδέσθαι καὶ οὐκ ὀπτασίαν, ἀλλὰ τῷ ὄντι καθαρὰν ἀλήθειαν ταῦτα εἶναι ἐλογιζόμην [1].

ἐλθόντος μου τοιγαροῦν εἰς ἑαυτὸν ἐλογιζόμην ἀπὸ τῆς φρικτῆς ἐκείνης ἐκστάσεως καὶ θεωρίας, καὶ τὴν διόπτραν τῶν θεαθέντων μοι ἀναλογιζομένου, ἔκστασις ἄλλη ἐπ᾽ ἐκστάσει καὶ φόβος ἐπὶ φόβῳ με αἱρεῖ. καὶ ἐδόκουν τοῖς καθορῶσί με παραπλήξ τις καὶ φρενόληπτος γεγονέναι. ὅθεν καὶ ἐφ᾽ ὅλαις ἑπτὰ ἡμέραις ἔκρινα δέον εἶναι ἀπρόιτον διαμεῖναί με καὶ φροντίσιν ἄλλαις βιωτικαῖς μηδοπωσοῦν ἀσχοληθῆναι, ἀλλὰ σχολάσαι καὶ πάντα τὰ ὁραθέντα μοι σχεδιάσαι καὶ θέσθαι τοῖς πᾶσι δῆλα ταῦτα κατὰ τὴν τοῦ Κυρίου ἐπιταγὴν εἰς πολλῶν τῶν ἐντυγχανόντων ὠφέλειαν καὶ εἰς δόξαν τοῦ μεγαλοπρεποῦς καὶ ἁγίου Αὐτοῦ ὀνόματος, ὅτι Αὐτοῦ ἐστιν ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις σὺν τῷ Ἀνάρχῳ Πατρὶ καὶ τῷ Παναγίῳ Πνεύματι, [2—νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν—2].

ὁ δὴ καὶ πεποίηκα, πατέρες καὶ ἀδελφοί, τῇ Αὐτοῦ χάριτι δυναμούμενος. καὶ ἰδοὺ ὡς ὁρᾶτε τράπεζαν πλήθουσαν ἀγαθῶν, ὧν ὁ Κύριος δι᾽ ἐμοῦ τοῦ ρυπαροῦ καὶ ἀκαθάρτου κόρακος τὴν χορηγίαν ὡς ἐπὶ Ἠλίου γενέσθαι εὐδόκησε παρεθέμην ὑμῖν τοῖς καλοῖς δαιτυμόσι. πολλὰ γὰρ ἀγαθὰ καὶ ἐξαίρετα ἐν αὐτῇ πρόκειται πᾶσιν ὑμῖν, ἱκανὰ βέλη ψυχωφελῆ φόβου θείου καὶ πόθου ταῖς ὁσίαις ὑμῶν ἐντεῦθεν ἐμπήγνυνται ψυχαῖς, οἶνον κατανύξεως καὶ μελέτην θειοτέραν νοὸς καὶ δρόσον νοητὴν οὐράνιον ἐπώμβρισα ὑμῖν, ὡς δι᾽ ἐσόπτρου ἀμυδρῶς πως ὑπέδειξα ὑμῖν τὰ κάλλη τὰ ἐπουράνια καὶ τὴν τῶν ἁγίων ἀγγέλων εὔτακτον ὑπακοὴν καὶ ὑποταγὴν καὶ εὐπρέπειαν. καὶ ἵνα μὴ τὰ καθ᾽ ἕκαστον λέγων μηκύνω τὸν λόγον, ὡς δυνατὸν ἦν ἀνθρωπίνῃ διανοίᾳ καὶ λογικοῖς δεσμοῖς περὶ τῶν ἀρρήτων καὶ ἀθεάτων

[1] доб. ἕως ὧδε ἡ φοβερὰ θεωρία

[2—2] нѣтъ.

καταλαβεῖν καὶ διηγήσασθαι παρέστησα ὑμῖν. οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χαρις τοῦ Θεοῦ ἡ ταῖς ὁσίαις εὐχαῖς καὶ πρεσβείαις τοῦ θεοφόρου ἁγίου μου πατρὸς δοθεῖσά μοι. ὑμεῖς οὖν λάβετε φάγετε εἰς κόρον ἐξ αὐτῶν ἐμπλήσθητε καὶ ἑτέρους μετάδοτε καὶ δι' ὑμῶν αὐτῶν καὶ δι' ἑτέρων πολλῶν τὸ τοῦ Δοτῆρος τούτων καὶ πάντων τῶν ἀγαθῶν ἅγιον[1] ὄνομα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεγαλυνέσθω καὶ ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἐν ταῖς ἁγίαις ὑμῶν προσευχαῖς μνείαν ποιείσθε, ὡς ἂν ἐλέους τύχω καὶ ἀφέσεως τῶν ἁμαρτιῶν μου ἐν ἡμέρᾳ κρίσεως.

τούτων οὕτως τῇ τοῦ Κυρίου χάριτι ὑπ' ἐμοῦ συγγραφέντων καὶ εὐκαιρίας προσγινομένης μοι ἀπελθεῖν ἠθέλησα πρὸς τὸν ἐν ἁγίοις πατέρα μου τὸν θεοφόρον ἅμα μὲν ἐπισκεψόμενος αὐτόν, ἅμα δὲ καὶ περὶ τῆς τοιαύτης ὀπτασίας αὐτῷ κοινωσάμενος. καὶ δὴ παραγενομένου πρὸς αὐτὸν καὶ μετὰ τὴν συνήθη γονυκλυσίαν καὶ εὐχὴν κελεύσει ἐκείνου καθεσθέντος, ἤρξατο ὁ ἅγιος γέρων δάκρυα τῶν ὀφθαλμῶν αὐτοῦ ἀστακτὶ καταφέρων ὑφ' ἡδονῆς καὶ ἓν καθ' ἓν τῶν θεαθέντων μοι ὡς πρὸς ἑαυτὸν δῆθεν διαλογιζόμενος ὑπομιμνήσκειν με, καὶ φησὶ πρός με· „μακάριος εἶ, τέκνον Γρηγόριε, τηλικαύτης θεωρίας ἀξιωθείς. γίνωσκε τοιγαροῦν, ὅτι ἀφ' ἧς ἡμέρας ἠτήσω σε ὀπτασίαν περὶ τῆς τῶν Ἰουδαίων πίστεως ἰδέσθαι τινά, οὐ διελιπον δεόμενος τοῦ Θεοῦ, ὅπως τὴν τοιαύτην σου ἐκπληρώσει ὁ Ἀγαθὸς αἴτησιν. καὶ ἰδοὺ τεθέασαι θαυμαστὰ καὶ ἔνδοξα καὶ τῷ ματαίῳ τούτῳ κόσμῳ ἄπιστα καὶ ἀχώρητα. Κύριος γὰρ ὁ Θεὸς ὁ μόνος ἀγαθὸς καὶ κηδεμὼν τῆς σωτηρίας ἡμῶν δέδειχε καὶ ἀπεκάλυψέ σοι αὐτά εἰς σὴν πρῶτον, εἶτα καὶ πολλῶν ἑτέρων ὠφέλειαν καὶ σωτηρίαν, τῶν ἐν ἀκεραιότητι καὶ εὐθύτητι γνώμης δεχομένων τῶν λόγων σου, σπεῦσον οὖν ἐκπληρῶσαι πάντα τὰ ὑπὸ τοῦ Κυρίου λαληθέντα σοι. καὶ ἐπεὶ ἐγγὺς ἤδη καὶ ἐπὶ θύραις ἡ ἐμὴ ἐκδημία ἐστίν ὡς περὶ τούτου ὁ αὐτὸς Κύριος σαφῶς ἐφανέρωσέ μοι, μέλλεις δὲ καὶ τὸν ἐμὸν ἐλεεινὸν ἀναγράψασθαι βίον—τοῦτο γάρ σοι δι' ἐφέσεως οἶδα πέφυκεν ὅτι πλείστης—ἐθέλησον πάντα κατὰ τὴν ἐκ Θεοῦ δοθησομένην σοι χάριν ἡνωμένως τε καὶ κατ' ἀκολουθίαν φιλοπονῆσαι καὶ ἀναγράψασθαι, καὶ δῆλα ταῦτα θέσθαι ταῖς μετέπειτα γενεαῖς εἰς δόξαν μὲν καὶ εὐχαριστίαν τοῦ ταῦτα οἰκονομοῦντος εἰς σωτηρίαν ἡμετέραν Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ὃν δὲ ἵνα εἴπω καὶ ἐμὸν ἐν τῇ ἡμέρᾳ τῇ μεγάλῃ καὶ ἐπιφανεῖ καύχημα ἐν Κυρίῳ καὶ ἔπαινον. πολλαὶ γὰρ θεοφιλεῖς ψυχαὶ ἐντεῦθεν τὰ μέγιστα ὠφεληθή-

[1] ἁγίων

σονται καὶ πρὸς θεῖον ἔρωτα καὶ πόθον τῶν αἰωνίων ἀγαθῶν διεγερθήσονται. καὶ τὸν Κύριον ὅλως ποθήσουσι καὶ τῶν παρόντων ἡδέων ὡς ματαίων καταφρονήσουσι, καὶ πρὸς τὰ μέλλοντα τὴν ἑαυτῶν ἔφεσιν μεταστήσουσι καὶ ὁδὸν ζωῆς ἐκζητήσουσι καὶ ἑαυτοὺς βιάσονται πορευθῆναι ἐν αὐτῇ ὡς ἂν ὀλίγοις πόνοις καὶ βραχέσι θλίψεσι βασιλείαν οὐρανῶν κτήσονται καὶ τῶν αἰωνίων ἀγαθῶν καὶ ἀθανάτων τὴν διηνεκῆ ἀπόλαυσιν. ἀλλὰ καὶ σύ, τέκνον Γρηγόριε, μὴ θαρρήσας τῇ εἰς σὲ γεγενημένῃ οἰκονομίᾳ τοῦ Θεοῦ ἀποκαλύψει ἐπαρθῇς καὶ ἀμελῶς καὶ καταφρονητικῶς διάξῃς τὰς ἡμέρας σου. γίνωσκε, ὅτι οὐ μόνον ἐντεῦθεν ὠφεληθῇς, ἀλλὰ καὶ μᾶλλον βαρυτέρως κολασθῇς. πρόσεχε δὲ διαπαντὸς σεαυτῷ πῶς περιπατεῖς ἐν ὁδῷ βασιλικῇ ἢ ἐν τῇ ἐναντίᾳ, καὶ καθ' ἑκάστην ἐρεύνα ὥσπερ καλὸς τραπεζίτης καὶ δοκιμώτατος ἔμπορος, καὶ τὸ κέρδος τῆς ψυχῆς σου καὶ τὴν ζημίαν, καὶ σπούδαζε ἀεὶ ἐπαύξειν σου τὸν πλοῦτον τὸν ψυχικόν τὸν τοῦ Θεοῦ φόβον διὰ παντὸς ἔχε ἐν τῇ καρδίᾳ σου ἀνεξάλειπτον. τοῦτο δὲ οὐκ ἄλλως γενήσεταί σοι, εἰ μὴ διὰ τῆς τοῦ θανάτου διηνεκοῦς μνήμης καὶ τῶν θαυμασίων τῶν ὑπὸ τοῦ Κυρίου δειχθέντων σοι ἔσῃ σχολάζων διὰ παντός ἐν τούτοις ἴσθι ἐν οἷς ἔμαθες καὶ ἀκριβῶς ἐπιστεύθης διηνεκῶς. ἐν αὐτοῖς μελέτα τὰς τοῦ Κυρίου ἐντολὰς ἃς οἶδας τήρει, καὶ πρὸ πάντων τὰς δύο ταύτας·—τὸ μὴ κρῖναί τινα ἁμαρτάνοντα καὶ τὸ μὴ μνησικακῆσαί ποτε τινί θλίψαντί σε. καὶ ἐντὸς εὑρεθείσῃ τῆς βασιλείας τῶν οὐρανῶν. σὺ γὰρ τῇ τοῦ Κυρίου χάριτι διδαχῆς περισσοτέρας καὶ παραινέσεως[1] ἐξ ἐμοῦ τοῦ λοιποῦ οὐδαμῶς προσεπιδέῃ. αὐτοῦ τοῦ Κυρίου φωτίσαντος τοὺς τῆς ψυχῆς σου ὀφθαλμοὺς καὶ εἰς πάντα συνετίσαντός σε τὰ αἱρετὰ καὶ φευκτά. καὶ ἀκριβῶς οἶδας ὡς τὰ παρόντα ὅσα ὑπὸ τὴν αἴσθησιν πέφυκε ῥευστὰ καὶ ταχὺ παρερχόμενα καπνοῦ δίκην καὶ κόνεως ἀνεμιζομένης κἂν τε τὰ ἡδύνοντα κἂν τε τὰ λυποῦντα φαίη τις. ἡ αὐτὴ γὰρ καὶ ἀμφοτέροις φύσις ἐστί. μόνα δὲ ἐκεῖνα καὶ μόνιμα καὶ διαρκῆ καὶ τὴν αἴσθησιν ἔχοντα ἀθάνατον καὶ ἄϊδιον, τὰ μὴ βλεπόμενα μὲν τοῖς αἰσθητοῖς ὀφθαλμοῖς, φαινόμενα δὲ πάσῃ ψυχῇ μετὰ τὴν ἀπὸ τοῦ σώματος τούτου διάζευξιν, ἃ καὶ αὐτὸς κατὰ τὴν τοῦ Κυρίου χάριν καὶ πρὸ τοῦ κοινοῦ θανάτου ἑώρακας, ταῦτα πόθησον, ἐκεῖνα ἀγάπησον καὶ ὁλοψύχως ἀγώνισαι, ὥστε καταλαβεῖν τὰ τοῖς δικαίοις ἡτοιμασμένα εὐάρεστός τε εὑρεθῆναι τῷ τούτων δικαίῳ πρυτάνει καὶ διανομεῖ καὶ ἀπροσωπολήστῳ καὶ ἀθανάτῳ Κριτῇ καὶ σὺν Αὐτῷ κλῆρον σχεῖν ἐν τῇ αἰωνίῳ βασιλείᾳ. σπούδασον δὲ ὅλῃ ψυχῇ καὶ γνώμῃ, πάσῃ σου

[1] πάσης συνέσεως.

τῇ ἰσχύι ἐκφυγεῖν τὰ τοῖς ἁμαρτωλοῖς καὶ πᾶσι τοῖς ἀσεβέσι καὶ κακοδόξοις ἀποκείμενα αἰώνια κολαστήρια, ἃ καὶ αὐτὰ κατεῖδον οἱ νοεροί σου ὀφθαλμοί, καὶ ὀπηνίκα τοῦ σώματος διαζευχθῆς, εἰσδέξομαί σε εἴπερ ἐλέῳ Θεοῦ ἔξω τινὰ παρρησίαν ἐκεῖ, καὶ ἔσῃ ἀδιάσπαστος εἰς αἰῶνας μετ' ἐμοῦ. τοῦ λοιποῦ οὖν ἄπιθι, τέκνον, ἐν εἰρήνῃ εἰς τὸν οἰκόν σου. οὐκέτι γὰρ οἱ αἰσθητοί σου ὀφθαλμοὶ σωματικῶς ὀψονταί με ἐν τῷ παρόντι βίῳ". καὶ ἅμα τῷ λόγῳ περιχυθεὶς κατησπάσατό με γνησίως καὶ ἱλαρῶς.

ἐγὼ δὲ τούτων τῶν λόγων ἀκούσας, καὶ πρώην μὲν δεδακρυμένως καὶ εὐλαβῶς ὡς ἀπὸ στόματος Θεοῦ ἐξερχομένων τῶν τοιούτων θείων καὶ διορατικῶν κατηχήσεων νενευκὼς εἰς γῆν μετὰ φόβου ἐπηκροώμην ἐπεὶ δὲ ἀκοῦσαί μοι ὡς οὐκέτι ὄψει με ἐν σαρκὶ ὡς τὸ πρότερον, ἄφνω διωλύγιον ὑπὸ τοῦ σφοδροτάτου κλαυθμοῦ συνωθούμενος ἀνεβόησα „ὦ καλὲ πάτερ, καὶ πῶς ὑποισω τὸν σὸν χωρισμὸν ἢ τίνα ἔξω ἀντὶ σοῦ τὸν ὁδηγοῦντα καὶ ἀντιλαμβανόμενόν μου τῆς ἀσθενείας ἔν τε τοῖς τῆς σαρκὸς πάθεσιν, ἔν τε ταῖς τῶν δαιμόνων ἐπιβουλαῖς, ἔν τε τοῖς ἄλλοις βιωτικοῖς πράγμασιν, οἷμοι τῷ ταλαιπώρῳ, οἷον ἀκοὴν ἀπευκταίαν εἰσδέδεγμαι νῦν"

καὶ ὁ ἅγιος ἠρέμα πως κατέστρεψε καὶ οἷον ἀνέστελλέ μου τὸν θρῆνον καὶ φησίν· „μηδαμῶς, ὦ τέκνον, οὕτως ἐπὶ τῇ ἐμῇ ἐπιδημίᾳ οὕτως ἀπαρηγόρητα κόπτῃ καὶ θρηνεῖς. οὐ γὰρ θρηνεῖν, ἀλλὰ χαίρειν χρὴ καὶ εὐχαριστεῖν, ὅτι ἠλέησεν ἡμᾶς ἀπὸ τοῦ ματαίου τούτου καὶ πολυστενάκτου βίου πρὸς τὴν ἄλυπον καὶ μακαρίαν ζωήν, ᾗ οὐχὶ πᾶσα ἀνωμαλία καὶ ζάλη καὶ ταραχὴ ἐντεῦθεν ἐγγίνεται τῇ δεσμίῳ καὶ ταλαιπώρῳ ψυχῇ οὐχὶ ὡς ἐν πελάγει καὶ κλύδωνι καὶ δεσμοῖς ἐν φόβῳ καὶ τρόμῳ καὶ κοπετῷ διηνεκεῖ ἐνταῦθα διάγομεν, ὑφορώμενοι διηνεκῶς τὰς τῶν δαιμόνων ἐπιβουλάς, τὰς τῶν παθῶν ἐπαναστάσεις, τὰς τῶν ἀέρων καὶ κράσεων ἀνίας, τὰς ἐκ τῶν πέλας ὀχλήσεις, τὰς ἐκ συμπαθείας τῶν ἀδελφῶν ἡμῶν ὀδύνας, τὰς αὐτοῦ τοῦ σώματος ἀνάγκας, ὧν πάντων λυτροῦται ὁ ἄνθρωπος καὶ ἀπαλλάττεται τοῦ σώματος διαζευχθείς, καὶ ἀπέρχεται πρὸς ζωὴν ἀθάνατον καὶ τούτων πάντων ἀπηλλαγμένων, καὶ πρὸς αὐτὸν ἀφικνεῖται τὸν Πλάστην καὶ Θεόν. εἰ δὲ διὰ τὴν στέρησιν τῆς ἐξ ἡμῶν ὠφελείας λέγεις ἀνιᾶσθαι, ἀλλ' οὐ τοσοῦτον δεῖσθαι καὶ διὰ τοσοῦτον θρηνεῖν Θεὸν κτησάμενον διδάσκαλον ἤδη καθηγητὴν καὶ βοηθὸν ἔχειν αὐτὸν διηνεκῶς καὶ συλλήπτορα ὁλοκαρδίως πιστεύσαντα. ἀλλ' οὐδέ ἡμεῖς Αὐτοὶ εἴπερ ὁλοκαρδίως ἱκανοὶ παρὰ τῷ Θεῷ εὑρεθησόμεθα αὐτοῦ εὐδοκοῦντος τέλεον σοῦ ἀποστησόμεθα. ἀλλὰ καὶ δι' ὀνείρων καὶ δι' ἐπιστασίας τῆς ἐν θεωρίᾳ τοῦ σοῦ νοὸς συνεχῶς ἐποφθησόμεθά σοι καὶ συνετι-

οὖμεν εἰς πάντα καὶ μᾶλλον ἐάν περ καὶ αὐτὸς τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν τὴν τῶν ἁγίων διηνεκῶς ἀγαπήσας ὁδεύειν καὶ μὴ ταῖς τοῦ κόσμου ματαίαις[1] ἡδοναῖς θελήσεις συναπαχθῆναι, καὶ τὸν ἐν σοι ἤδη ἀναφθέντα θεῖον πυρσὸν τῆς τοῦ Κυρίου ἀγάπης καὶ τῶν ἔρωτα τῶν ἀϊδίων ἀγαθῶν ταύταις συγκαταχώσῃς καὶ τέλεον ἀποσβέσῃς. ὥσπερ γὰρ φλὸξ ὑπὸ τοῦ ὕδατος ἀποσβέννυται, οὕτως ὁ κατὰ Θεὸν ψυχικὸς ἔρως ὑπὸ τῶν ἡδονῶν καὶ βιωτικῶν θορύβων ἐμπνίγεται καὶ ἀπόλλυται. ἀλλὰ μή σοί γε οὕτως γένοιτο, τέκνον ποθεινότατον κύρη Γρηγόριε. ἄπιθι γοῦν ἐν εἰρήνῃ. ὁ Κύριος εἴη μετὰ σοῦ. ἀμήν".

οἴκαδε τοίνυν ἐμοῦ ἀνακεχωρηκότος, μετ' ὀλίγον καιρὸν κατέλαβον αἱ ἡμέραι τῆς ἁγίας τεσσαρακοστῆς, ἐν αἷς εἴωθα ἀπρόϊτος τὸ καθόλου διατελεῖν, καὶ μόναις ταῖς θείαις ὑμνῳδίαις καὶ ταῖς τῶν θείων γραφαῖς μελέταις σὺν νηστείᾳ καὶ δάκρυσιν ἀεννάως, καὶ ταῖς κατὰ δύναμιν γονυκλυσίαις ἀδολεσχεῖν.

καὶ ἤμην ἡσυχάζων ἄχρι τῆς λαμπρᾶς κυριακῆς τῆς ἁγίας καὶ ζωοποιοῦ Ἀναστάσεως. [2—ὅλης—2] τῆς ἁγίας τεσσαρακοστῆς βαλλόμενος τῆς περὶ τῆς ἐκδημίας τοῦ θεοφόρου καὶ ἁγίου μου Πατρὸς λογισμοῖς καὶ καιρίως ὑπὸ τῆς λύπης τὴν καρδίαν πληττόμενος καὶ δάκρυα τῶν ὀφθαλμῶν ἀστακτὶ καταχέων ἰσόρροπα τῷ βραχυτάτῳ ὕδατι, οὗ μεταλάμβανον εἰς διαρκῆ πῆξιν καὶ οἰκονομίαν τῆς συστάσεως τοῦ ἰδίου μου σώματος. τῇ δὲ τρίτῃ καθ' ἣν ὁ Κύριος καὶ Θεὸς ἡμῶν ἐκ νεκρῶν ἀναστὰς τοῖς ἁγίοις μαθηταῖς Αὐτοῦ καὶ ἀποστόλοις ὤφθη ἐν τῇ Γαλιλαίᾳ, ἀπάρας κἀγὼ τοῦ κελλίου μου, ἀπῆλθον ἔνθα δὴ καὶ κατέμενεν ὁ ἅγιός μου πατήρ, ἐλπίζων ἀπὸ τοῦ ἀφοδρόμου (sic) πρὸς αὐτὸν πόθου ἔτι ζῶντα τοῦτον καταλαβεῖν, καὶ ἔτρεχον τὴν ὁδὸν ἀνύων ἀπνευστὶ καὶ οἷα πτηνὸς ἐναγώνιός πως ὑπάρχων καὶ μετέωρος τῷ νοΐ.

ἐπεὶ δὲ κατέλαβον τὸν τόπον καὶ ἐπυθόμην τοὺς ἐν τῇ οἰκίᾳ, ἔμαθον, ὅτι κατὰ τὴν κς' τοῦ μαρτίου μηνός, ἤτοι μετὰ τὸ ἐκτελέσαι τὴν ἑορτὴν τῆς ἁγίας Θεοτόκου τοῦ εὐαγγελισμοῦ καὶ μεταλαβεῖν τῶν θείων καὶ ἀχράντων μυστηρίων, μεσαζούσης τότε τῆς ἁγίας τεσσαρακοστῆς, μικρόν τι τὴν κεφαλὴν ἀλγήσας, καὶ ἐπὶ τοῦ σκίμποδος ἐν ᾧ εἰώθει διαναπαύεσθαι ἀνακλιθείς, εἰς χεῖρας Θεοῦ τὴν ἁγίαν καὶ ὁλόφωτον αὐτοῦ παρέθετο ψυχήν, μνήμην ἄληστον καὶ ἀθάνατον τῷ μὲν βίῳ τούτῳ καταλιπὼν τὰς ἐνθέους αὐτοῦ πράξεις καὶ τὰ κατὰ δαιμόνων καὶ παθῶν καὶ νόσων παντοίων θεοπρεπῆ καὶ ὑπὲρ ἄνθρω-

[1] доб. ἀσχολίαις καὶ.

[2—2] δι' ὅλης

πον ἀριστεύματα καὶ τερατουργήματα, τῇ δὲ τῶν πρωτοτόκων ὁμηγύρει προσθήκη γενόμενος· τοῦ γοῦν τιμίου λειψάνου αὐτοῦ προκειμένου καὶ ὕμνοις καὶ ᾠδαῖς ταῖς ἐξιτηρίοις ὑπαδομένου, ἦν ὁρᾷν τὰ πλήθη τῶν πιστῶν ἀγεληδὸν ἢ παταμηδὸν εἰπεῖν οἰκειότερον συρρέοντα ἐπὶ τῇ προψαύσει τούτου, ἢ κἂν γοῦν αὐτῇ μόνῃ τῇ θέᾳ ἁγιασθῆναι. ὅθεν καὶ εἴ τίς τινος τῶν ἐκείνου ρακίων ἢ ἐσθημάτων ἢ ἁγίας τριχὸς τῆς μετασχούσης ἁγιωσύνης ἐκ τῆς ὁσίας ἐκείνου ἀφῆς ἔτυχεν εὐμοιρῆσαι, ὁ πάντων εὐδαιμονέστερος οὗτος τοῖς ἀκριβῶς εἰδόσι τὰ ἐκείνου ἐλογίζετο καὶ τῷ ὄντι μακαριστὸς ἐγένετο. καὶ ἐν ταῖς γλώσσαις πάντων ἐκ μέρει θαύματος ἔκειτο

ὁ γοῦν προμνημονευθεὶς Κωνσταντῖνος ὁ ἀπὸ βαρβάρων, ὃς εἶχε τὸν ὅσιον ἐν τῇ ἰδίᾳ οἰκίᾳ καὶ διανέπαυεν ἐσκέψατο καθ' ἑαυτόν, ἐν πλοίῳ τε εἰσαγαγεῖν τὸ τοῦ ἁγίου πανίερον λείψανον καὶ διαπορθμεύσασθαι τοῦτο εἰς τὴν κατ' ἀνατολὰς καταντικρὺ τῆς μεγαλοπόλεως διακείμενον αὐτοῦ προάστειον, ἐν ᾧ ναὸς τῆς ὑπεραγίας Θεοτόκου περιφανέστατος ᾠκοδόμητο, ὥστε καταθεῖναι τὸ τοιοῦτον ἅγιον λείψανον ἐν τούτῳ τῷ θείῳ ναῷ. ἀλλ' οὐκ εἴασεν αὐτὸν τοῦτο εἰς ἔργον ἀγαγεῖν ὁ Ἰωάννης ἐκεῖνος, οὗ πάλαι ἀνωτάτῳ τὸν λόγον ἐν τοῖς τοῦ ὁσίου πατρὸς ἡμῶν μερικοῖς θαύμασιν ἀπεμνημονεύσαμεν, ὃν ὁ ὅσιος ἡμῶν πατὴρ ἀπὸ τῆς παρὰ τῆς ἰδίας δούλης ἐπιγενομένης αὐτῷ δαιμονικῆς μάστιγος καὶ περιεργείας, παραδόξως ἐρρύσατο καὶ ὑγιῆ ἀπέδειξεν, εἰπὼν πρὸς αὐτόν· „ὦ κύριέ μου ποθεινότατε καὶ ἀδελφὲ Κωνσταντῖνε, ἵνα τί οὕτως περὶ τοῦ λειψάνου τοῦ ἁγίου ἡμῶν πατρὸς βεβούλευσαι, ὥστε παρὰ τὸ μὴ εἶναι μνήματα ἐν Κωνσταντινουπόλει, ἐν τῇ ἀνατολῇ διαπεράσῃς αὐτό; οὐκοῦν, εἰ κελεύεις, μὴ οὕτως γένηται, ἀλλ' ἐπίτρεψόν μοι κἀγὼ διακονήσω καὶ ἀξίαν ἐργάσομαι τὴν τοῦτου κατάθεσιν ἐν τόπῳ ἁρμοδίῳ καὶ τούτου κατ' ἀλήθειαν ἐπαξίῳ". καὶ ὡς ἠθέλησεν ἐπιτρέψαι αὐτῷ ποιῆσαι τὰ κατὰ τὸ ἴδιον βούλημα κἀκεῖνος μετὰ τὸ πάντα τὰ νενομισμένα ἐπὶ τῇ τοῦ ὁσίου κηδείᾳ τελεσθῆναι βαλὼν τὸ τούτου λείψανον τὸ ἅγιον ἐν ξυλίνῳ γλωσσοκόμῳ, μετεκόμισεν αὐτῷ ἐν δόξῃ καὶ δορυφορίᾳ τῇ προσηκούσῃ εἰς τὸ ἑαυτοῦ μοναστήριον, ὁ πλησίον μὲν τῶν ἁγίων[1] Φλώρου καὶ Λαύρου, καὶ τοῦ θείου ναοῦ τοῦ ἁγίου ἀποστόλου Φιλίππου διάκειται, [2] τὸ τοῦ χαρτοφύλακος δὲ καλεῖται καὶ ὑπὸ ἀσκητριῶν Θεῷ προσῳκειωμένων κατοικεῖται —[2] καὶ κατέθετο αὐτὸ τὸ τίμιον λείψανον[3] ἐντίμως ἐντὸς τοῦ ἁγίου θυσιαστηρίου, εὑρηκὼς εἰς ὑπο-

[1] доб. мартύρων.

[2–2] нѣтъ.

[3] нѣтъ

δοχὴν αὐτοῦ μαρμάρινον τάφον ἐκ καινῆς λελατομημένον. καὶ νῦν ἔστιν ἐν τῇ τοιαύτῃ μονῇ πηγὴ θαυμάτων καὶ ἀγαθῶν παντοίων παρεκτικὸν γνωριζόμενον.

ὁ γοῦν μνημονευθεὶς Ἰωάννης, μετὰ τὸ κηδεῦσαι τὸ τοῦ ὁσίου πατρὸς ἡμῶν σῶμα, ὑπερζέσας τῇ πρὸς ἐκεῖνον πίστει καὶ ἀγάπῃ καὶ θείῳ ἔρωτι ἀναφλεγεὶς τὴν ψυχήν, πάντα καταλιπὼν, καὶ δόξαν καὶ πλοῦτον καὶ ἡδονάς, καὶ παντὶ τῷ κόσμῳ ἀποταξάμενος, τὴν τε τρίχα ἀπεκείρατο καὶ τὰ τῶν μοναχῶν ράκη ἀμφιασάμενος, προσεκαρτέρει τῇ τοῦ ὁσίου θείᾳ σορῷ, ἄχρις οὗ καὶ αὐτὸς τὴν ἰδίαν ψυχὴν παρέδωκε τῷ Θεῷ, τὸν μετὰ τὴν ἀποταγὴν βραχύτατον χρόνον,—ἐνιαυτὸς γὰρ ἦν,—πάντα ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ εὐχαῖς σὺν ἐλεημοσύνῃ καὶ δάκρυσι διηνεκῶς, καὶ κατετέθη καὶ τὸ τούτου λείψανον ἐν τῇ τοιαύτῃ θείᾳ μονῇ. μετὰ δὲ τὸ τελευτῆσαι καὶ τοῦτον τὸν μακαρίτην Ἰωάννην, φίλος τις γνήσιος καὶ ἠγαπημένος αὐτῷ, παρ' ὅλον τὸν τῆς ζωῆς αὐτοῦ χρόνον, ἐπεὶ δὲ μάλιστα ἐπιθυμίαν ἔχων μαθεῖν τίνος ἀμοιβῆς ἠξιώθη ὁ τοιοῦτος ἀνθ' ἧς εἶχε θερμῆς πίστεως καὶ εἰλικρινοῦς ἀγάπης πρὸς τὸν ἅγιον, ἐν μιᾷ τῶν νυκτῶν, ἑστὼς ἐν προσευχῇ, γέγονεν ἐν ἐκστάσει καὶ θεωρεῖ παλάτια φοβερὰ βασιλείας, καὶ αἱ πύλαι τούτων εἰς ὕψος αἰρόμεναι στίλβουσαι ὡς ὁ ἥλιος ὁλόχρυσαι. καὶ ἐπὶ τῆς ἄνωθεν αὐτῷ ἐπικειμένης χρυσῆς φλιᾶς γράμματα ἐρυθρὰ ἐγκεκολαμμένα, ἐπὶ λέξεων οὕτως ἔχοντα· „αἰωνία μονὴ καὶ κατάπαυσις τοῦ γνησίου θεράποντός Μου Βασιλείου τοῦ Νέου". καὶ ἐπειδὴ ταῦτα κατανοῶν ἐκπληκτός τις καὶ ἐννεὸς ἵστατο, ἰδοὺ νεανίας τις τὴν ἰδέαν ἐξαίσιος τὰς πύλας τῶν ὁρωμένων αὐτῷ παλατίων προσανεπέτασεν, ἐν οἷς περισσότερον περιεργαζόμενος ἀτενίσας κατενόει τὰ ἔνδον μάλα σαφῶς. καὶ εἶδε φησὶν ἔνδοθεν τῶν ὡραίων τούτων πυλῶν περίαυλον ξένον καὶ θαυμαστόν, δόξαν κεκτημένον ὑπὲρ διήγησιν βρότειον, καὶ τὸν ὁσιώτατον πατέρα ἡμῶν Βασίλειον ἐν δόξῃ καὶ δορυφορίᾳ βασιλικῇ ἐν αὐτῷ περιπολεύοντα καὶ παρομαρτοῦντα σὺν ἄλλοις πλείοσιν ἔχοντα καὶ τὸν μαθητὴν αὐτοῦ κύρη Ἰωάννην, ὅς ἦν τῇ θέσει εὐνοῦχος ἔξωρος ἤδη τὴν ἡλικίαν γενόμενος καὶ αὐτὸν χιονοειδὲς τὸ πρόσωπον κεκτημένον καὶ ἀλλαγὴν πρεποσίτου ἠμφιεσμένον. καὶ ἐδόκει φωνῆς ἀκούειν ἀπὸ τῶν ἔνδον ἐξερχομένης καὶ ὑπηχούσης τὰ τῆς καρδίας αὐτοῦ ὦτα τοιᾶσδε· „τοιαύτας ἀμοιβὰς μετὰ θάνατον κομίζονται οἱ ὁλοψύχως τὸν Θεὸν ἀγαπήσαντες καὶ τοὺς θεράποντας[1] Αὐτοῦ τιμήσαντες ἐπαξίως καὶ ἀξιοῦνται τὸ εἶναι μετ' αὐτῶν καὶ συναπολαύει τῶν ἡτοιμασμένων αὐτοῖς ἀγαθῶν ἐξ αἰῶνας

[1] здѣсь обрывается Синодальный списокъ.

αἰώνων. εἰ οὖν βούλει καὶ αὐτὸς τῆς αὐτῆς τυχεῖν δόξης καὶ ἀναπαύσεως μὴ ὀκλάσῃς, μηδὲ ἀμελήσῃς ἐν τῇ ἐργασίᾳ τῶν τοῦ Κυρίου ἐντολῶν, καὶ μετὰ θάνατόν σου ἐλεύσῃ καὶ αὐτὸς ἐν ᾧ νῦν ὁρᾷς τόπῳ".

καὶ ἅμα εἰς ἑαυτὸν ἀπὸ τῆς τοιαύτης ἐκστάσεως ἐπανελθὼν ὁ δηλωθεὶς θεοφιλὴς ἀνὴρ διηγήσατο ἡμῖν ὅσα εἶδε καὶ ἤκουσε φιλαλήθως καὶ ἐπ' ἀληθείας ἀδελφοὶ ἐν Κυρίῳ ἠγαπημένοι, ὥσπερ καὶ αὐτοὶ Χριστοῦ χάριτι πεφωτισμένοι ὄντες, κρεῖσσον εἰ ὑμεῖς οἴδατε αὕτως ἔχει. καὶ ἡ περὶ τοῦτου μαρτυρία ἀπ' αὐτοῦ τοῦ εὐαγγελίου καὶ κυριακοῦ λόγου τὸ ἀξιόπιστον ἐπιφέρεται φάσκοντος οὑτωσί „ποιήσατε ὑμῖν ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν ἐκλίπητε δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνὰς αὐτῶν. μαμωνᾶς γάρ ἐστιν πᾶν τὸ τῆς ἀναγκαίας χρείας περιττόν, ὅπερ αὐτὸς ἀτέχων ἀδικεῖ τὸν χρείαν αὐτοῦ ἔχοντα καὶ τὰ μὴ δυνάμενον κτήσασθαι τοῦτο, ὃ αὐτὸς μὲν ἐπέκεινα τῆς χρείας μάτην καὶ εἰκῇ, ἢ κατὰ φειδωλίαν, εἴτουν ἀπιστίαν, ἢ περπερίαν, ἤτουν βλακείαν παρακατέχει. ὁ δὲ πλησίον αὐτοῦ πήγεται καὶ ἀποθνήσκει δι' αὐτό. τὸ δὲ ἐξ ἀγχόνης καὶ ἁρπαγῆς τοῦ πένητος δηλαδὴ συναγόμενον οὐκ ἔστι μαμωνᾶς". ὅθεν ὁ Κύριος ἐνετείλατο ἡμῖν ποιεῖν φίλους, ἄλλα μιάσματι καὶ ἄγος ἐπιβώμιον Θεὸν μὲν παροργίζων προσαγόμενον, εἰ μή που τις κατὰ τὸν τοῦ Ζακχαίου τρόπον τετραπλασίως τὴν ἁρπαγὴν ἀποδίδωσι τηνικαῦτα γὰρ ἱλεοῦται τὸν Θεὸν οὐ παροργίζει. τοὺς δὲ δαίμονας ἐπὶ πλεῖον οὐχ ἡδύνει. ὁ γοῦν ἐκ τετραπλασιασμοῦ τῶν ἁρπαγῶν καὶ ἐκ τοῦ περισσεύματος τῆς ἰδίας χρείας ὅ ἐστιν μαμωνᾶς ποιῶν φωταψίας εἰς τοὺς θείους ναοὺς τῶν ἁγίων καὶ μνημόσυνα αὐτῶν ἐτησίως ἐπιτελῶν καὶ διαδόσεις ἐν αὐτοῖς ποιῶν **πρὸς τοὺς πένητας, διὰ μόνην δόξαν Θεοῦ καὶ τιμὴν τῶν ἁγίων Αὐτοῦ καὶ οὐ διὰ τινα ἀνθρωπίνων,** ὁ τοιοῦτος ἀναμφιβόλως παρὰ **τῶν Αὐτοῦ ἠγαπηθέντων** ἁγίων προσδεχθήσεται μετὰ τὴν ἐνθένδε ἀποδημίαν, καὶ ἐν ταῖς αἰωνίοις σκηναῖς αὐτῶν σὺν αὐτοῖς ἀναπαύσεται καὶ αἰωνίως ἀγαλλιασθήσεται, κἂν τυχὼν ἀμελής τις καὶ ῥάθυμος καὶ ἐκ μέρους ἁμαρτωλὸς ὁ τοιοῦτος γέγονε τῇ τῶν ἁγίων πρεσβείᾳ καὶ τῇ ἐλεημοσύνῃ τῶν ἐπηρτιμένων αὐτῷ κολασέων ἐλευθερωθεὶς καὶ τοῖς ὑπὸ τοῦ ἀγαθοῦ Δεσπότου καὶ δικαίου Κριτοῦ ἀποχαρισθείς. εἰ δὲ ἀπὸ τοῦ μαμωνᾶ τῆς ἀδικίας τῆς εἰς τὸ τετραπλάσιον τῆς ἀνταποδόσεως τῶν ἁρπαγῶν γινόμενος εἰς τοὺς πένητας ἔλεος καὶ εἰς τοὺς ἁγίους εὐποιία, τοσοῦτον ἰσχύειν πέφυκεν, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν ὁ ἀπὸ δικαίων πόνων καὶ ἐπικτήσεων εὐσεβῶν εἰς τοὺς πένητας γινόμενος ποσαχῶς πλέον ὠφελεῖν οἶδε τοὺς ἐργαζομένους αὐτὸν εὔδηλον, ὅτι πολλαχῶς καὶ λίαν ἀσυγκρίτως. ὁ δέ γε τῆς ἐλεημοσύνης τρόπος οὐχ εἷς τίς ἐστιν καὶ ἀπὸ μόνης τοῖς τῶν ἀναγκαίων

καὶ χρειωδῶν μεταδόσεως γνωρίζεσθαι πέφυκεν, ἀλλὰ ποικίλος καὶ μυριότροπος τῷ ὄντι καθέστηκεν. εἰ γὰρ μὴ οὕτως εἶχε τὰ κατ' αὐτόν, οἱ μή δυνάμενοι μηδὲ ἔχοντες ἐκ μεταδόσεως ἐλεεῖν, ὑστεροῦντο ἂν καὶ τοῦ μακαρισμοῦ καὶ τῶν ἱερῶν καὶ τῶν μεγάλων τούτων ἀνταμοιβῶν. ὅθεν ὁ φιλάνθρωπος Θεὸς ἡμῶν καὶ Δεσπότης, μὴ θέλων τινὰ στερηθῆναι τῆς ἐξ αὐτοῦ ὠφελείας, οὕτως τὰς ὁδοὺς τῆς εὐποιίας ἐποίκιλε καὶ ἐπλάτυνεν, ὡς μηδένα ἄμοιρον τῶν ἐξ αὐτῆς ἀγαθῶν κατακλιμπάνεσθαι, ἀλλὰ κοινὰ ταῦτα πᾶσιν ἀνθρώποις κεῖσθαι, ἀέρος χύσιν καὶ ἡλίου φαῦσιν καὶ ἄστρων καὶ ὕδατος καὶ πυρὸς χρῆσιν. καὶ πρῶτον μὲν ἐν ταῖς διανοίαις τῶν ἀνθρώπων τέθεικεν οἷόν τινα θεμέλιον τὰς τοῦ οἴκτου ἀφορμάς. καὶ φυσικῶς ἔχομεν κινεῖσθαι πρὸς ἔλεον, εἶτα δὲ καὶ πάντα τὰ παρ' ἡμῖν λογιζόμενα οὐδαμινὰ καὶ λόγου οὐδενὸς ἄξια, αὐτὸς ὡς μεγάλα δέχεσθαι ἀπὸ μόνης ψυχῆς προαιρέσεως εὐδόκησε καὶ δύο ὀβολοὺς καὶ ψυχροῦν ποτήριον ἐκ πίστεως καὶ ζεούσης προθυμίας προσφερόμενα οὐκ ἀπαξιοῖ. καὶ ὁ τούτων αὐτῶν ἐνδεὴς στεναγμὸν μόνον προσείσῃ καὶ τὸ πᾶν ἔσται πεπληρωκώς. εἰ δὲ καὶ δάκρυον καταχεῖ καὶ λόγοις παρακλητικοῖς περὶ ὑπομονῆς καὶ εὐχαριστείας διλεγχθείη εἰς οἰκοδομὴν τοῦ κάμνοντος, τοῦτο τοῦ προτέρου πολὺ μεῖζον καὶ ἐπικερδέστερον. ἔστι δὲ καὶ δι' εὐχῆς καὶ δεήσεως τῆς ὑπὲρ τοῦ κάμνοντος καὶ νοσοῦντος τ' ἀμφότερα, τήν τε ψυχὴν καὶ τὸ σῶμα γινομένης ὥσπερ ῥᾷον αὐτῷ γενέσθαι καὶ ἀνεθῆναι τῆς νόσου, εἴπερ ἐστί τοῦτο εὐδοκία, ἢ μεθ' ὑπομονῆς καὶ εὐχαριστίας τὴν νόσον διεβαστάξαι καὶ μὴ ζημιωθῆναι, ὠφέλειαν ἐλεημοσύνης κτήσασθαι ὡσαύτως καὶ διὰ τοῦ βαστάξαι παρουσίαν καὶ ἀπροσεξίαν ἀσθενοῦς ὀλιγώρου καὶ ἀσυνέτου ἀδελφοῦ καὶ διὰ τοῦ νουθετῆσαι καὶ συμβουλεύσασθαι καὶ προτρέψαι εἰς τὸν ἀγαθὸν καὶ διαλλάξαι καὶ συμβιβάσαι μαχομένους πρὸς εἰρήνην καὶ ποιῆσαι εἴτε διὰ λόγου, εἴτε δι' ἔργου, εἴτε δι' οἰκείου βίου καὶ τῆς ἀγαθῆς πολιτείας, ὧ μεῖζόν ἐστι πάντων ἐκκλίνειν ἀπὸ τοῦ πονηροῦ καὶ ποιεῖν πάντως εἰς τὸ ἀγαθὸν καὶ οἰκοδομεῖν πάντας εἰς αὐτό, καὶ οὕτω δύναταί τις πολυτρόπως τὴν ἐλεημοσύνην ἐργάζεσθαι, ἧς καὶ ἡμεῖς ἀδελφοὶ ἐρτάται γενέσθαι σπουδάσωμεν καὶ ἐράσται θερμότατοι αὐτῆς εὑρεθῆναι ἐν τῇ φοβερᾷ καὶ ἀτελευτήτῳ ἡμέρᾳ τῆς κρίσεως, ὡς ἂν καὶ τοῦ θείου νυμφῶνος καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀξιωθῶμεν μετὰ πάντων τῶν ἁγίων ἐν Αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ Ἀνάρχῳ Πατρὶ καὶ τῷ Παναγίῳ καὶ Ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Третья греческая редакція.

Сп Русскаго Аѳонскаго Пантелеймоновскаго монастыря № 202 (Ламбросъ, 5709), XVIII вѣка, бум., in 8°.

Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρος ἡμῶν Βασιλείου τοῦ Νέου συγγραφεὶς παρὰ Γρηγορίου μοναχοῦ, καὶ φιλοχρίστου μαθητοῦ.

Ὁ ἁγιώτατος καὶ τῶν προφητῶν περισσότερος, ὁ θεῖος λέγω Δαβὶδ ἐκήρυξε καὶ εἶπεν· εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος· δείχνοντας καὶ λέγοντας, ὅτι αἱ ἀγαθοεργίαι καὶ αἱ τιμαὶ τῶν ἁγίων, καὶ μάλιστα τὰ ὀνόματα, ποτὲ δὲν ξεχάνονται, μήτε ἀλησμονοῦνται παντάπασι· καὶ τὰ λόγια, καὶ τὰ ἅγια πράγματα τοῦ Θεοῦ ἔστωντας ὁποῦ δείχνονται καὶ κηρύττονται ἀπὸ τοὺς σοφοὺς κατὰ καιρὸν διὰ ὠφέλειαν πολλῶν ἀνθρώπων· καὶ τοῦτο, διὰ τί εἶχον μέρος τῆς σοφίας, καὶ τῆς ὁμιλίας τὴν γλυκύτητα, μὲ κάθε δίκαιον τὰ ἐσυγγράψασι καὶ τὰ ὁμιλήσασι· ἀμὴ ἐγὼ ὁποῦ εἶμαι μικρὰ σταλαματία, καὶ πηγή δίχως σταλαματία, καὶ λάκκος βορβορώδης, ὁποῦ δὲν εἶμαι διὰ κανένα πρᾶγμα, καὶ λόγου ἄξιος, πῶς θέλω παντελῶς ἀποκοτίσει νὰ ἀνοίξω τὸ στόμα μου διὰ τόσον μεγάλον καὶ ἁγιώτατον Πατέρα, καὶ διὰ τὰ φρικτὰ καὶ θαυμαστὰ πράγματα καὶ θαύματα, ἀποκτυπῶ καὶ φοβοῦμαι νὰ ὁμιλήσω, μήτε νὰ κάμω τίποτες δὲν ἠξεύρω· διὰ τοῦτο λοιπὸν θέλοντας νὰ σιωπήσω, φοβοῦμαι τὴν κατάκρισιν τοῦ Χριστοῦ μου καὶ καταδίκην· ἀνίσως καὶ τό τάλαντον θέλω χώσει, τὴν χάριν τὴν ὁποίαν μοῦ ἐχάρισεν, καὶ μοῦ ἔδωκεν ὁ Θεὸς, ὡς καθολικοῦ του δουλευτοῦ καὶ βάλω τοῦτο ἔμπροσθεν εἰς τοὺς καλοὺς τραπεζίτας, τουτέστιν εἰς τοὺς καλοὺς ἀκροατὰς, διὰ νὰ τὸ ἀναδιπλασιάσω καὶ νὰ φανερώσω αὐτό τὸ χάρισμα μὲ δούλευσιν καὶ πολὺν κόπον καὶ

οὐαὶ εἰς ἐμένα, ὡσάν ἐκεῖνον τὸν πονηρὸν καὶ ὀκνηρὸν δοῦλον, ἀνίσως καὶ διὰ τὴν σιωπήν, θέλω χώσει αὐτὸ ὑποκάτω εἰς τὴν γῆν· καὶ ἀνίσως πάλιν, ἀρχίσω νὰ λέγω καὶ νὰ ὁμιλῶ, φοβοῦμαι μήπως καὶ εἰς τὸν ἑαυτόν μ.υ φέρω πλέον κατηγορίαν, παρὰ ἔπαινον· ἔστωντας καί τοιαῦτα πράγματα ἐγὼ ὁ μηδενὸς ἄξιος ἀρχίζω· καὶ εἶναι ὡς λέγει ὁ Σολομών· ὅτι κάποιοι τοὺς σοφοὺς καὶ φρονίμους, τοὺς κρατοῦν ἀτύχους· εἰς ἐμένα τὸν εὐτελῆ ὡς ἁμαρτωλὸν, τὶ δὲν θέλει ὁμιληθῇ; ἀλλ' ὅμως ἠξεύρω καλὰ, ὅτι πᾶσα ψυχὴ ὁποῦ τὸν Θεόν ἀγαπᾷ θέλει μοῦ συμπαθήσει εἰς τὴν χοντροσύνην μου καὶ εἰς τὴν ἀμάθειάν μου, διὰ τί δὲν πρέπει νὰ ἀφήσω ἀμίλητον, καὶ ἀζήτητον τοῦ Πατρὸς τὴν ἐντολήν· καὶ ἐκεῖνοι ὁποῦ ἐπιχειροῦν νὰ λέγουν, ὁ Κύριος θέλει τοὺς συγχωρήσει· τὸ λοιπόν ἀπὸ ἐδῶ θέλω ἀρχίσει τὴν ὁμιλίαν μου καὶ τὴν διήγησίν μου· ἐλπίζοντες καὶ θαρρῶντας εἰς τὰς ὑμετέρας εὐχάς· ἐπειδὴ καὶ εἰς τὸν Θεόν ἀγαπητὸν εἶναι τὸ νὰ λέγῃ τινὰς ὅτι δύναται· καὶ ἀλλοιοτρόπως, ὅτι οὐδὲν ἡ γλῶσσα τῶν καθολικῶν ρητόρων ἤθελε δυνηθῇ νὰ εἰπῇ καταλεπτῶς τὰς ἀρετὰς καὶ τὰ κατορθώματα τοῦ θείου Πατρὸς, καὶ ὄχι ἀπὸ ἐμένα τόν ἀμαθῆ καὶ ἀπαίδευτον· τὸ λοιπόν πῶς εἶναι ἡ γέννησις αὐτουνοῦ τοῦ ἁγίου, καὶ εἰς ποῖον τόπον ἐγεννήθη, καὶ εἰς τί πρᾶγμα ἀνεθρέφετο, καὶ πῶς ἔγινε μοναχός, δὲν ἠμποορῶ, μήτε ἠξεύρω νὰ τὸ εἰπῶ· διὰ τί δέν ηὗρα ποτὲ τινὰ νὰ μοῦ τὸ φανερώσῃ, ἀλλ' οὐδὲ ἐκεῖνος καμμίαν φορὰν δέν μοῦ ἐφανέρωσε τίποτα διὰ λόγου του· ἔστοντας καὶ ὅλο ἕνα ἐσπούδαζε νὰ κρύπτῃ τὰ καλά του ἔργα διὰ ταπείνωσιν, τὴν ὁποίαν τὴν εἶχε πολλὰ μεγάλην καὶ περισσήν· ὅμως καλὰ καὶ τέτοιας λογῆς ἦτον δὲν ἠμπόρεσε νὰ κρυφθῇ καὶ νὰ ἀλησμονηθῇ, φανερώνοντας ὁ Θεὸς τὸν ἐδικόν του δοῦλον, ὡς καθὼς τό εἶπε καὶ ὁ προφήτης, ἐκ προσώπου τοῦ Θεοῦ, ὅτι ἐκείνους ὁποῦ μέ δοξάζουν θέλω τοὺς τιμήσω καὶ ἐγώ· τὸ λοιπόν πρέπον εἶναι νὰ ἀρχίσω καὶ τὴν διήγησίν μου.

Βασίλειος ὁ βασιλεὺς, τὸ ἐπώνυμον του Μακεδών, εἶχε τέσσαρας υἱοὺς,—Κωνσταντῖνον, Λέοντα, Στέφανον, καὶ Ἀλέξανδρον· ἀπὸ τοὺς ὁποίους ὁ Κωνσταντῖνος πολλὰ νέος ἀπέθανε· καὶ ὁ Στέφανος ἔγινεν ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως· ὁ ὁποῖος ἦτον ἄνθρωπος, ὁποῦ ἔλαμπεν εἰς κάθε λογῆς ἀρετήν· καὶ οὗτος εἰς ὀλίγον καιρὸν ὑπηρέτησε τὴν ἀρχιερωσύνην, διὰ τί συχνὰ καθάρσια δεχόμενος ἀπὸ τοὺς ἰατροὺς διὰ κάποιαν καῦσιν τῆς ἀσθενείας ὁποῦ τὸν ἐπείραξεν ἀπὸ τόν καιρὸν τῆς νεότητός του, ἀπὸ τὰ ὁποῖα καθάρσια ὁποῦ ἔπερνεν, ἔστοντας ὁποῦ ἐπῆρεν ὁ στόμαχός του κρυάδα, καὶ εἰς ἀσθένειαν ἀνεκδιήγητον πεσὼν ἐτελεύτησε· καὶ ὁ πατέρας του ὁ Βασίλειος ἐφόνευσε καὶ τὸν Μιχαὴλ, ὁ ὁποῖος Μιχαὴλ ἐβασίλευσε προτή-

τερα παρὰ τὸν Βασίλειον καὶ ἔτσι ἐπῆρε τὴν βασιλείαν. ὁ ὁποῖος καὶ εἰς τὸν ψυχομαχετόν του ἔλεγε,—τί σοῦ ἔκαμα, ὦ Βασίλειε, ἢ τί σὲ ἠδίκησα, καὶ ἔτσι χωρὶς ἐλεημοσύνην μὲ ἐφόνευσας; καὶ τοιουτοτρόπως ἐξομολογούμενος, ἐπῆρε τέλος τῆς προσκαίρου ζωῆς ἀφήνοντας εἰς τὴν βασιλείαν τὸν Λέοντα καὶ Ἀλέξανδρον, τοὺς υἱούς του δηλονότι· καὶ εἰς τοὺς δέκα χρόνους τῆς βασιλείας των, διὰ κάποιαν ὑπηρεσίαν τῶν μαγιστριανῶν ἐπέμφθηκαν τινὲς ἀπὸ τὸν Λέοντα καὶ Ἀλέξανδρον εἰς τὴν Ἀσίαν. καὶ ἐκεῖ εἰς κάποιον ὄρος κακοπεριπάτητον ἔτυχε νὰ εἶναι ἑτοῦτος ὁ ἅγιος, ὁ ὁποῖος εἶχε τὸ σχῆμα τοῦ κορμίου του πολλὰ ἄγριον, ὥσπερ ζῶον ὁποῦ τρέφεται εἰς τὰ βουνά. καὶ ἐφάνηκέ τους ὅτι εἶναι καταπατητής. καὶ ἔτσι ἔδραμαν μὲ τὰ ἄλογα καὶ τὸν ἐπιάσαν, καὶ στρεφόμενοι εἰς τὴν πόλιν τὸν ἤφεραν ἀντάμα των. τὸν ὁποῖον φέρνοντάς τον ἐμπρὸς εἰς τοὺς βασιλεῖς, ἐπαράδωσάν τον εἰς κάποιον ἀρειανὸν Σαμωνᾶν, ὁ ὁποῖος Σαμωνᾶς ἦτον ἀπὸ τὸ γένος τῶν πατρικίων, ἤγουν τῶν βεζυρίδων, νὰ ἐξετάξῃ καὶ νὰ μάθῃ ἀπ' αὐτὸν, τί ἄνθρωπος εἶναι, καὶ ποῖος εἶναι, καὶ ἀπὸ ποῖον τόπον, καὶ ποῖον εἶναι τὸ καθολικόν του ὄνομα καὶ αὐτὸς ὁ Σαμωνᾶς πέρνοντάς τον εἰς τὸ σπῆτί του καὶ καθεζόμενος μὲ πολλὴν ἀλαζονίαν, καὶ οὗτος ἦτον νεώτερος καὶ ὑπερήφανος, καὶ εἰς τὸν πλοῦτόν του τὸν πολὺν ἐπαρμένος, καὶ ἔτσι ὀλίγωρα ὁρίζει νὰ φέρῃ τὸν ἅγιον ἐμπρός του. ὁ ὁποῖος ἐρχόμενος ἔμπροσθέν του, ἐστάθηκε μὲ βλέμμα ἄφοβον, καὶ ὡσὰν δὲν ἤθελε νὰ προσκυνήσῃ καὶ νὰ γονατίσῃ, ὡς καθὼς εἶναι συνήθεια νὰ κάμνουν εἰς ἐκείνους ὁπου ὁρίζουν καὶ βασιλεύουν, ὁ Σαμωνᾶς τὸν ὠργίσθηκε κατὰ πολλὰ καὶ τοῦ λέγει· „ἀποκρίσου ἐσύ καὶ εἰπέ μου τίς εἶσαι καὶ ἀπὸ ποῦ; καὶ πῶς σὲ κράζουν;" καὶ ὁ ἅγιος δὲν τοῦ ἀπεκρίθηκε, μόνον ἔστεκε ἡσυχος καὶ μὲ ἥμερα ὀμμάτια ἐνατενίζων αὐτῷ. καὶ ὁ Σαμωνᾶς εἶπέ τον πάλιν· „εἰπέ μας λοιπὸν πῶς εἶσαι, διὰ τί ἐκεῖνοι ὁποῦ σὲ ἤφεραν λέγουν, πῶς εἶσαι μηνυτὴς καὶ καταδότης". καὶ ὁ ἅγιος εἶπε πρὸς αὐτὸν· „καὶ σύ ποῖος εἶσαι, καὶ ἀπὸ ποῦ εἶσαι;" καὶ ὁ Σαμωνᾶς· „ἡμεῖς σὲ ἐρωτοῦμεν νὰ μᾶς εἰπῇς ποῖος εἶσαι, ἀμὴ ἐπειδὴ ἐρωτᾷς διὰ λόγου μου ποῖος εἶμαι, ἂς μήν σὲ κόπτῃ. ἀμὴ ἀνίσως καὶ ἐπιθυμεῖς νὰ μάθῃς τοῦτο, ἐγὼ εἶμαι Σαμωνᾶς ὁ πατρίκιος καὶ ὑποτεταγμένος εἰς τοὺς Ρωμαίους, οἱ ὁποῖοι ἔχουν τὴν βασιλείαν. εἰπὲ καὶ ἐσύ τώρα τὸ λοιπὸν τίς εἶσαι; καὶ πόθεν, καὶ τί πρᾶγμα ἢ τέχνην παιδεύεσαι;" λέγει ὁ μακάριος ἐκεῖνος πρὸς αὐτὸν, ὡς ἐγὼ ξένος εἶμαι, ἕνας ἀπὸ ἐκείνους ὁποῦ κατοικοῦν εἰς τὴν γῆν. καὶ ὁ Σαμωνᾶς εἶπε· „καλὰ καὶ ἀληθινὰ λοιπὸν λέγουν διὰ λόγου σου, ὅτι καταπατητὴς καὶ προδότης εἶσαι καὶ ἦλθες νὰ προδώσῃς, στοχαζόμενος τὴν βασιλείαν τῶν

Ῥωμαίων". καὶ ὁ ἅγιος τίποτε δὲν τοῦ ἀπεκρίθηκεν, ἂν καλὰ καὶ οἱ παρεστῶτες τόν ἀνάγκαζαν νὰ εἰπῇ τίς εἶναι, ὅμως ἔστεκε σιωπῶντας. ὁρίζει τὸ λοιπόν ὁ Σαμωνᾶς νὰ τοῦ φέρουν ραβδία χλωρὰ καστανῶν, καὶ βούνευρα ξηρὰ, καὶ ἄλλα τινὰ ὄργανα κολαστήρια, μήπως καὶ αὐτὸς βλέποντας ταῦτα, ἤθελε φοβηθῇ καὶ ἤθελεν εἰπῇ ποῖος εἶναι καὶ ἀπὸ ποῦ. καὶ ὡσὰν εἶδεν ὅτι μήτε μὲ αὐτὰ δὲν κλίνει, ὁρίζει νὰ τὸν ἐξαπλώσουν κάτω εἰς τὴν γῆν, καὶ μὲ δίχως ἐλεημοσύνην νὰ τὸν δέρνουν, λέγοντας ὁ κῆρυξ, λέγε, ποῖος εἶσαι καὶ θέλεις ἐλευθερωθῇ ἀπὸ τὰς πληγὰς καὶ τὰς παιδεύσεις τὰς πολλάς· καὶ ὄντως οὐδὲ φωνὴν δὲν ἔδωκεν, ἀλλὰ ὑπέμεινεν ἀνδρείως, ἕως ὁποῦ δὲν ἦτον εἰς αὐτὸν δύναμις ζωῆς, ὁ ὁποῖος ἂν καλὰ ἔτσι ἄψυχος ἦτον, ὅμως ἐσήκωσάν τον καὶ τὸν ἔρριψαν εἰς τὴν φυλακήν. καὶ εἰς τὴν αὐριανὴν ἡμέραν ὁ ἀνήμερος θὴρ ἐκεῖνος, καθεσθεὶς εἰς θρόνον ὑψηλὸν, ὥρισεν ἀνίσως ἀκόμη ζῇ, νὰ τὸν σηκώσουν νὰ τὸν φέρουν ἔμπροσθέν του. καὶ ὡς τὸν εἶδαν ἐκεῖνοι οἱ πεμφθέντες ὑγιῆ καὶ στεκάμενον ἔξω ἀπὸ τὴν φυλακὴν καὶ ταῖς κλειδονίαις τῆς πόρτας γεραῖς καὶ ἄβλαβαις, ἐθαύμασαν καὶ ἐρωτοῦσαν αὐτὸν πῶς εὐγῆκεν; καὶ ὁ μακάριος ἔστωντας νὰ τους εἰπῇ. ἐπήγαινε μαζὺ μὲ αὐτοὺς νὰ παρασταθῇ ἐμπρὸς εἰς τὸν Σαμωνᾶν. τρέχοντες λοιπὸν τινὲς ἐκ τῶν δούλων ἐκείνων καὶ λέγοντας αὐτουνοῦ τοῦ Σαμωνᾶ ἐκεῖνο ὁποῦ ἐσυνέβη, καὶ ἐκεῖνος πολλὰ ἐθαύμασεν, ἀκούοντας ἐτοῦτο τὸ πρᾶγμα. ὅμως ἔστωντας καὶ ἐλογάριασεν αὐτὸν τὸν ὅσιον, ὅτι εἶναι μάγος, εἶπε πρὸς αὐτὸν ὁμοῦ μετὰ ἐκείνων ὁποῦ ἐστέκοντο ἐκεῖ ἐμπρὸς· „ἐγὼ αὐτὰς τὰς μαγείας ὁποῦ κάμνεις ὀγλίγωρα θέλω σοῦ ταῖς ἐλέγξει". καὶ ὁρίζει καὶ ἁπλώνουν τον εἰς τὴν γῆν καὶ νὰ δέρνεται μὲ δίχως ἐλεημοσύνην μὲ ραβδία, ὥστε νὰ εἰπῇ τίς εἶναι καὶ ἀπὸ ποῦ. καὶ ὁ ἅγιος δέν ἔδωκε καμμίαν ἀπόκρισιν. καὶ τόσον τὸν ἔδειραν, ὅτι ἔξη ραβδία ἐτζακίσθησαν, καὶ θαυμάζοντες αὐτοὶ ὅλοι καὶ ἐκπληττόμενοι εἰς τὴν πολλὴν σιωπὴν τοῦ ἁγίου, εἶπεν ἐκεῖνος ὁποῦ τὸν ἐπαράβλεπεν· „ἔχει νὰ καυχᾶται καὶ νὰ λέγῃ, ὅτι πῶς ἐνίκησα αὐτοὺς μὲ τὴν ἐδικήν μου σιωπήν, ἀλλ' ὅμως δὲν ἀφίνω ἐγὼ τοῦτον νὰ καυχᾶται εἰς ἡμᾶς. ναὶ μὰ τὴν ὑγείαν τῶν βασιλέων". καὶ ὁρίζει ὅλην τὴν ἑβδομάδα, κάθε ἡμέραν νὰ τοῦ δίδουν τριακοσίας μάστιγας μετὰ τριακοσίων ραβδίων. καὶ ἐτοῦτος ὑπέμεινεν ἀνδρειωμένα τὰς πληγὰς καὶ τὰς θλίψεις, κρύπτων τὴν ἐδικήν του ἀρετὴν τὸ τί λογῆς εἶναι. καὶ κοντολογία ὅλον του τὸν καιρὸν εἰς τοὺς ἐρήμους τόπους εὑρίσκετο ξυπόλυτος, γυμνός, καὶ παλαιὰ ράσα βαστῶν, καὶ ἂν καλὰ ἦλθεν εἰς μεγάλας παιδεύσεις, ὅμως δὲν ἠθέλησε νὰ διαλύσῃ καὶ νὰ φανερώσῃ τὴν ἀρετήν του, διὰ ἐκεῖνον ὁποῦ εἶπεν, ὅτι ἂς μὴν εὑρῇ τὴν δουλείαν τῆς

δεξιᾶς, διὰ τί ὅποιος φανερώνει τὴν ἀρετήν του, καὶ τὸ καλὸν ὁποῦ κάμνει, ἀπέχει τὸν μισθόν τοῦ Θεοῦ καὶ χάνει τὴν δόξαν τ᾽ ἄνω, ἤγουν τῶν ἀγγέλων καὶ τῶν ἀρχαγγέλων. ἀμὴ ὁποῦ γυρεύει τὴν ἀρετὴν, καὶ κρύβοντας νὰ εἰπῇ τίς εἶναι, μάλιστα καὶ νὰ σιωπᾷ ὁπόταν τὸν δέρνουν, ἐκεῖνος ὁποῦ τέτοιας λογῆς εἶναι, ὁ δίκαιος κριτὴς θέλει τὸν λογαριάσῃ ὥσπερ μάρτυρα, ὡσὰν καὶ τὸν μακάριον ἐτοῦτον. τὸ λοιπόν ὡσὰν ἀπέρασεν ἡ ἑβδομάδα ἐκείνη, εἰς τὴν ὁποίαν ἔπαθε πολλὰ λυπηρὰ πράγματα ὁ ἅγιος, καὶ μετὰ ὑπομονῆς τὰ ὑπέμεινεν, πάλιν αὐτὸς ὁ καταραμένος καθέζοντας ὥρισε νὰ τὸν φέρουν ἔμπροσθέν του, καὶ ἔστωντας νὰ τὸν ἰδῇ μετὰ ὀργῆς αὐτὸς ὁ Σαμωνᾶς, ὅστις φυσικὰ ἦτον εὐνοῦχος, καὶ εἰς τὴν ὄψιν εὔμορφος, καὶ εἰς τοῦτο ἔστωντας ὁποῦ ἐντράπηκεν ἐκείνους ὁποῦ ἔστεκαν ἐκεῖ, καὶ πολλὰ θυμωθεὶς, ὥρισε νὰ φέρουσι σχοινίον, νὰ δέσουν τὰς χεῖράς του καὶ νὰ τὸ τυλίξουν τριγύρῳ εἰς τὰ πλευρά του, καὶ εἰς τὸ δεξιόν του ποδάρι, καὶ ἔτσι νὰ τὸν κρεμάσουν ἄνω κάτω εἰς τὸ ξύλον, ἑως οὗ νὰ εἰπῇ τίς εἶναι καὶ ἀπὸ ποῦ. καὶ πάντες οἱ ἀκούσαντες τὴν τιμωρίαν τοῦ ἁγίου ὁποῦ ὥρισε νὰ τοῦ κάμουν, ἐδυσκολεύονταν καὶ τὸν ἐκαταλαλοῦσαν μέσα εἰς τὸν λογισμόν τους κρυφίως. αὐτὸς δὲ ὁ Σαμωνᾶς ἐβούλλωσε τὴν θύραν τοῦ ὁσπητιού ἐκείνου ὁποῦ ἦτον ὁ ἅγιος μέσα μὲ τὸ δακτυλίδι του, καὶ ἄφησε παραγγελίαν τῶν ὑπηρετῶν του, νὰ τὸν κρεμάσουν καθὼς τοὺς ἔδειχεν ἀνελεημονήτως. καὶ ἀφ᾽ οὗ ἐπέρασαν τρεῖς ἡμέραις, πηγαινάμενος ἐκεῖ ἤνοιχε τὴν πόρταν τῆς φυλακῆς, καὶ ἔστωντας ὁποῦ τὴν εὑρῆκεν ὡσὰν τὴν ἄφησεν, ἐθαύμασε βλέποντας τὴν ἰλαρότητα τοῦ προσώπου του, ὅτι δὲν ἔπαθε κανένα κακὸν, καὶ ἔστωντας ὁπου τὸν ἐσίμωσε λέγει πρὸς αὐτὸν· „κὰν τώρα εἰπὲ ποῖος εἶσαι καὶ ἀπὸ ποῦ, καὶ θέλω σὲ κατεβάσῃ ἐκ τῆς βασάνου ταύτης“. καὶ ἔστωντας ὁ ἅγιος δὲν ἀπεκρίνατο, αὐτὸς ὁ ἀλιτήριος ὥρισεν ὀτλήγωρα νὰ τὸν κατεβάσουν, καὶ λύοντάς τον, ἔγινεν ὑγιής, καὶ ἐφαίνετο ὅτι δὲν ἐβασανίσθη τίποτα μὲ τὴν χάριν τοῦ Θεοῦ. καὶ ὅλοι εἰς τοῦτο ἐτρόμαξαν καὶ ἐθαύμασαν καὶ πάλιν ἔλεγεν ὁ Σαμωνᾶς· „δὲν σᾶς ἔλεγα ὅτι ἐτοῦτος εἶναι μάγος, διατί μηδὲ τὸ ποδάρι του δὲν ἀπόστασε τίποτες. ἀμὴ ἐγὼ θέλω ἐλέγξει τὰς μαγείας του“ τὸ λοιπόν λέγει ὁ Σαμωνᾶς,—καλέσατέ μοι τὴν αὐρινὴν ἡμέραν ἐκεῖνον ὁποῦ τρέφει τὰ θηρία. ὁ ὁποῖος ἔστωντας νὰ σταθῇ ἐμπρὸς εἰς τὸν Σαμωνᾶν λέγει. ἑτοίμασέ μοι τὴν ταχυνὴν ἡμέραν τὸν φοβερώτατον λέοντα, καὶ μὴν τοῦ δώσῃς σήμερον τίποτα νὰ φάγῃ, καὶ θέλομεν ἰδῇ ἀνίσως θέλει νικήσῃ καὶ αὐτὸ μὲ τὴν μαγείαν του· τὸ λοιπὸν ἔστωντας ὁποῦ ἔδραμαν πολλοὶ τὴν αὐρινὴν ἡμέραν εἰς τὸν τόπον τοῦ θεάτρου, καὶ τὸ θηρίον ἀπὸ τὴν πεῖναν ἐβρυχᾶτο, καὶ ἔρριψαν τὸν ἅγιον διὰ νὰ

τὸν φάγῃ, τὸν ὁποῖον ὅταν τὸν εἶδε τὸ λεοντάρι, ἐτρόμαξε καὶ μετὰ ἡσυχίας ὑπήγαινεν εἰς τὸν ἅγιον καὶ ἐκυλίετο εἰς τὰ ποδάριά του, ὥσπερ νὰ ἦτον ἀρνίον ἥμερον. καὶ ὁ λαὸς ἔστωντας ὁποῦ εἶδαν τοιοῦτον θαῦμα παράδοξον, ἔκραξαν τὸ Κύριε ἐλέησον. καὶ ὅλοι μετὰ μεγάλης φωνῆς ἔλεγαν νὰ ἀφήσῃ τὸν ἅγιον, ὅτι ἄδικα τὸν ἐσυκοφάντησαν. ἀλλὰ ὁ ταλαίπωρος ἐκεῖνος καὶ μιαρὸς Σαμωνᾶς οὐδὲ ποσῶς δὲν τὸ ἔβαλεν εἰς τὸν νοῦν του, ὅτι ἐτοῦτος ὁ ὅσιος εἶναι διαλεκτὸς δοῦλος τοῦ Θεοῦ, ἀλλὰ ἀκόμη ἦτον τετυφλωμένος εἰς τὴν καρδίαν καὶ ἂν καλὰ ἔβλεπε τὸν ἅγιον ὁποῦ ἐκράτει τὸ θηρίον ἀπὸ τὸ ἀφτί, καὶ ἔλεγε πρὸς τὸν λαὸν·—ἰδέτε ἀρνί. ἀλλὰ ὁ τρισάθλιος ὥρισεν ἐκείνην τὴν νύκτα νὰ τὸν ρίψουν εἰς τὴν θάλασσαν, τὸ ὁποῖον τὸ ἔκαμαν οἱ δοῦλοι τὸν γ΄ ὥραν τῆς νυκτός. ἀλλὰ ἄψευστος εἶναι ἐκεῖνος ὁποῦ εἶπεν ὅτι ἀνίσως καὶ περάσῃς ἀπὸ τὴν θάλασσαν δὲν θέλεις πνιγῇ οὐδὲ τὰ ποτάμια θέλουν δυνηθοῦν νὰ σὲ πάρουν καὶ Κύριος θέλει φυλάξει τοὺς ἁγίους Αὐτοῦ. διὰ τοῦτο παρευθὺς ἔτυχε καὶ ἦλθασι δύο δελφῖνες καὶ τὸν ἐπῆραν ὀπίσω των, καὶ ἔστωντας ὁποῦ τὸν εὔγαλαν εἰς τὸν αἰγιαλὸν τοῦ ἑβδόμου τόπου ἐδιάβηκαν. καὶ τότε μὲ τὸ θέλημα τοῦ Θεοῦ ἐλύθηκαν τὰ χέριά του καὶ τὰ ποδάριά του ἀπὸ τὰ δεσίματα ἐκεῖνα ὁποῦ τὸν εἶχασι δεμένον.

καὶ αὐτὸς ὁ ἅγιος ὡσὰν τὸν εὔγαλαν οἱ δελφῖνες ἔξω ἀπὸ τὸν αἰγιαλὸν ἐσηκώθη ταχὺ ταχὺ καὶ ἐδιάβη εἰς τὴν πόλιν καὶ ἔστωντας ὁποῦ ἦτον ἀκόμη ἡ χρυσὴ πόρτα σφαλισμένη, ἐκάθησεν ὀλίγον ἔξω ὥστε νὰ ἀνοίξῃ· καὶ ἐκεῖ ὁποῦ ἐκάθησεν ὁ ἅγιος, ἦλθε καὶ ἕνας ἄνθρωπος καὶ ἐκάθησεν, ὁ ὁποῖος ἦτον κρατημένος ἀπὸ πολὺν πυρετόν, καὶ ἐκάθησε καὶ αὐτὸς ὀλίγον νὰ ἀναπαυθῇ σιμὰ εἰς τὸν ἅγιον τρέμοντας ἀπὸ τὸν πυρετόν καὶ τὴν κρυάδα ὁποῦ εἶχε· καὶ ὁ ἅγιος βλέποντάς τον πῶς εὑρίσκεται πολλὰ κακὰ εὐσπλαγχνίσθη, καὶ ἔβαλε τὸ χέρι του ἐπάνω του, καὶ παρακαλῶντας ἔκαμε τὴν προσευχήν του, καὶ ἰάτρευσέ τον· καὶ αὐτὸς ὁποῦ ἔτσι ὀγλίγωρα ἰατρεύθη, ἐθαύμαζεν εἰς ἐκεῖνο τὸ παράδοξον, καὶ παράξενον θαῦμα, καὶ πίπτοντας εἰς τὰ ποδάριά του μετὰ ταπεινῆς φωνῆς παρακαλεῖ καὶ λέγει του νὰ ὑπάγῃ εἰς τὸ σπῆτί του μαζί του, καὶ ἂν καλὰ καὶ εἶμαι ἀνάξιος νὰ πάρω τοιοῦτον ἅγιον εἰς τὸ σπῆτί μου, παρακαλῶ σε μή με καταφρονέσῃς, ὡς καθὼς εἶσαι μεμετρημένος, καὶ ἕνας ἀπὸ τοὺς ὀρθοδόξους· καὶ ὁ Ὅσιος χαιράμενος ἀπῆλθεν ἀντάμα του, καὶ φθάνοντας εἰς τὸ σπῆτί του ἕως ὥρας φαγητοῦ, εἶπεν ὁ ἄνθρωπος ἐκεῖνος τῆς γυναικός του νὰ βάλῃ τράπεζαν· καὶ ἔστωντας ὁποῦ εὐλόγησεν ὁ ἅγιος ἔτρωγαν καὶ εὐχαρίστουν τὸν Θεόν· καὶ ἀνάμεσα ἐκεῖ ὁποῦ ἔτρωγαν, ἐδιηγήθη ὁ ἄνθρωπος ἐκεῖνος τῆς γυναικὸς του πῶς τὸν ἰάτρευ-

σέν ὁ Ὅσιος μόνον μὲ τὸ ὄνομα τοῦ Χριστοῦ καὶ μὲ τὴν ἐπίθεσιν τῶν χειρῶν του· ἡ ὁποία ἔστωντας καὶ νὰ ἀκούσῃ ἐτοῦτο, ἦτον δὲ καὶ ἀγαπῶσα τὸν Θεὸν καὶ τιμητικὴ, ἠγάπα δὲ καὶ τὸ μοναχικὸν γένος περισσά, καὶ τὸ περισσότερον ἐχαίρετο, ὅτι πῶς ἐκαταδέχθη ὁ ἅγιος νὰ ὑπάγῃ εἰς τὸ σπῆτί τους, καὶ ἐπαρακάλουν αὐτὸν νὰ τους εἰπῇ ἀπὸ ποῦ εἶναι καὶ ποῦ μέλλει νὰ ὑπάγῃ· καὶ ὁ ἅγιος εἶπεν· ἀπὸ ποῦ εἶμαι, δέν εἶναι ἀναγκαῖον εἰς ἐμένα τῶρα διὰ νὰ τὸ εἰπῶ, ἀμὴ ἐτοῦτο εἰς τὸ ὕστερον ἂν τύχῃ νὰ τὸ ἀκούσετε· χάριν δὲ εὐχῆς θέλω νὰ ὑπάγω εἰς τὴν μονὴν τῆς ἀχειροποιήτου, τὴν ὁποίαν δὲν τὴν ἔκαμεν τινάς, ἀλλὰ αὐτὴ ἡ Θεοτόκος σταματήσασα ἐτύπωσε τὸν χαρακτῆρά της, ὁ ὁποῖος στέκει ἕως τὴν σήμερον. εἰς τὴν ὁποίαν γίνονται θεικὰ σημεῖα εἰς ἐκείνους ὁποῦ μετὰ πίστεως τρέχουν".

καὶ ἐπειδὴ ἦτον εἰς τὸ θέλημά τους νὸ τοὺς εἰπῇ ποῖος ἦτον, εἰπέ τους, ὅτι ἐγὼ εἶμαι ἐκεῖνος ὁποῦ ἐχθὲς ὁ Σαμωνᾶς ἔρριψεν εἰς τὴν θάλασσαν, καὶ Κύριος ὁ Θεός μου, τὸν ὁποῖον λατρεύω ἐκνεότητός μου, Αὐτὸς μὲ ἐφύλαξεν ἀβλαβῆ μὲ τρόπους ὁποῦ Αὐτὸς ἠξεύρει καὶ ἐδιηγήθηκέ τους ὅλα ἐκεῖνα τὰ κακὰ ὁποῦ τοῦ ἔκαμεν ὁ σκληρὸς καὶ ἄδικος Σαμωνᾶς, τὰ ὁποῖα ἠκούσθησαν καὶ εἰς ὅλην τὴν πόλιν. τὸ λοιπὸν τὸν ἐπαρακάλεσαν ἂν εἶναι καὶ ἀρέσκει του νὰ εἶναι μαζύ τους ὅλην του τὴν ζωήν. καὶ ὁ ἅγιος ἔστερξέ το νὰ σταματήσῃ μαζύ μὲ αὐτούς. καὶ ἐκεῖνοι τὸν ὠρδινίασαν λύχνον εἰς ἕνα κελλίον ἥσυχον χωριστά του, εἰς τὸ ὁποῖον κελλίον ἐλειτούργει τῷ Κυρίῳ· ὅμως ποῖος εἶναι δυνατὸς νὰ εἰπῇ τὰ ὅσα δάκρυα ἔχυνεν εἰς ὅλην τὴν νύκτα, στεκάμενος εἰς προσευχήν, καὶ τὰς γονυκλισίας ὁποῦ δὲν εἶχαν μέτρος, καὶ τὴν ἀγρυπνίαν τὴν ὁλονύκτιον. διότι περισσότερον ἤθελαν δαμάσῃ οἱ ὕπνοι τοὺς ἀκοιμήτους ἀστέρας, παρὰ ὁποῦ ἤθελε δαμάσῃ ὁ ὕπνος τὰ βλέφαρα τοῦ ἁγίου. τοσοῦτον δὲ ἦτον ἀόργητος, ὥστε νὰ τὸν εἰπῇ τινας καὶ νὰ τὸν λογαριάσῃ πῶς ἦτον εἰς τὸν κόσμον τοῦτον. ὥσπερ μία στήλη νεκρά, καὶ ὄχι ἄλλο τίποτες καὶ ἦτον καὶ τοῦτος εἰς τὴν πραότητα ὥσπερ ἄλλος Μωϋσῆς ἢ καὶ Δαβὶδ καὶ ἄπλαστος ὡς ὁ Ἰακὼβ καὶ ἄκακος ὡς ὁ Ἰώβ. καὶ περισσότερον ἀπὸ τὸν Ἀβραὰμ ἐκατόρθωσε τὴν ἐλεημοσύνην ὡς τὴν ἀκτημοσύνην

τὸ λοιπὸν ὡς τὸ ἐπροείπαμεν ἐκατοίκησε σιμὰ εἰς τὸν ἄνθρωπον ἐκεῖνον, ὁ ὁποῖος ἀκούετο τὸ ὄνομά του Ἰωάννης. καὶ εἰς ὀλίγαις ἡμέραις ἄρχισαν πολλοὶ νὰ πηγαίνουν εἰς αὐτὸν, οἱ ὁποῖοι μέρος μὲν ἀπ' αὐτοὺς ἤφερναν καὶ ἀρρώστους, τοὺς ὁποίους τοὺς ἰάτρευε μόνον μὲ εὐχὴν καὶ μὲ τὸ ὁποῦ ἔβανε τὰ χέριά του ἐπάνω τους, καὶ καμπόσους ἀπ' αὐτοὺς τοὺς ἰάτρευε, διὰ νὰ ἠμποροῦν νὰ σώσουν τὴν ψυχήν τους. καὶ ἐτοῦτοι διὰ τοῦτο ἐπήγαιναν εἰς αὐτὸν ἴνα

χρόνου οὖν ἱκανοῦ παρῳχηκότος καὶ πολλῶν παρ' αὐτοῦ θαυμάτων ἐξαισίων ἐπιδείξεσι τοῖς Κωνσταντινουπόλει πᾶσιν οἰκοῦσιν ἀνεγνωρίσθη ὁ ὅσιος ὅθεν ἐκάλουν αὐτὸν πολλοὶ τῶν ἐπιφανῶν καὶ μεγάλα δυναμένων τῷ τότε καιρῷ ἐπὶ τῷ διαναπαῦσαι αὐτὸν καὶ τὴν αὐτοῦ εὐλογίαν καρπώσασθαι. ὑπήκουε δὲ τοῦτο οὐδενὶ οὐδαμῶς, ἀλλ' ἢν προσμένων ἐν τῇ οἰκίᾳ τοῖς ἀρχῆθεν ὑποδεξαμένοις αὐτόν. παρελθόντος οὖν τοῦ τὰ σκῆπτρα τότε κατέχοντος Λέοντος μετ' ἐνιαυτὸν καὶ μικρόν τι προσετελεύτησε καὶ Ἀλέξανδρος ὁ τούτου αὐτάδελφος, καταλείψας διάδοχον τῆς βασιλείας τὸν τοῦ αὐταδέλφου αὐτοῦ Λεόντος υἱὸν Κωνσταντῖνον σὺν τῇ μητρὶ αὐτοῦ Ζωῇ, τετόρτῃ οὔσῃ γυναικὶ Λέοντος. νηπίῳ δὲ κομιδῇ ὄντι τῷ Κωνσταντίνῳ, ἐπιτρόπους καὶ φύλακας αὐτῷ παρεκατέστησε τὴν βασιλείαν (14 οβ.) αὐτῷ συντηροῦντας, μή τις ἁρπάσῃ αὐτήν, τόν τε ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως Νικόλαον καὶ Ἰωάννην μάγιστρον τὸν Γαριδᾶν καὶ πάντας τοὺς σὺν αὐτοῖς. τούτων οὖν τὰς τῶν ἀνακτόρων διοικήσεις διοικούντων διὰ τὸ ἀτελὲς τοῦ παιδὸς ἁρπεπῆ τινα ἐπὶ τοῦ δημοσίου ἐπετελοῦντο. καὶ τὰ κύκλῳ βάρβαρα ἔθνη ἀναιδείᾳ χρησάμενοι τὰ πέριξ τῆς πόλεως ἐλυμαίνοντο, εἰδότες, ὅτι οὐκ ἔστι παρὰ ρωμαίοις βασιλεὺς ὁ δυνάμενος αὐτοὺς ἀποκρούσασθαι. ἐντεῦθεν οὖν στασιαζούσης τῆς πόλεως κατὰ τοῦ ἀρχιεπισκόπου Νικολάου ὡς οὐ δέον αὐτῷ ἐστιν ἐπιτροπεύειν τὰ τῆς βασιλείας, συμβουλευσάμενοι μετὰ τῶν σὺν αὐτῷ διοικούντων γράφουσι Κωνσταντίνῳ τῷ Δουκὶ τὰς ἀνατολῆς στρατηγοῦντι παραγενέσθαι καὶ τὰ σκῆπτρα τῆς βασιλείας ἐγχειρήσασθαι καὶ διέπειν ταῦτα ὡς βούλεται συμβασιλεύειν τε αὐτῷ καὶ Κωνστα-(15)τῖνον τὸν ἐν τῇ πορφύρᾳ γεγεννημένον καὶ τοῦτον μὲν ὡς ἅτε νήπιον αὐλίζεσθαι ἐν τῷ παλατίῳ, ἐκεῖνον δὲ ὡς ἀνδρειότατον καὶ ἐν τοῖς πολέμοις εὐδοκιμώτατον, πρὸς τοὺς ἀλλοφύλους αὐτομολεῖν

καὶ ἀνακαθαίρειν τὰ κατὰ τῶν χριστιανῶν κινούμενα ἔθνη. ἦν γὰρ ὡς ἀληθῶς ὁ ἀνὴρ ἀστοχώτατος πάνυ καὶ φοβερὸς ἐν τοῖς πολέμοις. ὡς πλειστάκις καὶ τοὺς βαρβάρους ἐρωτωμένους παρά τινων αἰχμαλώτων, πῶς εἷς ἄνθρωπος αὐτοὺς τρέπει, ὁ δηλωθεὶς δηλαδή, φάναι —ὅταν πρὸς ἡμᾶς οὗτος ἐκπορεύηται πρὸς συμπλοκὴν πολέμου, πῦρ φλέγον ἀπὸ τοῦ ἄσθματος τοῦ ἵππου αὐτοῦ ὁρῶμεν ἐ_ερχόμενον, πρὸς δὲ καὶ ἀπὸ τῶν ὅπλων αὐτοῦ, καὶ κατακαῖον ἡμᾶς ἐδαφίζει. καὶ γὰρ κἀκεῖνος πολλάκις τισὶ διηγήσατο περὶ τοῦδε τοῦ χαρίσματος. ὅτι ἐν τῇ νεότητί μου καθεύδοντός μου, ἰδοὺ γύναιον ἐνδοξώτατον πορφυροῦν καὶ ἵππος (15 οδ.) πύρινος ἅμα αὐτῇ, καὶ ἅρματα πῦρ φλέγον ἀφιέντα, καὶ εἶρη·έ μοι· „ἀναστὰς ἐπίβηθι τῷ ἵππῳ τούτῳ.“ καὶ ἐπέβην. καὶ αὖθις „ὁπλίσθητι τοῖσδε τοῖς ἅρμασι.“ κοὶ ὁπλίσθην. καὶ εἶπέ μοι· „ἐκστήσονται οἱ ἐχθροὶ τοῦ υἱοῦ μου οἱ βλασφημοῦντες αὐτὸν ἀπὸ προσώπου μου.“ καὶ εὐθὺς ἀπέστη. καὶ ταῦτα μὲν περὶ τοῦ ἀνδρός. ἐπὶ δὲ τὸ προκείμενον αὖθις ἐπανέλθωμεν. ὡς γὰρ ἐσήμαναν τῷ εἰρημένῳ ἀνδρὶ διὰ κελεύσεως οἱ τῆς βασιλείας ἐπιτροπεύοντες πρὸς τὴν βασιλεύουσαν ἀπαντῆσαι, ἀντεμήνυσε μὴ δεῖν ἱκανὸν πεφυκέναι τοῖς τοιούτοις ἐγχειρεῖν. ἐκ δευτέρου οὖν αὐτῷ γράφουσι πάλιν ἴζειν ἐπὶ τὴν βασιλεύουσαν φάσκοντες, ὅτι πᾶσα ἡ τῶν ρωμαίων βασιλεία σὲ βασιλεύειν ἐπιζητεῖ. ὁ δὲν καὶ αὖθις ἀνεβάλλετο φάσκων· „τὸ παλάτιον βασιλέα κέκτηται, εἴγε καὶ ἀτελής ἐστι τῇ ἡλικίᾳ, οὐκοῦν οὐ δέον ἐστὶν ἐπιτε(16)θῆναί με τῷ Κυρίῳ καὶ ἁμαρτάνειν ἐνώπιον τοῦ Θεοῦ. πτοοῦμαι δὲ μήπως ἔνεδρά ἐστι καὶ βούλεσθε με ἐγχειρίσασθαι.“ ὡς δὲ ταῦτα ἐδέξαντο οἱ περὶ τὸν Νικόλαον, ἀπέστειλαν αὐτῷ ὅρκους φρικωδεστάτους ἐξομνύμενοι αὐτῷ εἰς τὰ ἄχραντά καὶ τίμια ξύλα τοῦ πανσέπτου καὶ ζωοποιοῦ σταυροῦ μὴ οὕτως ὡς αὐτὸς οἴεται βούλεσθαι αὐτούς, ἀλλ᾽ ἐν ἁπλότητι καρδίας καὶ ἀδόλῳ ψυχῇ καὶ γνώμῃ προσκαλεῖσθαι αὐτὸν ἐπὶ τὴν βασιλείαν. ἔστειλαν δὲ αὐτῷ πρὸς πίστωσιν καὶ τὰ ἐγκόλπια αὐτῶν. τούτοις θαρρήσας ὁ Δοὺξ παραλαβὼν πάντας τοὺς γνησίους αὐτοῦ ἐπὶ τὴν βασιλεύουσαν ὥρμησε. πρωΐας δὲ ἡλίου ἀνατέλλοντος ταύτης ἐπιβὰς δόξῃ ἀπείρῳ παρὰ τῶν συνεπομένων αὐτῷ κλεϊζόμενος ἀπήει πρὸς τὰ βασίλεια. τότε δὲ καὶ σημεῖον τῇ εἰσόδῳ τούτου παρέδειξεν ὁ Κύριος. καὶ γὰρ ὡς δίκην κογχύλης αἵματος ὁ λαμπρότατος ἥλιος ἐν τῇ εἰσό-(16 οδ.)δῳ αὐτοῦ ἐναπέστιλεν ἐπὶ προσώπου τῆς γῆς ἐδήλου δὲ τὴν μέλλουσαν ἔσεσθαι σφαγὴν καὶ τὴν τοῦ ἀθῴου αἵματος πρόσχυσιν. θεασάμενους δὲ ὁ Νικόλαος καὶ οἱ σὺν αὐτῷ εἰσηλυλυθότα αὐτὸν εἰς τὴν βασιλεύουσαν μεταβουλευσάμενοι ἀπέκλεισαν αὐτῷ τὰς εἰσόδους τῶν ἀνακτόρων. ἐλθὼν δὲ αὐτὸς ἐν τῷ θεάτρῳ τοῦ ἱπποδρομίου κατεσκήνωσε,

πάντων τῶν μεγιστάνων τῶν συνελθόντων αὐτῷ ὡς βασιλέα εὐφημούντων. ὅσοι δὲ σχέσιν πρὸς τὸν ἅγιον ἐκέκτηντο ἔχοντες τὴν προρρησίαν αὐτοῦ περὶ τῆς μελλούσης σφαγῆς, ἀσφαλίσαντες τοὺς οἴκους αὐτῶν ἠρέμουν καθ' ἑαυτούς. πρὸ γὰρ δύο ἢ καὶ τριῶν μηνῶν τοῦ γενέσθαι τὸ δεινὸν ἐκεῖνον καὶ ὀλέθριον σύμπτωμα, πᾶσι προεῖπε τοῖς πρὸς αὐτὸν ἐρχομένοις τὰ συμβησόμενα. καθὰ δὲ καὶ εἰς ὕστερον ἐξέβησαν. ἐκ τότε οὖν καὶ μέχρι τῆς συμπληρώσεως τῆς συμφορᾶς ἐκείνης οὐκ ἐπαύσατο στενόμενος καὶ ὀλο-(17)φυρόμενος ὁ ὅσιος κατὰ τὸν προφήτην Ἱερεμίαν δύο δέ τινες παραγεγωνότες πρὸς αὐτὸν μεγιστάνου τινὸς ὄντες υἱοὶ καὶ πρωτοσπαθάριοι ἐπερώτησαν αὐτὸν εἰ συμφέρει αὐτοῖς ἀπελθεῖν καὶ συμμιγῆναι τῇ τοῦ Δουκὸς κουστοδίᾳ. καὶ ὁ ὅσιός φησι „μή, τέκνα, μὴ οὕτω ποιήσατε. ἂν γὰρ ἐκεῖ πορευθῆτε, ὁ μὲν εἷς ὑμῶν ἐν φόνῳ μαχαίρας πεσεῖται καὶ τελευτήσει, ὁ δὲ ἕτερος τὰ ὦτα καὶ τὴν ῥῖνα τμηθεὶς μόλις διαδράσει ἐκεῖθεν, καὶ οὕτω τέλως ἔσται τοῖς ὁρῶσιν αὐτόν" ἐκείνων δὲ καταφρονητικῶς δεξαμένων τὰ ῥήματα τοῦ ὁσίου καὶ τῷ Δουκὶ συμμιγέντων, πάντα τὰ παρὰ τοῦ ἁγίου προρρηθέντα συνέβη αὐτοῖς ὁ γὰρ Δοὺξ κακῶς φωνήσας πικρὸν ὀψώνιον ἑαυτῷ καὶ τοῖς μετ' αὐτοῦ ἐπριάσατο. ὀφεῖλον γὰρ μακροθυμῆσαι καὶ ἀσφαλίσασθαι ἔξωθεν τὰς εἰσόδους τῶν βασιλέων ὥστε μὴ εἰσκομίζεσθαι τὰ πρὸς τροφὴν τοῖς ἔνδοθεν καὶ οὕτω τῷ λιμῷ στενοχωρουμένους μεθ' ἱκεσίας (17 οβ.) αὐτῷ τὰς πύλας τοῦ παλατίου ἀναπετάσαι, καὶ προθύμως αὐτὸν εἰς τὰ βασίλεια δέξασθαι. οὐχ οὕτως δὲ πεποίηκε. βουλὴν δὲ στήσας μετὰ τῶν σὺν αὐτῷ ὥστε ἀπὸ τῆς πύλης, ἥνπερ χαλκὴν ὀνομάζουσιν, εἰσιέναι συνθλάσαντας πέλεκι τοὺς μοχλοὺς καὶ τὰ σίδηρα. ὅρκοις φρικωδεστάτοις τοὺς σὺν αὐτῷ πάντας κατησφαλίσατο μὴ σπᾶσαι ξίφος τὸ οἱονοῦν κατά τινος, μὴ βέλος, μὴ δόρυ, ἀλλ' οὕτως αὐτοὺς ἀναιμωτὶ εἰσελθεῖν φήσας. ἐὰν ἐκεῖνοι ἡμᾶς μὴ ἀντάροντας κατασφάξωσιν, ἐπὶ τοῦ φοβεροῦ κριτηρίου τοῦ μεγάλου Θεοῦ δικασόμεθα μετ' αὐτῶν, ὅτι ὅρκοις ἡμᾶς ἐπληροφόρησας μηδέν τι βλαβῆναι παρ' αὐτῶν, καὶ κρινεῖ Κύριος ἀνα-μέσον ἡμῶν καὶ αὐτῶν. ταῦτα εἰπὼν ἀφίκετο ἅμα τοῖς σὺν αὐτῷ εἰς τὴν χαλκὴν πύλην καὶ ἀπήρξατο εἰσιέναι οἱ δὲ ἐν τοῖς βασιλείοις τάχει πολλῷ περιαθροίσαντες τοξότας μετὰ παντοίων (18) ὅπλων καὶ βελῶν τοξεύειν προσέταξαν ἀπὸ τῶν διαχώρων καὶ τῶν πάντων πυλῶν. ὡς δὲ οἱ περὶ τὸν Δοῦκα ἐπλήττοντο τοῖς βέλεσιν ἔφασκον αὐτῷ· „ἔασον ἡμᾶς ὅπως καὶ ἡμεῖς αὐτοῖς ἀντιμαχεσόμεθα." τοῦ δὲ μὴ παρεῶντος αὐτούς, ἐν ὅσῳ ταῦτα ἔφασκε, τὶς τῶν εὐστοχωτάτων τοξοτῶν μαθὼν ἀπὸ τῆς ὀπῆς τοῦ πυλῶνος, ὁποῖος ἐστιν ὁ Δούξ, τείνας ἀνδρείως τὸ τόξον αὐτοῦ, ἔπληξεν αὐτὸν ὑποκάτω τῆς δεξιᾶς αὐτοῦ

χειρὸς ἐπὶ τὴν πλευράν. ὁ δὲν τὸ οὐαί μοι τῷ ἀθλίῳ μεγάλως ἐπιφωνήσας, κακῶς ἐληλύθαμεν ἐνταῦθα, κάτεισιν εὐθὺς ἕως τοῦ ἐδάφους. πάντων δὲ δειλίᾳ συσχεθέντων καὶ πρὸς τὰ ὄπισθεν ἀρξαμένων ἀναποδίζειν, θάρσος οἱ ἔνδοθεν δεξάμενοι καὶ τὰ ξίφη αὐτῶν γυμνώσαντες πολλῇ τῇ παρρησίᾳ πρὸς αὐτὰς ἐξεπήδησαν τὰς πύλας ἀναπετάσαντες καὶ κτείνουσι μὲν ἐν πρώτοις τὸν αὐτοῦ πρωτοστράτορα, εἶθ' οὕτως καὶ ἑτέρους πλείονας, (18 οβ.) εἶτα κἀκεῖνον. μετὰ δὲ τὴν σφαγὴν αὐτοῦ τοὺς λοιποὺς ἀποδιδράσκοντας καὶ συμποδιζομένους, ὡς σταχύας ἐξεθέριζον. ἱκανοὶ δὲ ἀπὸ τῶν φευγόντων διαδράσαι κατίσχυσαν. ἀλλ' οἱ ἀμελεῖς ἐκεῖνοι καὶ ἄσπλαγχνοι τὸ τάχος ἀποστείλαντες καὶ τὰς πύλας τῆς πόλεως ἅπάσης ἀσφαλισάμενοι καὶ σφραγίσαντες ἀκριβῶς ἐκέλευσαν ἔρευναν ποιήσασθαι ἀκριβῆ τῶν διαδράντων. πολλῶν δὲ ἀνακαλυφθέντων μαγίστρων τὲ καὶ πατρικίων καθεζομένων ἐν τῷ ἱπποδρομίῳ, οἷς μὲν προσέταττον ξίφει ἀναιρεῖσθαι, οἷς δὲ ἔξω τῶν τειχέων φουρκίζεσθαι. καὶ οὕτω λιγυρῶς ἐτελευτήσαντο. ὧν δὲ τοὺς ὀφθαλμοὺς ἐξορύττειν, ἑτέροις νευροκοπεῖσθαι, οὓς δὲ ῥάβδοις καὶ βουνεύροις μαστίζεσθαι, καὶ τοὺς μηδὲν ἠδικηκότας, καὶ ἄλλους εἰς δεσμωτήρια ἀπεκλείσαν, οὓς δὲ ἐξώρισαν, ἄλλων τὰς ὑποστάσεις εἰσεκόμισαν, καὶ πάνδεινα αὐ-(19)τοῖς κακὰ ἐνεδείξαντο. οἱ οὖν ἀνελόντες τὸν Δοῦκαν, ἀποτεμόντες τὰς κάρας αὐτοῦ τὲ καὶ τοῦ υἱοῦ αὐτοῦ, εἰσεκόμισαν αὐτὰς ἐνώπιον τοῦ ἀρχιεπισκόπου Νικολάου καὶ τῶν σὺν αὐτῷ, ἅσπερ θεασάμενοι καὶ γνωρίσαντες, τινὰς καὶ δωρεᾶς οὐ τὰς τυχούσας τοῖς ταῦτα δράσασιν ἀπένειμαν. καὶ προστάττουσι τῷ ὑπάρχῳ τῆς πόλεως, ἵνα ἀρθῶσι πάντων τῶν ἀναιρεθέντων τὰ λείψανα καὶ ριφῶσιν εἰς τὴν θάλασσαν. καὶ οὔτε ὡς χριστιανοὺς ὤκτειραν αὐτοὺς ὅπως κἂν τῇ ταφῇ παραδώσωσι τὰ ἐκείνων σκηνώματα. ἀλλ' ἐπὶ ἁμάξας τιθέντες αὐτοὺς οἱ ἀνήμεροι θῆρες ἡμιτμήτους γεγυμνωμένους μισοκομμένους, οὕτω δημοσίᾳ σύραντες ἐν πόντῳ τὰ σώματα αὐτῶν οἷα τινῶν κυνῶν ἐνέβαλον. φασὶ δέ τινες, ὅτι πλέον ἢ τρισχιλίους τῷ τηλικαῦτα ἀναιρεθῆναι ὑπ' αὐτῶν, οἵτινες ἐπέδωκαν ἑαυτοὺς τῷ θανάτῳ μηδὲ εἷς ἐξ αὐτῶν σπασά-(19 οβ.)μενος ρομφαίαν, μὴ δὲ τὸ οἰονοῦν ξίφος κατά τινος, διὰ τὸν ὅρκον ὃν ὤμοσεν αὐτοῖς ὁ Δούξ, ἀσφαλισάμενος αὐτοὺς μὴ δεῖν τεῖναι βέλος κατὰ χριστιανοῦ ὁμοπίστου καὶ ἐκχέαι αἷμα ἀθῷον ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς εἰς τὰ βασίλεια. ὅσους δὲ πόρρω τοῦ ἄστεος ἐν φούρκαις ἐκρέμασαν ἱκανοὶ ἀξιόπιστοι περὶ τούτων μεμαρτυρήκασιν. ὡς ἐν ταῖς νυξὶν ἑωράκασιν ὑπεράνω αὐτῶν καθ' ἕνα ἕκαστον ἀστέρα ἐκ τοῦ οὐρανοῦ κατερχομένον ἀνδρῶν, δεικνύντες τοῦ Θεοῦ παραδόξοις σημείοις, ὅτι εἰ σώματα αὐτοὺς ἀνεῖλον, οἱ ἀνήμεροι ἐκεῖνοι

καὶ ψευδώνυμοι χριστιανοί, ἅπαξ γὰρ τοῦ Δουκὸς ἀναιρεθέντος ὑπ' αὐτῶν δέον τῶν ἄλλων φείσασθαι, οὐκ ἀντισταμένων, οὐ χεῖρα αἰρόντων, οὐκ ἐριζόντων, οὐ κραυγαζόντων. οἱ δὲ ἀνοήτως (20) καὶ ἀνημέρως φεῦ τῆς ἐκείνων ἀθλιότητος, σῖμα ἀθῷον ἐξέχεαν. οὐαὶ αὐτοῖς κατὰ τὴν φρικτὴν ἡμέραν τῆς κρίσεως, ὅτι τὸ αἷμα τῶν χριστιανῶν ἐκ τῶν χειρῶν αὐτῶν ἐκζητήσει ὁ Κύριος καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς αὐτοῦ ἀνθ' ὧν οὐκ ἐφυλάξαντο οὐκ ἀνταποδώσεως κακὸν ἀντὶ κακοῦ, καὶ ὅτι ὁ ἐκχέων αἷμα ἀδίκως κἀκείνου τὸ αἷμα ἐκχυθήσεται. ἄνδρα τὲ αἵματος καὶ δόλιον βδελύσεται Κύριος. ὡς δὲ εἴρηται, τὴν κάραν του ἀτυχεστάτου ἐκείνου Δουκὸς ἀποτέμνοντες οἱ στρατιῶται, μᾶλλον δὲ δήμιοι, εἰσήγαγον κατὰ πρόσωπον τοῦ Ἡττηλάου ἐκείνου ἢ Νικολάου καὶ τῶν δυστήνων τῶν σὺν αὐτῷ ἐκέλευσαν κόντῳ ἐμπαρεῖσαι αὐτὸν καὶ εἰς ὕψος ἀρθεῖσαν διὰ πάσης τῆς πόλεως περιάγεσθαι τοῖς πλήθεσιν, ἵνα φησὶν οἱ τὰς ἐλπίδας ἐπ' ἐκεῖνον κεκτημένοι, καταισχυνθῶσιν ἀστο-(20 οβ)χήσαντες καὶ τέλος τῷ κόλπῳ τῆς θαλάσσης καὶ ταύτης παραπέμψασθαι (sic) καὶ οὕτω τὸ μὲν στῖμα αὐτοῦ ἰχθυόβρωτον ἐπὶ τῆς θαλάσσης γέγονε, τὸ δὲ πνεῦμα αὐτοῦ τὸ ἀείμνηστον ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ ἀπενεχθὲν ἀναψυχὴν οὐ τὴν τυχούσαν ἐδέξατο οὐ γὰρ τυραννίδι χρησάμενος, ὡς προείπαμεν, τοῖς βασιλείοις προσεχώρησεν, ἀλλ' ὅρκοις φρικωδεστάτοις θαρρήσας τῶν κρατούντων ἄλλως τε καὶ ὅτι δυνάμενος ὅπλοις μάχεσθαι καὶ πῦρ καίειν εἰς τὰ βασίλεια καὶ οὕτω τοὺς ἔσωθεν ἀμύνασθαι, τοῦτο οὐκ ἐποίησε, ἀλλ' ἐπὶ τῷ Θεῷ ἀναθεὶς τὰ ἑαυτοῦ διὰ τοῦδε τοῦ πειρασμοῦ τὴν τῶν οὐρανῶν βασιλείαν ἀντέλαβε καὶ οὐκέτι τὸ δεινὸν τοσοῦτον ἐπὶ τοῖς λοιποῖς τῶν τὰ βασίλεια φυλαττόντων ὅσον ἐπὶ τῷ ποιμένι τῶν λογικῶν προβάτων, τῷ Ἀγρικολάῳ φημὶ μᾶλλον ἢ Νικολάῳ. πῶς ἀνέπτυσσε τὰ ἄχραντα εὐαγγέ-(21)λια ταῖς μιαραῖς αὐτοῦ χερσί; πῶς δὲ οὐκ ᾔδει τό Θεοῦ, οὗπερ ἂν τι πρόσωπόν ἐπὶ τῆς γῆς ἦν, λέγοντος· „Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς καὶ ὅτι ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων.“ ὁ δὲ λαβὼν μάχαιραν κατέσφαξε τὰ πρόβατα κἀκείνου φάσκοντος, ὅτι ὁ ποιμὴν ὁ καλὸς καλεῖ τὰ πρόβατα κατ' ὄνομα καὶ εἰσάγει αὐτὰ καὶ ἐξάγει πρὸς νομὰς χλόης πνευματικῆς, οὗτος βόθρον ὤρυξε καὶ ἡτοίμασε λάκκους καὶ κρημνοὺς κατεσκεύασε καὶ τὰ πρόβατα κατεκρήμνισε. καὶ αὖθις ἐκείνου λέγοντος, ὡς ὁ μισθωτὸς θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει, κρεῖττον ἦν καὶ τῷ ἀθλίῳ Νικολάῳ εἰς φυγὴν τραπῆναι μᾶλλον καὶ μὴ αὐτὸν λύκον γενέσθαι καὶ καταφαγεῖν τὸ ποίμνιον.

ταῦτα δὲ πάντα, ἀγαπητοί, ἐπὶ τοῦτο εἰς μέσον παρήγαγον, ἵνα σαφῶς γνῶτε, ὁποῖος ἦν τῷ διορατικῷ χαρίσματι ὁ ὅσιος πατὴρ (21

οδ.) ἡμῶν Βασίλειος. τὰ γὰρ γεγενημένα πάντα πρὸ τοῦ γενέσθαι αὐτὰ προεσήμανεν ἡμῖν ὁ μακάριος, οὐχ ἅπασιν, ἀλλὰ τοῖς μυστικωτέροις αὐτοῦ. φησὶ γὰρ καὶ ἡ γραφή· „οὐ ποιήσει Κύριος ῥῆμα ἐπὶ τῆς γῆς, ὃ μὴ ἀποκαλύψει τοῖς δούλοις Αὐτοῦ“. ἐν ταῖς ἡμέραις οὖν Ρωμανοῦ τοῦ βασιλέως Σαρωνίτης ὁ τοῦδε γαμβρὸς ἐπὶ θυγατρὶ, ὑπέρογκος ὢν ἐν νοήσει καὶ ὑπερηφανίᾳ, ἐφρυάττετο καθ' ἑαυτὸν εἰ δυνατον αὐτῷ ἐλεῖν τὸ κράτος τῆς βασιλείας. τοὺς δὲ βασιλεύοντας εἰ καὶ συγγενεῖς αὐτοῦ ἦσαν καταγαγεῖν καὶ εἰς τέλος ἀπολέσαι. τὸ δὲ πᾶν τοῦ μίσους εἰς Κωνσταντῖνον ἐκέκτητο τὸν Πορφυρογέννητον, γαμβρὸν μὲν ἐπὶ θυγατρὶ Ρωμανοῦ τυγχάνοντα υἱὸν δὲ Λέοντος τοῦ βασιλέως· οὐ μόνον δὲ ἐκεῖνος, ἀλλά γε καὶ αὐτοῦ τὸ γένος τοῦ Ρωμανοῦ ὡς θῆρες ἀπηγριωμένοι ἐβιάζοντο καταφαγεῖν αὐτὸν εἰ συνεχώρει αὐτοῖς ὁ βραχίων Κυρίου ὁ φυλάσσων αὐτόν. ἐβουλεύετο δὲ ὁ εἰρημένος Σαρωνίτης πῶς ἂν τὸν συσκευὴν διαθῆται χλεύην ὁ ταλαίπωρος ὑπομένων (22) παρὰ τοῦ ἐξαπατῶντος αὐτὸν μεσημβρινοῦ δαίμωνος κατὰ φησὶν ἡ γραφή. τοιοῦτο γὰρ ἡ οἴησις καὶ τὸ τύφος καὶ καὶ ἡ ὑπερηφανία. ἑπτὰ γὰρ βασιλεῖς ἐν τοῖς βασιλείοις τότε ἐτύγχανον. καὶ ἐσπούδαζε καὶ ὁ δεύτερον Ἱεροβοὰμ ὄγδοος γενέσθαι. ὁ γοῦν ὁσιώτατος πατὴρ ἡμῶν Βασίλειος ἅτε πνεύματος ἁγίου ἔμπλεως ὢν ὡς σκεῦος καθαρώτατον αὐτοῦ, πλησίον τοῦ οἴκου τοῦ ῥηθέντος Σαρωνίτου τὴν καταμονὴν κεκτημένος, ἐγίνωσκεν ἐκ Θεοῦ ὁποῖα αὐτὸς μηχανᾶται, τίνα δὲ βουλεύεται. καὶ λογισάμενος ἐν ἑαυτῷ εἴρηκεν· ὁρᾷς τοῦτον τὸν δυσμενέστατον ὅπως τοῦ Θεοῦ μὴ ἔχοντος αὐτὸν εἰς βασιλέα, αὐτὸς ἑαυτῷ βιάζεται τὴν βασιλείαν ἀποκαταστῆσαι. ἀλλ' ἔχω αὐτοῦ τὰ ἀπόρρητα τὰ τῆς διανοίας καὶ ἴσως παύσει ἑαυτὸν τῆς ἀκαίρου ταύτης ἐγχειρήσεως. μιᾷ οὖν τῇ ἡμερῶν ὡς ἐξῄει τοῦ πυλῶνος αὐτοῦ ἐπὶ τὰ παλάτια ἀπερχόμενος καὶ ἀπείρῳ φαντασίᾳ περιειλημμένος, ἦν γὰρ τῷ τότε (22 οδ.) μάγιστρος, συναντήσας αὐτῷ ὁ ἅγιός φησιν· „ἵνα τί μελετᾷ ἡ καρδία σου πονηρὰ κατὰ τῆς τοῦ Χριστοῦ κληρονομίας; οὐκ ἔστι σοι παρὰ Κυρίου ἢ σχοίνισμα κληρονομίας ἐν τῷ κλήρῳ τῆς βασιλείας; ἡσύχασον οὖν καὶ μὴ εἰς μάτην κοπία, μή ποτε ὀργίσθη σοι ὁ Κύριος καὶ ἀπωλέσεις καὶ τὴν τιμὴν ταύτην, ἣν δοκεῖς ἔχειν.“ ταῦτα τοῦ μακαρίου εἰρηκότος αὐτῷ, ὀργῆς καὶ θυμοῦ ἀνάπλεως γενόμενος, ὡς ἅτε ἄλλη ἀσπίς, οἰκείᾳ χειρί ὡς κατεῖχε τὸ ἱππηλατικὸν αὐτοῦ βοΐνευρον κατὰ κεφαλῆς οὐ διέλειπε παίων τὸν ὅσιον. μάστιξι οὖν καὶ ὕβρεσιν ἀπωσάμενος αὐτὸν ἀπέρχεται ἔμπροσθε τὴν ὁδὸν αὐτοῦ. ὁ δὲ μακάριος Βασίλειος εἰς οὐδὲν θέμενος τὰ παρ' ἐκείνου αὐτῷ πραχθέντα τῇ ἐπαύριον αὖθις συναντήσας αὐτῷ τὰ αὐτὰ αὐτῷ καὶ πάλιν διέθετο. βαρέως οὖν ἐκεῖνος ταῦτα ἐνέγκων,

προστάττει τοῖς ἀνθρώποις αὐτοῦ κατασχεῖν αὐτὸν καὶ ἀσφαλῶς τηρεῖν ἐν τῷ οἴκῳ αὐτοῦ μέχρις ἂν ὑποστρέψῃ τοῦ (23) πολατίου. τούτου γοῦν γενομένου μετὰ τὸ ὑποστρέψαι προκαθίσας ἐν τῷ προαυλίῳ αὐτοῦ προστάττει τὸν ὅσιον στῆναι ἔμπροσθεν αὐτοῦ, ἐνεχθῆναι δὲ καὶ ῥάβδους χλωρὰς καί φησι πρὸς αὐτόν· „λέγε μοι, κακόγηρε, τίς σε πονηρὸς δαίμων ἐπὶ τοσοῦτον ἤλασε θάρσους, ὥστε μετὰ τοσαύτης αὐθαδείας συναντῆσαί μοι καὶ τοσαῦτα κατ' ἐμοῦ δημοσίᾳ ληρῆσαι. οὐ συνῆκας, ὅτι γαμβρὸς βασιλέως πέφυκα καὶ τῶν βασιλείων πρώτιστος; καὶ ὅτι πλῆθος πλούτου ἐμοὶ ὡσεὶ ἄμμος τῆς παραλίας; καὶ οἰκετῶν πλῆθος, καὶ κτήματα, καὶ χρήματα ἀναρίθμητα, καὶ τετραπόδων ἀγέλαι, καὶ χρύσεον ἄπειρον καὶ ἀργύριον, καὶ δόξα, καὶ περιφάνεια μεγίστη παρὰ Θεῷ καὶ βασιλεῦσι καὶ μεγιστάσι μοι καθέστηκεν, αὐτὸς δὲ εὐτελὲς γερόντιον εἰς πᾶν τι ἀθέατον καὶ πενιχρὸν καὶ εὐκαταφρόνητον, πῶς οὖν τετόλμηκας ταῦτα μοι ἀναιδεύσασθαι καὶ μᾶλλον (23 οβ.) δημοσίως,—λέγε μοι πρὸ τοῦ τεθνᾶναι σε.“ ὁ δὲ μακάριος ἔφη πρὸς αὐτόν· „τίνα οἴει κρύπτειν τὸν ἐν τῇ πονηρᾷ σου καρδίᾳ δόλον; Κύριός ἐμοι πεφανέρωκε ἃ μέλλεις τολμᾶν κατὰ τῶν κρατούντων. ἀποστάτου γὰρ οὖν τῆς τοιαύτης πονηρᾶς βουλῆς καὶ μὴ μελέτα τὴν ἀνταρσίαν. διαμαρτύρομαι γάρ σοι, ὡς εἰ μὴ τὴν τοιαύτην ἐάσεις βουλήν, πονηρά σοι Κύριος διάθηται καὶ ἐκτριβῇ σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς.“ τότε οὖν ὑπερχέσας τῷ ὁ παράφρων καὶ λίαν δηχθεὶς τὴν καρδίαν, φησὶ πρὸς τοὺς ὑπηκόους αὐτοῦ „ἁπλωθήτω ἐπὶ τῆς γῆς ὕπτιος ὁ ψευδοπροφήτης οὗτος καὶ τυπτέσθω ῥάβδοις ἀφειδῶς, ἵνα ὁ συμπεριφερόμενος αὐτῷ τῆς μαντείας δαίμων ἐξέλθῃ ἀπ' αὐτοῦ.“ τυπτομένου δὲ αὐτοῦ ὥσπερ ἄψυχον ξύλον οὕτω διέκειτο, μηδὲν τὸ παράπαν ἀποκρινόμενος, μόνος δὲ ὁ πάταγος τῶν ῥάβδων ἐπὶ τὰ ἔξω ἠκούετο. μόλις δὲ (24) ἀνεθῆναι αὐτὸν προστάξας ἐκέλευσεν ἐκγεισθῆναι ἐν ἑνὶ τῶν οἰκίσκων καὶ ἀσφαλῶς παραφυλάττεσθαι. τῇ δὲ ἐπαύριον ἐξαγαγὼν αὐτὸν βουνεύροις εὐτόνως ἐμάστιζε, λέγων πρὸς αὐτόν· „μὴ εἶ αὐθάδης καὶ ἀλαζὼν καὶ προπέτης ἐν λέξεσιν. καὶ ἃ οὐ μὴ συνῆκας μὴ προφήτευε.“ πάλιν οὖν ἐκέλευσεν αὐτὸν ἐγκλεισθῆναι καὶ φυλαχθῆναι ἄχρι τῆς ἑωθεν. τῇ δὲ ἐπαύριον μετὰ τὸ γεύσασθαι καὶ μεθυσθῆναι αὐτὸν ἐξενεγκεῖν αὐτὸν προστάττει καὶ ροπάλοις ἀνενδότως τύπτεσθαι. τοῦ δὲ πυλῶνος τοῦ οἴκου αὐτοῦ ἀνεῳγμένου τῷ τηνικαῦτα λαχόντος ἡ θεοφιλὴς ἐκείνη γυνὴ ἡ σύμβιος τοῦ κεκτημένου τὸν ὅσιον ἄνδρα ἡ ἀξιομνημόνευτος Ἑλένη, θεασαμένη τὸν ἅγιον βασανιζόμενον, λαθοῦσα τὸν ὀστιάριον τὸν ἐπὶ τοῦ πυλῶνος, δρόμῳ εἰσεπήδησε εἰς τὸ προαύλιον καὶ μετὰ πικρῶν δακρύων καὶ οἰμωγῶν ἐπέπεσεν ἐπάνω τοῦ δικαίου, λέγουσα τοῖς τύπτου-(24

οδ.)σιν αὐτόν· „ἐμὲ μαστίξατε τὴν ἁμαρτωλὸν καὶ ἄσωτον καὶ μὴ τὸν φωστῆρα μου καὶ πατέρα καὶ ποιμένα. ἐμὲ φονεύσατε ἀντ' αὐτοῦ παρακαλῶ καὶ τοῦτον ἄφετε ὑπάγειν ἔνθα βούλεται. ὦ τῆς ἀδικίας. ὦ ἀνομίας, ἣν ὑμεῖς εἰς τὸν ἐκλεκτὸν Κυρίου ἐργάζεσθε.“ ὡς δὲ ταῦτα τὸ εὐσεβὲς ἐκεῖνο γύναιον ἀπεφθέγγετο πνευματικῷ φίλτρῳ συνεχομένη, ὁ θὴρ ἐκεῖνος ὁ δυσμενέστατος καὶ ἀνηλεὴς καὶ ἄσπλαγχνος— „τύψατε ταύτην, φησὶν, ὥσπερ καὶ βούλεται τάχα γὰρ μοιχὸς αὐτῆς ἐστιν.“ καὶ κρατήσαντες αὐτὴν ἔτυπτον αὐτὴν ἀφειδῶς ἄχρις οὗ πάντη ἀπέψυξε. τότε οὖν προστάττει ὁ ἀλιτήριος καὶ ἕλκουσιν αὐτὴν ἀπὸ τοῦ ποδὸς ὡς ὑνάριον νεκρὰν σχεδὸν χρηματίζουσαν. τὸν δὲ μακάριον Βασίλειον προστάττει ἱμάσι δεθέντα ἀπὸ τῶν αἰδοίων (ἀγκώνων?) μετεωρισθῆναι καὶ βουνεύροις εὐτόνως μαστίζεσθαι. καὶ ἦν αὐτῷ τὸ κρέμασθαι δεινότερον τοῦ μαστίζεσθαι. ἔφερε δὲ ὅμως τὴν βάσανον ταύτην γενναίως τοῦ Θεοῦ προ-(25)δήλως ἐνισχύοντος αὐτὸν, τοῦ λυτρουμένου τοὺς δούλους Αὐτοῦ κατὰ τὸν Δαυὶδ ἐκ ρομφαίας πονηρᾶς. πεντακοσίας τοιγαροῦν πληγὰς δεξαμένου αὐτοῦ ἐκ βουνεύρων μόλις ποτὲ προσέταξεν αὐτὸν κατενεχθῆναι καὶ ἐν τῇ φρουρᾷ ἀσφαλισθῆναι, φήσας· „ἀπό σου παιδεύσω ἱκανοὺς μὴ τοιαῦτα τολμᾶν.“ μετ' οὐ πολὺ δὲ τὸ τυφθὲν ἐκεῖνο γύνσιον διὰ τὸν ὅσιον φλεγμονὴν ποιῆσαν ἐκ τῶν πληγῶν τέλει τοῦ βίου ἐχρήσατο. καὶ, εἰ μὴ τολμηρὸν εἰπεῖν, ἄλλη τις μάρτυς ἐπορεύθη πρὸς τὸν Χριστὸν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. εἴρηκε γὰρ ὁ Κύριος· „μείζονα ταύτης ἀγάπης τὶς ἔχει ἵνα θῇ τις τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ“ καὶ εἰ ὑπὲρ ἁπλῶς φίλων πόσῳ μᾶλλον ὑπὲρ δικαίων. ὥσπερ αὐτή τε τὴν ψυχὴν αὐτῆς ὑπὲρ δικαίου ἀνδρὸς ἔθετο. τοῦ μακαρίου γοῦν Βασιλείου χρηματίζοντος ἐν τῇ φρουρᾷ, τῇ νυκτὶ ἐκείνῃ θεωρεῖ ὁ Σαρωνίτης ἐν ὁράματι δρῦν εὐστοχωτάτην λίαν καὶ εἰς ὕψος ἄπειρον ἐγηγερμένην (25 οδ.) τῇ κορυφῇ δὲ αὐτῆς κόραξ ἐπεκάθητο νοσσιὰν ἐπιθάλπων νεοστοὺς κεκτημένην. ὁρᾷ οὖν πνεύματος ἐληλυθότος ἀθρόους ἀξίνας κατέχοντας ὅπως τὴν δρῦν τεμῶσι καὶ ἐπὶ τὴν γῆν κατεάξωσιν. ἔφασκον γὰρ, ὅτι ὁ κόραξ ὁ ἐπὶ τὴν δρῦν φωλεύων μεγάλα κεκραγὼς οὐκ ἐᾷ τὸν βασιλέα ἡδέως καθευδῆσαι ἐπὶ τῆς στρωμνῆς αὐτοῦ. ἕτεροι δὲ ἔλεγον· „ὁ κόραξ μεγάλως παρηνώχλησε τῷ ἀγαπητῷ τοῦ Θεοῦ Βασιλείῳ.“ ἐπὶ τούτοις οὖν ἔτεμον τὴν δρῦν εὐτόνως τῇ ἀξίνῃ. ἡ δὲ ἀποτμηθεῖσα κατέπεσε ἐπὶ τὴν γῆν. καί τινες ρακοδυτοῦντες προσερχόμενοι καὶ κλῶντες τὰ κλάδη τοῦ δένδρου εἰς πυρκαϊὰν αὐτὰ ηὐτρέπιζον. ἑώρα δὲ καὶ τὸν ὅσιον πατέρα ἡμῶν Βασίλειον πρὸς τὴν πτῶσιν τοῦ δένδρου ἱστάμενον καὶ λέγοντα „πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται καὶ καίεται. οὐκ ἐγώ σοι προέλε-

γον,—ἀπόστα τοῦ ἀνταρτικοῦ ἐγχειρήματος, (26) ἰδοὺ τοιγαροῦν καὶ ὁ ἐκέκτησο ὕψος ἀφῃρέθης.“ ἐπὶ τούτοις οὖν ἀνείθη τοῦ ὁράματος. πρωΐας δὲ γεγωνυίας εὗρεν ἑαυτὸν ὁ ὑπερήφανος νόσῳ δεινῇ βεβλημένον καὶ συνορῶν καθ' ἑαυτὸν τὸ ὄναρ ἠθύμει λίαν· παραυτίκα οὖν προστάττει καὶ τῆς εἴρκτης ἀπολύουσι τὸν δίκαιον. αὐτὸς δὲ ὁ ἄνους οὐκ ἐκάμφθη εἰς ἱκεσίαν ἐλθεῖν τοῦ ὁσίου. ἴσως γὰρ ἂν ηὔξατο ὑπὲρ αὐτοῦ καὶ τῆς ἀρρωστίας ἀπηλλάγη ἀλλὰ καὶ κακῶς φρονήσας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ τὸν βίον κατέστρεψεν ἐν ταύτῃ τῇ νόσῳ ὥστε πληρωθῆναι διὰ τάχους τὸ ὄναρ τούτου ὃ παρεδήλου τὸν ἔχθιστον αὐτοῦ θάνατον. οὕτως οὖν ὁ Σαρωνίτης τελευτήσας δύο υἱοὺς διαδόχους τῆς αὐτοῦ καταλέλοιπε ὑποστάσεως.

ὁ δὲ μακάριος Βασίλειος τὸν ἀγῶνα τοῦ πειρασμοῦ ἐκείνου Θεοῦ χάριτι νενικηκὼς καὶ ἀπολυθεὶς ἦκε πρὸς τὸν προμνημονευθέντα δοῦλον τοῦ Θεοῦ Ἰωάννην, οὑτινος ἐν τῇ οἰκίᾳ καὶ πρότερον κατῴκει. θε-(26 ob.)ασάμενος δὲ αὐτὸν ἐκεῖνος δάκρυσι γοεροῖς ἅμα καὶ χαροποιοῖς τὸ ἔδαφος ἔβρεχε. καθορῶν τὰ ἕλκη καὶ τοὺς μώλωπας ἐν τῷ τιμίῳ αὐτοῦ σώματι ἀκουστὸν δὲ ἐγένετο πᾶσι τοῖς προσφιλέσιν αὐτῷ, ὅτι ἀπολυθεὶς πρὸς αὐτὸν πάλιν ἐπανῆκε, καὶ ἤρχοντο πάντες οἱ πρότερον ἔχοντες σχέσιν εἰς αὐτὸν καὶ ἀπολαμβάνοντες μελιρρύτων διδασκαλιῶν καὶ ὁσίων εὐχῶν αὐτοῦ.

μετ' ὀλίγον οὖν καὶ ὁ ὑπηρέτης αὐτῷ θεοφιλέστατος Ἰωάννης καλῶς πληρώσας τὸν δρόμον αὐτοῦ τέλει τοῦ βίου ἐχρήσατο καὶ πρὸς τὸν ποθούμενον ἐξεδήμησε Κύριον. καὶ ἦν ὁ ὅσιος μόνος ἐν τῇ οἰκίᾳ τοῦ εἰρημένου ἀνδρός πολλοὶ οὖν ἐκ πίστεως ἔσπευδον ποῖος αὐτὸν ἄρῃ ἐν τῇ οἰκίᾳ αὐτοῦ. ὁ δὲ μακάριος οὐδενὶ ἐπένευσεν εἰς τοῦτο, ἀλλ' ἐκαρτέρει ἐν τῇ οἰκίᾳ. οἱ γὰρ ἐρχόμενοι καθ' ἑκάστην πρὸς αὐτὸν χάριν ἐπισκέψεως (27) διηκόνουν αὐτῷ. πολλοὺς γὰρ τῶν ἐν ποικίλοις νόσοις συνεχομένων πρὸς αὐτὸν φοιτῶντας μετὰ πίστεως ἰάτρευε καὶ ὑγιεῖς εἰς τὰ οἰκεῖα ἐξαπέστελλε, ποτὲ μὲν εὐλογίαν αὐτοῖς παρέχων ἐξ ὧν αὐτοὶ ἐκόμιζον, ποτὲ δὲ καὶ ἀπὸ τούτων εὐρωστίαν πρυτανεύων. πολλάκις δὲ καὶ ἄνωθεν αὐτῶν ἐπιβαίνων καὶ τοῖς νεφοῖς αὐτῶν ἐφιστάμενος τοὺς κάμνοντας ἐθεράπευεν. ἐκόμιζον οὖν αὐτῷ ἄρτους καὶ οἶνον καὶ ὀπώρας παντοίας οἱ πρὸς αὐτὸν ἐρχόμενοι καὶ σὺν αὐτῷ καθεζόμενοι μετὰ καὶ ἄλλων πενήτων ἐδαπάνων αὐτά, εὐλογοῦντο αὐτὰς τοῦ ὁσίου. οὐδὲν γὰρ ἀπὸ τῶν προφερομένων αὐτῷ εἰς τὸ αὔριον παρεφύλαττεν, ἀλλὰ πάντα αὐτῇ τῇ ὥρᾳ ἀνηλίσκοντο, πληρῶν τὰ εἰς τὸ ὑπὸ τοῦ Κυρίου δεδιδαγμένον· „τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δός ἡμῖν σήμερον.“ καὶ—„ὅτι μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε, ἢ τί (27 ob.) πίητε“ καὶ τὰ ἑξῆς. ἐπὶσ-

τευε γὰρ τῇ γραφῇ, ὅτι οὐ λιμοκτονήσει Κύριος ψυχὴν δικαίου. καὶ αὖθις,— „ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος, τροφὴν δίδωσι τοῖς φοβουμένοις Αὐτόν. καὶ ἰδοὺ οἱ δουλεύοντές μοι φαγέτωσαν", καὶ τὰ παραπλήσια. ὅσον γὰρ ὁ ὅσιος τὰ ἐρχόμενα πρὸς αὐτὸν διεσκόρπιζε, τοσοῦτον οἱ παραγενόμενοι καὶ ταῦτα κομίζοντες καθ' ἑκάστην ἐπληθύνοντο. ποίᾳ γὰρ ὥρᾳ πορευθείς τις πρὸς αὐτὸν οὐχ εὗρισκε πλήθη ἄπειρα πενήτων καὶ ἀπόρων καθεζόμενα καὶ διττῶς εὐφραινόμενα. ἀπελάμβανον γὰρ καὶ σωματικῆς τροφῆς καὶ ψυχικῆς, συμπαθὴς γὰρ ἦν καὶ γλυκύτατος, οἰκτίρμων τὲ καὶ εὐμετάδοτος, πρᾷος καὶ ἄκακος καὶ ταῖς πονηρίαις τοῦ βίου νενεκρωμένος παντάπασιν ὁ πανοσιώτατος καὶ ἀείμνηστος οὗτος πατὴρ ἡμῶν. ἤρχοντο δὲ καί τινες μεγιστάνοι πρὸς αὐτὸν καὶ κομιζόμενοι τὰς ὁσίας αὐτοῦ εὐχὰς (28) οἴκαδε ᾤχοντο. ἱερεῖς τὲ καὶ ἱεράρχαι, μοναστὰι καὶ μιγάδες πρὸς αὐτὸν ἐφοίτων ἀεί. καὶ κομιζόμενοι ριύμην ψυχῆς τὲ καὶ σώματος ὑπέστρεφον χαίροντες ἐπὶ τὰ ἴδια αὐτῶν.

Κωνσταντῖνος δέ τις τούνομα, ὃν βάρβαρον οἱ πάντες ὠνόμαζον διὰ τὸ ἐθνικὸν αὐτὸν εἶναι, πριμμικηρίου ἀξίᾳ τετιμημένος πίστιν ὑπερβάλλουσαν καὶ διάπυρον ἔρωτα κεκτημένος πρὸς τὸν ὅσιον ὡς οἷα μαθητὴς αὐτοῦ τυγχάνων, μεμάθηκε, ὅτι τετελευεύτηκε Ἰωάννης ὁ ὑπηρετῶν αὐτοὺ καὶ ὅτι μόνος ἐκεῖσε διῆγε, σπεύσας πρὸς αὐτὸν παρεγένετο καὶ μετὰ τὸ ἀπολαύσασθαι τῆς θεοφιλοῦς νουθεσίας αὐτοῦ ρίπτει ἑαυτὸν εἰς τοὺς πόδας αὐτοῦ μετὰ δακρύων παρακαλῶν αὐτὸν καὶ ἱκετεύων ὅπως εἰς τὴν οἰκίαν αὐτοῦ εἰσελεύσηται καὶ κατασκηνώσει ἐκεῖ. θεασάμενος οὖν ὁ ὅσιος τὴν σχέσιν καὶ προθυμίαν αὐτοῦ καὶ ὅτι ἔνδοξος ὢν κοτὰ τὸν βίον καὶ οὕτω πρὸ τῶν ποδῶν αὐτοῦ κυλινδού-(28 οβ)μενος ἐπένευσε τῇ αἰτήσει αὐτοῦ καὶ ἀναστὰς ἐπορεύθη μετ' αὐτοῦ καὶ εἰσελθὼν ἐν τῷ οἴκῳ αὐτοῦ. ἦν δὲ ὁ οἶκος ἐν ταῖς Ἀρκαδιανοῖς. ἐχάρη δὲ χαρὰν μεγίστην ὁ πριμμικήριος ἐπὶ τῷ γεγονότι, ὅτι ὅλως ἠξίωσε ὁ ὅσιος καταθέσθαι τῇ αἰτήσει αὐτοῦ τοῦ ἀφικέσθαι ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ὑπεδέξατο αὐτὸν χαίρων. καὶ προστάττει εὐθὺς ἀφορισθῆναι αὐτῷ ἰδίως μέρος τι τῆς οἰκίας ἐπιτηδειότατον πρὸς ἡσυχίαν καὶ ἀπερίσκοπον, θεὶς ἐν αὐτῷ κλίνην καὶ λυχνίας καὶ τράπεζαν καὶ πᾶσαν τὴν σωματικὴν αὐτοῦ χρείαν ἑτοιμάσας ἀμελιπῆ, ἄλλην σουμανίτιν ἐν τούτῳ μιμούμενος δοὺς αὐτῷ καὶ πρὸς ὑπερεσίαν ἣν εἶχε τιθῆναι ἀπὸ τῶν δουλίδων αὐτοῦ γηρεὰν τινὰ πάνυ σεμνὴν καὶ φιλάρετον καὶ ἐπιτηδείαν εἰς τὸ διακονεῖν ταῖς χρείαις τοῦ ὁσίου. ὄνομα ταύτῃ Θεοδώρα. δουλὶς δὲ ἦν αὕτη ὡς εἴρηται, ἣν καὶ ἀπεκλήρωσε τῷ ὁσίῳ ἀεὶ σχολάζειν καὶ ὑπηρετεῖν (29) αὐτῷ. ἥτις ἦν συντρόφῳ αὐτῆς ποτὲ ὁμιλήσασα τῇ κελεύσει τοῦ κυρίου αὐ-

τῆς, ἐξ οὗ καὶ δύο τέκνα ἔτεκεν ἄρσεν τε καὶ θῆλυ. τοῦ οὖν συντρόφου ἦγουν τοῦ συνεύνου αὐτῆς τελευτήσαντος, ἐν σωφροσύνῃ καὶ εὐλαβείᾳ τὸ λοιπὸν διῆγεν, ὑπηρετοῦσα τῷ κυρίῳ αὐτῆς καὶ τὰ τέκνα ἐκτρέφουσα. οὐκ εἶχε γὰρ σύμβιον ὁ κύριος αὐτῆς ἄζυγα τηρῶν ἑαυτὸν καὶ τῷ Κυρίῳ ἀρεταῖς σπουδάζων κατῴκει δὲ ἡ γραῦς ἐν τῷ προαυλίῳ τοῦ οἴκου κέλλαν κεκτημένην σμικροτάτην. ὁ οὖν ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Βασίλειος ἐν τῇ κέλλῃ τῆς γραὸς συνεχῶς ἐσχόλαζεν ὠφελείας ἕνεκα χάριν τῶν πρὸς αὐτὸν παραγενομένων, ἐσπέρας καὶ μόνον ἀνιὼν ἐν τῷ κοιτῶνι αὐτοῦ. ἡ δὲ γραῦς οὐ μόνον καθαρῶς καὶ θεαρέστως διηκόνει αὐτῷ, ἀλλὰ καὶ τοῖς πρὸς αὐτὸν παραβάλλουσι πᾶσιν ὠφελείας χάριν μεσίτης ἀγαθὴ διεδείκνυτο καὶ ὁδηγὸς τοῦ κρείττονος ἐγνωρίζετο ἱκανοί τε (29 οβ.) ἀπὸ τῶν ἀρχόντων ἀρρώστους κεκτημένοι δεόμενοι αὐτοῦ ἐν τοῖς αὐτῆς καταγωνίοις τοῦτον ἐλάμβανον, καὶ γὰρ ὁ ὅσιος ταῖς εὐπροσδέκτοις αὐτοῦ πρεσβείαις δαίμονας ἤλαυνε, πυρετοὺς ἔπαυε καὶ ἁπλῶς πάσαν νόσον ἰᾶτο.

Ἀναστασία οὖν, ἡ πανεύφημος πατρικία καὶ ζωστὴ πλησίον τοῦ εἰρημένου Κωνσταντίνου, ἔνθα ὁ ὅσιος κατῴκει, τὴν οἴκησιν ἔχουσα συνεχῶς μετεστέλλετο τὸν ὅσιον ἐν τῷ οἴκῳ αὐτῆς. καὶ ὑπ' αὐτοῦ τὸν ὀρθὸν ἐπαιδεύετο βίον. ἀεὶ γὰρ ἤλεγχεν αὐτὴν φανερῶς, εἴ πως γυνὴ πλανηθεῖσα ἐχημάρτανεν ἐν τῷ κρυπτῷ· ἡ δὲ τὰς νουθεσίας δεχομένη τοῦ ἁγίου πολλὰς ἐλεημοσύνας ἐπετέλει καὶ ἐν ταῖς ἐκκλησίαις συνεχῶς ἐφοίτα. κατεπλήττετο γὰρ ὁπότε τὰ ἀπόρρητα τῆς διανοίας αὐτῆς ἀπεγύμνου ὁ ἅγιος. καὶ πρὸς τὴν αὐγούσταν φοιτῶσα εἰς τὰ βασίλεια οὐκ ἐπαύετο (30) πρὸς τὴν βασίλισσαν Ἑλένην τὰ παράδοξα τοῦ ἁγίου διηγουμένη, ὥστε θαυμάζειν καὶ αὐτὴν καὶ καταπλήττεσθαι καὶ ἐπιθυμεῖν αὐτόψει κατιδεῖν αὐτὸν καὶ τῆς ἐκείνου ἁγίας εὐχῆς ἐπαπολαῦσαι. πολλάκις δὲ καὶ ἐν τῷ οἴκῳ τῆς πανευφήμου πατρικίας πολλαὶ γυναῖκες τῶν μεγιστάνων συνήρχοντο χάριν τοῦ θεάσασθαι τὸν ἅγιον, πλησίον γάρ, ὡς εἴρηται, ταύτης κατῴκει. ἥτις καὶ μεταστελλομένη τὸν ὅσιον ἠξίου τὰς συνερχομένας αὐτῇ εὐγενικὰς καὶ ἐνδόξας γυναῖκας ταῖς αὐτοῦ νουθεσίαις καὶ παραινέσεσιν ἐπιστηρίζειν. ὁ δὲ οὐ παρητεῖτο τοῦ ποιεῖν, ἀλλὰ πάσας ἐθεράπευε προφητικῷ δὲ χαρίσματι σεμνονόμενος, ἃς μὲν ἑώρα τοῖς νοεροῖς αὐτοῦ ὀφθαλμοῖς ἐναρέτως βιούσας ἐπῄνει τε καὶ σεμνῶς ὑπεδέχετο, ἃς δὲ πάλιν ἑώρα ἀτάκτους καὶ ἐπί τισιν ἀτοπήμασι κεκρατημένας, ἀ-(30 οβ.)πεδριμύτετο καὶ ὠνείδιζε καὶ ἤλεγχε αὐτάς, ὥστε ἐκ τούτου ἱκανοὺς οὐ μόνον ἄνδρας, ἀλλὰ καὶ γυναῖκας πτοεῖσθαι τὸ καὶ μόνον ὀφθῆναι κατὰ πρόσωπον αὐτοῦ, καίτοι θαυμαστὸν πρᾶγμα αὐτοῦ τελοῦντος ἐν ταῖς διαλέξεσιν. ὅταν γέ τινα ἐλέγξαι ἠβούλετο πολλῶν παρόντων καὶ μη-

δένα ἐκείνων ἀκούειν τοὺς ἐλέγχους βουλήματι θείῳ τὴν ἀκοὴν τῶν παρόντων ἀπετείχιζε πρὸς τὸ μὴ αἰδεῖσθαι τὸν ἄνθρωπον ὅπερ διορθώσασθαι ἠβούλετο ταῖς προρρήσεσι.

μιᾷ οὖν τῶν ἡμερῶν καταπλαγεῖσα ἡ αὐγούστα ὑπὸ τῶν περὶ τοῦ ὁσίου συνεχῶς ἀκουομένων αὐτῇ ἀποστείλασα πρὸς αὐτὴν ἕνα τῶν ἐν ιῷ κοιτῶνι τοῦ βασιλέως προσεδρεύοντος, μετεστείλατο τὸν ὅσιον ὅπως εὐλογηθῇ ὑπ' αὐτοῦ καὶ ὡς παραγένετο, ἀναστᾶσα μετὰ πίστεως θερμῆς καὶ Πνεύματι Κυρίου ἔρωτος ὑπεδέξατο αὐτὸν οἱα ἐκλεκτὸν Θεοῦ. ὁ δὲ ὅσιος εὐλόγησας αὐτὴν καὶ εἶπεν αὐτῇ· (31) „διαφυλαχθείη τὸ θεῖον κράτος τῆς ἐκ Θεοῦ δεδομένης σοι βασιλείας εἰς ἱκανοὺς χρόνους καὶ πλησίους καὶ ἀγαθούς, ἔπειτα καὶ τὴν τῶν οὐρανῶν βασιλείαν δωρήσεται ὁ πρύτανις καὶ δοτὴρ πάντων τῶν ἀγαθῶν Θεός". ἡ δὲ αὐγούστα φησὶ πρὸς αὐτόν· „πάλαι ἐπεπόθουν θεάσασθαι τὴν σὴν ὁσιότητα, τίμιε πάτερ. καὶ ἄρτι Κύριος εἰς τέλος τὴν ἐμὴν ἐπιθυμίαν ἐξήγαγε. μὴν οὖν ἀξιῶ τὴν σὴν ὁσιότητα μὴ λήγειν τοῦ εὔχεσθαι ὑπὲρ ἐμοῦ τῆς δούλης σου, ὅπως ἵλεως καὶ εὐμενὴς ἔσται μοι ὁ φιλάνθρωπος Κύριος κατὰ τὴν φοβερὰν ὥραν τῆς ἀνταποδώσεως" ὁ δὲ ὅσιός φησι πρὸς αὐτήν „τέκνον, ἡμῖν μὲν ἀλυσιτελὲς τοῦτο τὸ μὴ προσεύχεσθαι ὑπὲρ ὑμῶν. ὅμως ἐὰν ἡμεῖς μὲν προσευχώμεθα, ὑμεῖς δὲ τουναντίον πράττητε, ἄπρακτος μένει καὶ ἡ ἡμετέρα προσευχή ἔφησε γάρ ποτε ὁ Κύριος πρὸς τὸν προφήτην Ἱερεμίαν ἐκδυσωτοῦντα αὐτὸν ὑπὲρ τοῦ λαοῦ τοῦ Ἰσραήλ· (31 οβ) —μὴ εὔχου ὑπὲρ τοῦ λαοῦ τούτου, οὐ γὰρ μὴ ακούσω σου διότι σὺ μὲν ἐξιλάσκῃ ὑπὲρ αὐτοῦ. αὐτοὶ δὲ τῆς ἁμαρτίας μόνης κρατοῦντες, οὐκ ἀφίστανται ἀπ' αὐτῆς διὰ τοῦτο παραφυλακτέον ἀπὸ τῶν βλαβερῶν καὶ ἐπιμελητέον καθ' ἑκάστην ἡμέραν τῶν ἀγαθῶν, ὅπως ἡ καλλίστη ὑμῶν ἐργασία τῇ δεήσει τῶν ὑπὲρ ὑμῶν εὐχομένων διὰ πολλὴν τὴν παρρησίαν πρὸς τὸν κοινὸν ἡμῶν δεσπότην πρυτανεύσῃ". ταῦτα καὶ ἔτι πλείω ταύτων νουθετοῦντος τοῦ ὁσίου παρεβιάσατο αὐτὸν ἡ θεοφιλεστάτη αὐγούστα τὴν ἑβδομάδα ἐκείνην τοῖς βασιλεί ις παραμεῖναι. καὶ δὲ τῇ αἰτήσει αὐτῆς εἶχεν, ἐδυσώπει οὖν αὐτὸν ἡ αὐγούστα παρακαλέσαι τὸν Θεὸν ὅπως δοθῇ αὐτῇ ἄρρεν τέκνον, ἐπειδὴ τὰ προγεγενημένα αὐτῆς τέκνα θήλεα ἐχρημάτιζον. ὁ δὲ ὅσιος προσεφήτευσεν αὐτῇ λέγων „ἀπὸ τοῦ νῦν ἔτι ἅπαξ τέξεις θῆλυ, καὶ μετ' ἐκεῖνο τέξεις ἄρρεν (32) καὶ ἔσται τὸ ὄνομα αὐτοῦ Ρωμανός. μὴ ἀμφισβήτει οὖν τὸ παράπαν περὶ τούτου αὐξηθήσεται δὲ ὁ παῖς καὶ εἰς μέτρον ἡλικίας ἐλάσει καὶ πάντων τῶν νῦν βασιλευόντων σῶν ὁμαιμόνων ἅμα τῷ πατρί σου ἀρθέντων αὐτὸς μόνος συμβασιλεύσει τῷ ἰδίῳ πατρί, συνευφραινομένης σου αὐτῷ καὶ συνεπαγαλλομένης".

ἡ δὲ τοῦτο ἀκούσασα προσεκύνησε τῷ ὁσίῳ θαυμάσασα εἰ οὕτως ἔσται ἦν δὲ τῶν τηνικαῦτα βασιλέων ὁ Ρωμανός, Στέφανος τὲ ὁ υἱὸς αὐτοῦ καὶ Κωνσταντῖνος. Χριστοφόρου δὲ τοῦ πρώτου υἱοῦ αὐτοῦ τελευτήσαντος καὶ Μιχαὴλ τοῦ ἐξ αὐτοῦ γεννηθέντος ἀστέπτου μὲν ἔτι ὄντος βασιλικῇ δὲ στολῇ καὶ κοκκίν ις ὑποδήμασι φαιδρυνομένου, δυναστεία ἀνείκαστος ἦν, τῶν τε ἰδίων καὶ μεγιστάνων καὶ ταξεωτῶν περὶ κύκλῳ αὐτῶν. αὐτὴ δὲ ἡ αὐγούστα θυγάτηρ μὲν ἦν Ρωμανοῦ βασιλέως, ἀδελφὴ δὲ Χριστοφόρου (32 οβ.) καὶ Στεφάνου καὶ Κωνσταντίνου τῶν υἱῶν Ρωμανοῦ. ἔγημε δὲ Κωνσταντῖνον τὸν ἔκγονον μὲν Βασιλείου τοῦ εὐσεβεστάτου βασιλέως, υἱὸν δὲ Λέοντος τοῦ ὀρθοδόξου καὶ ἐλεήμονος. ἡ γὰρ Θεοδώρα ἡ δευτέρα σύμβιος Ρωμανοῦ τοῦ βασιλέως τελειωθεῖσα ἤδη ἦν. ἥ τε Σοφία ἡ τοῦ Χριστοφόρου σύμβιος, ἐκείνου τελευτήσαντος, κατηνέχθη τῆς βασιλείας. πρώτη δὲ ἡ Ἑλένη ὑπὲρ τὰς λοιπὰς αὐγούστας ἐχρημάτιζε καθὸ καὶ ἀνηγορεύετο πρώτη τῶν ἄλλων. τὴν ἑβδομάδα οὖν ἐκείνην καθ' ἣν ὁ ἅγιος ἐν τοῖς βασιλείοις ἐτέλει ἑκάστῃ ἡμέρᾳ ἐλαβον αὐτὸν οἵ τε βασιλεῖς καὶ αἱ σύνευνοι αὐτῶν εἰς τὸ εὐλογηθῆνοι παρ' αὐτοῦ. ὁ δὲ πάντας ἐπηύχετο κατὰ τὸ ἐόν αὐτούς, ἅτε προγίνωσκε τῷ διορατικῷ ὀφθαλμῷ τὰ σφάλματα ἑνὸς ἑκάστου. εἰσφέρουσι τοιγαροῦν αὐτὸν καὶ εἰς Ρωμανὸν τὸν βασιλέα. ὁ δὲ (33) ἀσμένως ὑπεδέξατο αὐτόν, ὁμιλεῖτο οὖν αὐτῷ. ἤλεγξεν αὐτῷ ὁ ἅγιος κατὰ πρόσωπον, ὡς χρυσομανῆ καὶ θηλομανῆ καὶ τὰς τῶν πολιτῶν θυγατέρας διαφθείροντα. φιλομόναχος δὲ ὢν ὁ βασιλεὺς οὐκ ὠργίσθη, ἀλλ' εὐμενῶς ἐδέξατό τε νουθεσίας καὶ ἐπιπλήξεις αὐτοῦ ἐκεῖθεν τοίνυν ἐξιόντος αὐτοῦ ἐδίδου αὐτῷ ὁ βασιλεὺς χρυσίον. ὁ δὲ οὐ κατεδέξατο λαβεῖν τὸ σύνολον. πρὸς τὴν αὐγούσταν δὲ γεγονὼς ᾔτει ἀπολυθῆναι. ἡ δὲ τὰ ἄμφια αὐτῆς ἃ ἔτυχε ἐνδεδυμένη ἐκβαλοῦσα ἐδίδου αὐτῷ καὶ χρυσίον ἐν ταῖς χερσίν. ὁ δὲ οὐκ ἐπείσθη δέξασθαι, ὥστε θαυμάζειν πάντας τὸ ἀφιλάργυρον αὐτοῦ. προστάττει οὖν ἡ βασιλίσσα καὶ ἠνέχθη τὸ κιβωτιον ἐν ᾧ τὸ χρύσιον αὐτῆς ἀπεθησαύριστο, καὶ ἀνοίξασα αὐτὸ ἐλιπάρει τὸν ὅσιον βαλεῖν τὴν χεῖρα αὐτοῦ καὶ ὅσον βούλεται ἀναλαβεῖν, ὁρκίσασα αὐτὸν εἰς τὴν ζωοποι-(33 οβ.)ὸν καὶ ἁγίαν Τριάδα· ὁ δὲ τὸν ὅρκον πτοηθεὶς τήν τε πίστιν τῆς εὐσεβεστάτης αὐγούστης θεασάμενος, ἐκτείνας τὴν χεῖρα αὐτοῦ τρία καὶ μόνα νομίσματα εἵληφε καὶ τῇ ὑπηρετούσῃ αὐτῷ γραῒ δι' ἐκεῖσε τότε παρεστώσῃ δέδωκε. τινῶν δὲ ἀπὸ τῶν παρεστηκότων λέγοντων αὐτῷ· „δὸς αὐτῇ καὶ ἕτερα“,—ὁ ὅσιός φησι πρὸς αὐτούς· „πλείστων ἀκανθῶν οὐ δεόμεθα, τέκνα, κνίζουσι τὴν χεῖρα τάδε.“ ἡ δὲ βασίλισσα ἔφη· „ὄντως, τίμιε πάτερ, ἀλλότριος πέφυκας πάντων τῶν ἡδέων τοῦ ματαίου βίου τούτου,

ὡς μόνον τὸν Χριστόν ἀγαπήσας καὶ τὴν βασιλείαν Αὐτοῦ, ἀλλ' εὔχου ὑπὲρ ἡμῶν διὰ τὸν Κύριον, μνήμην ἀεὶ ποιούμενος ἐν ταῖς εὐπροσδέκτοις σου εὐχαῖς τῆς ἐμῆς ἀθλιότητος" ταῦτα εἰρηκυῖα ἐξαπέστειλεν αὐτὸν σὺν πολλῇ τιμῇ

κατὰ τὸν καιρὸν οὖν ἐκεῖνον ἠσθενήσε ἡ πανεύφημος Ἀναστασία ἡ καὶ πατρικία καὶ ζωστὴ ἀρρωστίαν δεινήν, δι' ἧς καὶ ἐτελεύ-(34)τησε συνεχῶς οὖν μεταστελλομένη τὸν ὅσιον ἐδυσώπει αὐτὸν τῆς ἀρρωστίας ἀνεθῆναι ὁ δὲ ἰδὼν ἄνωθεν τὸ πρόσταγμα ὀξέως κατενεχθὲν καὶ τὸν θάνατον αὐτῆς κατανοήσας ὥσπερ λέοντα ἑστῶτα ἀνωτέρω τριῶν βαθμίδων καθὰ Ἐζεκίας φησὶ ὁ βασιλεύς παρεδόθην τῷ θανάτῳ μου δυτικῷ λέοντι ἀπὸ πρωΐας. τοῦτον οὖν προιδὼν ὁ ἅγιος καὶ ὅτι ἀδύνατόν ἐστιν ἀποστραφῆναι, συνορῶν καὶ τὴν ψυχικὴν αὐτῆς κατάστασιν ἑτοίμην οὖσαν ὥριμον καρπὸν φέρουσαν καὶ ἄξιον Θεῷ. λόγοις παρακλητικοῖς αὐτὴν ἐψυχαγώγει φέρειν γενναίως τὰ τῷ Θεῷ δόξαντα. ἐπειδὴ καὶ ἐκεῖνος τὰ συμφέροντα ἡμῖν ἑκάστῳ τὲ οἰκονομεῖν εἴωθε, φησὶ, καὶ βούλεται ἡμᾶς ἐκδημῆσαι μὲν ἀπὸ τοῦ σκηνώματος τοῦδε τοῦ πηλίνου τὲ καὶ φθαρτοῦ ἐνδημῆσαι δὲ πρὸς Αὐτόν καὶ τὸ φῶς Αὐτοῦ τὸ ἀνέσπερον καὶ τὴν χαρὰν Αὐτοῦ καὶ δόξαν τὴν ἀ-(34 об)νεκλάλητον καὶ εἶναι σὺν Αὐτῷ ἐν ἀρρήτῳ χαρμονῇ εἰς ἀτελευτήτους αἰῶνας.

μιᾷ δὲ τῶν ἡμερῶν, ὡς κατέκειτο ἐν ἀσθενείᾳ πάντων τῶν φίλων καὶ συγγενῶν αὐτῆς ἐκεῖσε παρόντων, πρὸς δὲ καὶ τοῦ ὁσίου, προσῆλθον αὐτῷ πάντες παρακαλοῦντες ἀναγγεῖλαι αὐτοῖς εἰ ἄρα ἀναστήσεται ἀπὸ τῆς ἀσθενείας ἢ οὐ οἱ γὰρ ἰατροὶ βουλόμενοί τι ἐσθίειν ἠπάτων τοὺς κάμνοντας καὶ τοὺς σὺν αὐτῇ μὴ ἀπογινώσκοντες αὐτῆς. ὁ δὲ ὁσιώτατος Βασίλειος εἰδὼς τῷ πνεύματι ἐγγὺς εἶναι τὴν αὐτῆς ἐκδημίαν παρελθὼν καὶ ἄρας τὸ παρακείμενον αὐτῆς ἐκμαγεῖον ἐνώπιον πάντων ἐκάλυψε τὸ πρόσωπον αὐτῆς φήσας· „ἔτι τρεῖς ἡμέραι, τέκνα, καὶ μεθίσταται αὕτη εἰς τὴν αἰώνιον ζωήν. ποιήσατε οὖν δαψιλῆ τὸν ἔλεον τοῖς δεομένοις καὶ τὴν τῶν ἰατρῶν ψευδῆ παρηγορίαν ἀποκρούσασθε. οὐκ ἔτι γὰρ ὠφελῆσαί τι δύνανται, ἅπαξ τῆς ψήφου ἐκ Θεοῦ δοθείσης, ἐπιδα-(35)ψιλεύσασθε οὖν τῇ ἀποδημούσῃ τὸν ἔλεον. οὐδενὶ γὰρ ἄλλῳ θεραπεύεται ψυχὴ τοῦ βίου τούτου ἐκδημοῦσα, ὡς τῇ τῆς ἐλεημοσύνης εὐπορίᾳ. ἐφ' ὅσον γὰρ ἐποιήσατε, φησὶ ὁ Κύριος, ἑνὶ τούτων τῶν ἀδελφῶν Μοῦ τῶν ἐλαχίστων, Ἐμοὶ ἐποιήσατε. ὥστε μεγίστην χάριν ἀνταποδίδωσι Κύριος ἐν τοῖς οὐρανοῖς τοῖς τὸν ἔλεος ἐν τῇ γῇ τοῖς χρῄζουσιν ἐπιδαψιλεύουσι. γέγραπται γὰρ ὅτι ἔλεος κατακαυχᾶται κρίσεως. καὶ αὖθις· — μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται

αὐτὸν ὁ Κύριος. τί δὲ πονηρότερον τῆς ὥρας τοῦ θανάτου ὅταν οἱ δαίμονες ἐπὶ τὸν τελευτῶντα παραγίνωνται καὶ ἐρευνῶσιν ἀποτόμως εἰ ὑπεύθυνός ἐστιν αὐτοῖς καὶ τῆς μερίδος ἐκείνων. τότε γὰρ καὶ εἴ τις ὑπόδικος αὐτοῖς ἐστίν, ἐσκόρπισεν δὲ καὶ τοῖς πένησιν τὸν ἔλεον ἐν τῇ ζωῇ αὐτοῦ, ἐλευθερωθήσεται τῆς χειρὸς αὐτῶν καὶ ἐλεηθήσετσι. φησὶ γὰρ ὁ Κύριος· μακάριοι οἱ ἐλεήμονες ὅτι αὐ-(35 οὗ)τοὶ ἐλεηθήσονται. καὶ αὖθις· λύτρον ψυχῆς ὁ ἴδιος πλοῦτος, καὶ ἔλεον θέλω καὶ οὐ θυσίαν καὶ τὰ ἐξῆς διὰ τοιοῦτο τὴν ψυχὴν ἐφοδιάσατε τῇ ἐλεημοσύνῃ."

ταῦτα τοῦ ὁσίου εἰρηκότος πρὸς αὐτούς, δακρύων καὶ οἰμωγῶν ἐπλήσθησαν ἅπαντες, ἀκούσαντες παρ' αὐτοῦ φανερῶς τὴν ταύτης μετάστασιν καὶ δεδωκότες ἐλεημοσύνην οὐκ ὀλίγην τοῖς ἀδελφοῖς προσήδρευον τῇ πασχούσῃ τῇ δὲ τρίτῃ ἡμέρᾳ κατὰ τὸ ῥῆμα τοῦ ὁσίου ἐπορεύθη πρὸς Κύριον ἡ ὁσία πατρικία, ὥστε θαυμάσαι πάντας ἐπὶ τῇ προρρήσει τοῦ ἁγίου γέροντος καὶ δοξάσαι τὸν Θεὸν τὸν ἐνδοξαζόμενον ἐν τοῖς ἁγίοις Αὐτοῦ

λέξω δὲ ἤδη καὶ ὅπου ἐξ ἀρχῆς τὸν ἅγιον ἐγνώρισα καὶ ὡς αὐτῷ ἐγνωρίσθην

μοναστήριον ἐστὶν ἐν τῇ βασιλευούσῃ ταύτῃ τῶν πόλεων τῆς Μαξιμίνης κατονομαζόμενον. ἐν τούτῳ ἦν τις γέρων θεοφορούμενος ἀσκήσει καὶ ἀρεταῖς διαλάμπων, τοὔνομα Ἐπιφάνιος, φύσει εὐνοῦχος, ὀγδοηκοστὸν ἔτος ἀνύων ἐν τῇ ἀσκή-(36)σει, ἐξ αὐτῶν σχεδὸν μητερικῶν μαζῶν τὸν μονήρη βίον προελόμενος, ἐξ γὰρ ἐτῶν ἀποκαρεὶς ἑβδομήκοντα καὶ τέσσαρας ἐν τῇ αὐτῇ θείᾳ μονῇ βιώσας χρόνους, πᾶσαν ἀρετὴν εἰς ἄκρον καθώρθωσε. τοῦτον οὖν ἔσχον κἀγὼ ὁ ταπεινὸς καὶ ἐλάχιστος πνευματικὸν πατέρα καὶ ὁδηγὸν τῆς κατὰ Θεὸν βιοτῆς καὶ τοῦτον συχνότερον ἐσχόλαζον χάριν τοῦ τῶν θεοστηρίκτων εὐχῶν καὶ νουθεσιῶν αὐτοῦ ἐπαπολαύειν. ἦν γὰρ ὡς ἀληθῶς λόγιος ὁ γέρων καὶ εὐαπόδεκτος, συνέσεως τε ἀνάπλεως καὶ σοφίας πνευματικῆς, καὶ ἐν πολλῷ στόματι κείμενος διὰ τὴν ἐνάρετον ἢ μᾶλλον θεάρεστον πολιτείαν, ὡς οὖν μετὰ χρόνους τινὰς ὁ σεβάσιμός τε καὶ ἀείμνηστος οὗτος γέρων πρὸς Κύριον ἐξεδήμησεν, ὑστερουμένου μου πνευματικοῦ πατρὸς καὶ ὁδηγοῦ πρὸς τὸ στηρίζεσθαι καὶ ὁδηγεῖσθαί με πρὸς σωτηρίας ὁδούς, οὐ διέλειπον ἐκτενῶς τὸν Θεὸν μετὰ δακρύων ἐκδυσωπῶν ἵνα με ὁδηγήσῃ πρὸς τὸ ποθούμενον καὶ ἀναδείξῃ μοι ἄξιον διδάσκαλον τῆς ἐφέ-(36 οβ.)σεως, ὅθεν οὐ παρεῖδεν ἡ Αὐτοῦ ἄμετρος ἀσπλαγχνία καὶ κηδεμονία τὴν ἐμὴν εἰς τέλος ἱκεσίαν. ἀλλὰ ταχέως τὴν ἐμὴν πεπλήρωκε αἴτησιν καὶ τὸν αὐτὸν θεράποντά μοι ἐγνώρισεν. ἐπερωτῶντος γὰρ πάντοτε πάντας τοὺς ἰδίους μου καὶ

γνωστοὺς ἢ μᾶλλον εἰπεῖν θεοφιλεῖς ἄνδρας, τοὺς τὸ τοιοῦτον ἀγαθὸν ἐπιποθοῦντάς τε καὶ διώκοντας, εἴπερ τις οἶδε γέροντά τινα πνευματικὸν πείραν ἔχοντα τοῦ ἱερατεύειν τοὺς λογισμούς, — πολλοὶ γὰρ ἄπειροι ὄντες καὶ ἑαυτοὺς ἀπατῶντες ὡς ἔμπειροι εἶεν ἐκ κενοδοξίας πρὸς τὸ στηρίζειν ἑτέρων ψυχὰς ἐπείγονται, οἵ οὐ μόνον ἑαυτοὺς λυμαίνοντες ἐμπαθεῖς ὄντες καὶ ἀδόκιμοι, ἀλλὰ καὶ τοὺς προσερχομένους εἰς βάραθρον ἀπωλείας κατάγουσι. τυφλὸς γὰρ τυφλὸν ὁδηγῶν, ἀμφότεροι ἐπὶ κρημνὸν ἐμπεσοῦνται. τοῦτο γοῦν κἀγὼ δεδιὼς μὴ περὶ ἀπείρῳ τινὶ καὶ ἀδοκίμῳ ἐντυχὼν ἐπὶ βάραθρον ἀπωλείας σὺν αὐτῷ κατακρημνι-(37)σθῶ, εὗρον Ἰωάννην ἐκεῖνον τὸν ἐν μακαρίᾳ τῇ λήξει τὸν τῷ Σταυρακίῳ τῷ τιμιωτάτῳ πατρικίῳ καὶ μεγάλῳ σακελλαρίῳ ὑπηρετοῦντα, καὶ ὁδηγὸν τοῦ σκότους καὶ συλλήπτορα· οὗτος γάρ μοι ἀνήγγειλε περὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου. διηγήσατο δέ μοι μερικῶς καί τινα τῶν αὐτοῦ ἀνδραγαθημάτων τε καὶ τεραστίων καὶ ποῦ τὴν οἴκησιν κέκτηται.

μιᾷ οὖν τῶν ἡμερῶν λαβὼν δῶρα ἐξ ὧν εἶχον ἐπορεύθην μόνος πρὸς τὸν ὅσιον. πλησιάσαντι δέ μοι τῷ οἴκῳ ἐν ᾧ κατῴκει τρόμος ἐπελαμβάνετό μου, εἴτε ἐκ τῆς ἐναντίας δυνάμεως τῆς ἀεὶ τῷ ἀγαθῷ ἀντιπιπτούσης, εἴτε ἐκ τῆς ἐνοικούσης ἐκείνῳ θείας ἰσχύος προυπαντησάσης μοι καὶ τὸ μέγεθος αὐτῆς ἐκκαλυπτούσης. πτοηθεὶς δὲ ἀπεστρεφόμην εἰς τὰ ὀπίσω ἄπρακτος, εἰθ' οὕτως κατασφραγισάμενος τῷ τιμίῳ καὶ ζωοποιῷ Σταυρῷ ἐμαυτὸν καὶ τὸν φόβον ἀποσεισάμενος, προσῆλθον τῷ πυλῶνι τοῦ οἴκου. καὶ τῷ ὀστιαρίῳ ἐντυχὼν ἀνῆλ-(37 οβ.)θον πρὸς τὸν ὅσιον. θεασάμενος δέ με ὁ μακαριώτατος ἔφη· „τέκνον Γρηγόριε, καλῶς ἦλθες. καθέσθητι, ὀλίγον τι ἐδειλίασας ἐν τῇ ὁδῷ.“ ἐγὼ δὲ τὴν πρόρρησιν τοῦ ἁγίου ἀκηκοὼς ἄλλος ἐξ ἄλλου γέγονα καὶ ἐξέστην καταπλαγείς. οὐδὲ γὰρ ἐνέτυχον ἄχρι τῆς ὥρας ἐκείνης διορατικῷ ἀνδρὶ ἐπὶ τῆς γῆς, εἰ μὴ μόνον ἐν τοῖς βίοις τῶν πάλαι ἁγίων ἀνεγίνωσκον τοὺς τοιούτους. προσπεσών οὖν τοῖς ἁγίοις ἐκείνου ἴχνεσι, τῆς γραὸς τῆς ὑπηρετούσης αὐτῷ σκάμνον θείσης ἐκαθέσθην ἀνοίξας οὖν ὁ ἅγιος τὸ στόμα αὐτοῦ ἀνήγγειλέ μοι πάντα ἃ εἶχον ἐν τῇ καρδίᾳ μου, παραγυμνῶν ἅπαντα τὰ ἐν τῇ διανοίᾳ μου μελετώμενα. ἐπὶ πλεῖον δέ μου θαυμάζοντος καὶ καταπληττομένου τὴν θαυμαστὴν πρόγνωσιν τοῦ τιμίου πατρός, τινῶν πρὸς αὐτὸν παραγεγονότων, λαβὼν τὰς ὁσίας αὐτοῦ εὐχάς, ἀνεχώρησα ἀπ' αὐτοῦ. μετὰ μίαν (38) οὖν ἑβδομάδα ἀδελφὸν κεκτημένος πνευματικὸν τοῦτον παραλαβὼν ἅμα ἐμοί, ἐπορεύθημεν ἀμφότεροι πρὸς τὸν ὅσιον. ὁ δὲ μακαριώτατος λύσας τὴν ζώνην ἐκ τῆς ὀσφύος αὐτοῦ ἐκ ράκους κατεσκευασμένην καὶ συλλέξας τῇ χειρὶ ἐνέβαλε τῷ κόλπῳ αὐτοῦ, καὶ αὐ-

τὸς ἀνελθὼν ἐπὶ τῆς κλίνης διὰ τὸ ἤδη πλήρης εἶναι ἡμέρας ἀνεκλίθη. λέγω τοίνυν αὐτὸς τῷ πνευματικῷ μου ἀδελφῷ ὑποψιθυρίζων· „κύριέ μου Ἰουλιανέ (οὕτω γὰρ ἐκαλεῖτο), βούλομαι αἰτήσασθαι τὸν ὅσιον παρασχεῖν μοὶ τὴν ζώνην αὐτοῦ ἵνα ἐν πόθῳ κέκτημαι αὐτὴν παρ' ἑαυτῷ εἰς φυλακτήριον. κἀγὼ ἑτέραν ὠνήσομαι καὶ παρέξω αὐτῷ." ὁ δὲ ἀποκριθεὶς ἔφη μοι· „οὕπω καλῶς ἐγνωρίσαμεν τὸν ἅγιον καὶ οὐ δεῖ ἡμᾶς τι αἰτεῖσθαι παρ' αὐτοῦ." ἐλέγομεν δὲ ταῦτα ἀμφότεροι πρὸς αὐτούς· μὴ τολμήσαντες οὖν προσταξαι τὴν αἴτησιν, τὰς εὐχὰς τοῦ ὁσίου κομισάμενοι ὑπεχωρήσαμεν. κατῴκει δὲ τότε ὁ μακά-(38 οβ)ριος εἰς ἀρκαδιανὰς πλησίον τῶν δύο ναῶν τῶν ἐπ' ὀνόματι τῶν ἀρχιστρατηγῶν Μιχαὴλ φημὶ καὶ Γαβριήλ, οὓς ἐδείματο Βασίλειος ὁ βασιλεὺς, βουλόμενος τὸν φόνον ὃν τετέλεκε εἰς Μιχαὴλ βασιλέα τὸν υἱὸν τῆς πανευφήμου αὐγούστης Θεοδώρας ἀνακαλέσασθαι, ἡμεῖς δὲ κατοικοῦντες ἦμεν εἰς τὸν λεγόμενον βοῦν. τῇ ὥρᾳ οὖν ἐκείνῃ ὑποστρέψαντες εἰς τὴν οἰκίαν ἡμῶν εὕρομεν τὴν τιμίαν ζώνην τοῦ ὁσίου πατρὸς ἡμῶν ἐν τῇ ἐμῇ κλίνῃ κειμένην ὡς ἦν ταύτην συλλέξας ὁ ἅγιος. ταύτην οὖν θεασάμενοι καὶ γνωρίσαντες φόβῳ καὶ χαρᾷ βαλλόμενοι ἐξιστάμεθα ἐπὶ τῷ παραδόξῳ θεάματι ἀπορούντες, τίς ἂν εἴη ὁ ταύτην μέχρις ἡμῶν ἀγαγών. μόλις δέ ποτε ἀπὸ τοῦ θαύματος ἀναλήψαντες κρατήσαντες αὐτὴν ταῖς χερσί, ὄμμασι καὶ προσώπῳ προσψαύοντες χαρμονικῶς κατασπαζόμεσθα, εἶτα μυρίσαντες αὐτὴν ἐν τῷ εὐκτηρίῳ τοῦ πρωτομάρτυρος Στεφάνου τῷ ὄντι ἐν τῇ καμάρᾳ τοῦ (39) βοὸς ἐναπεθέμεσθα τῇ δὲ ἐπαύριον ἠβουλήθημεν ἀπιέναι πρὸς τὸν ὅσιον, πρωΐας δὲ γενομένης ἐπί τινα διακονίαν τοῦ ἀδελφοῦ μου πορευθέντος ἀφικόμην αὐτὸς μόνος. οὔπω δέ μου τὸν λεγόμενον ταῦρον ὑπερβάντος ἀπήντησέ με κἀκεῖνος ἀπὸ τῆς διακονίας ὑποστρέφων καὶ παρεβιαζόμην αὐτὸν ἀφικέσθαι σὺν ἐμοὶ πρὸς τὸν ὅσιον ὃ δὲ ἀνεβάλλετο λέγων· „οὐδένα ὀβολὸν κέκτημαι, ἵνα τι ὠνήσομαι τῷ δικαίῳ. καὶ διὰ τοῦτο συνπορευθῆναί σοι τὰ νῦν οὐ δύναμαι." ἐγὼ δέ φημι πρὸς αὐτόν· „ἐλθὲ μετ' ἐμοῦ, πορευσώμεθα ἐπὶ τὸ αὐτό. ἃ γὰρ ἐγὼ φέρω ἀρκέσουσιν ἀμφοτέροις." ἅπαξ οὖν τοῖς ἐμοῖς λόγοις ἀπῆει εὐφραινόμενος ἅμα ἐμοί. ὡς οὖν πρὸς τὸν ὅσιον ἐληλύθαμεν εἰσῆλθον πρῶτος αὐτὸς πρὸς αὐτόν. ὁ δὲ ἀναστήσας με καὶ ἐπιστραφεὶς λέγει τῇ τιμίᾳ ἐκείνῃ γραΐδι· „ἀμμά, ἀμμά, οὗτος ὁ νεότερος ἦρέ μου χθὲς τὴν ζώνην." καὶ μυρίσας αὐτὴν θυμιάμασιν, ἀπέ-(39 οβ.)θετο ἐν τῷ εὐκτηρίῳ τοῦ πρωτομάρτυρος Στεφάνου. ἀκούσας δὲ ταῦτα ἐγὼ κατεπλάγην σφόδρα ἐπὶ τῇ θείᾳ αὐτοῦ προρρήσει, ὅτι οὐ μόνον δυνάμει θείᾳ ἀπήγαγεν ἀοράτως τὴν τιμίαν αὐτοῦ ζώνην ἐν τῇ οἰκίᾳ μου, ἀλλ' ὅτι καὶ τὰ ἐπ' αὐτῇ παρ' ἐμοῦ τελεσθέντα ὡς παρὼν ἐκεῖσε διη-

γήσατο. ἐν τούτοις ὄντος ἐμοῦ ἐκθαμβουμένου τοῖς θαύμασιν εἰσῆει καὶ ὁ ἐμὸς ἀδελφός. καὶ τὴν ἐπ' ἐδάφους ποιήσας μετάνοιαν ἐπὶ τοῖς ἁγίοις ἐκείνου ποσίν, εὐλόγησον, ἔφη, πάτερ ἅγιε τὸν παῖδά σου. ὁ δὲ ἀναστήσας αὐτὸν, φησὶν πάλιν πρὸς τὴν γραῦν παρεστῶσαν αὐτῷ· „καὶ οὗτος σήμερον ἐν τῷ προσαγορευομένῳ ταύρῳ συναντήσας τῷ παρόντι ἀδελφῷ (δείξας ἐμὲ τῷ δακτύλῳ) καὶ παρ' αὐτοῦ προσκαλούμενος ἐπὶ τὸ πρὸς ἡμᾶς ἀφικέσθαι οὐκ ἐβούλετο διὰ τὸ μὴ ἐπιφέρεσθαι ὀβολόν." ταῦτα τοῦ ἁγίου εἰρήκοτος, ἐξέστη κἀκεῖνος σὺν ἐμοὶ καὶ ἱστάμεθα (40) πρὸ προσώπου αὐτοῦ ἀμφότεροι δεδιότες καὶ τρέμοντες, μὴ δυνάμενοι ὅλως ἀτενίσαι πρὸς αὐτόν. ὁ δὲ ὅσιος ἔφη· „καθίσατε, τέκνα μου, κἀμὲ μὴ εὐλαβεῖσθε, Κύριον δὲ τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὃς φωτίσει τὰ ψυχικὰ ἡμῶν διαβήματα καὶ συνετίσει εἰς τ'ν θείαν γνῶσιν Αὐτοῦ καὶ ὁδηγήσει εἰς πᾶν ἔργον ἀγαθὸν καὶ τῆς βασιλείας Αὐτοῦ ἀξιώσει." ὡς ταῦτα οὖν ὡμίλει ἐκβαλὼν ἐτέραν ζώνην δέδωκέ μοι φήσας· „τὴν χθὲς ἐβουλεύσω σὺν τῷ ἀδελφῷ σου τῷδε παρ' ἐμοῦ ἐξαιτήσασθαι τὴν ζώνην μου. οὗτος δὲ οὐ συνεχώρησε σε τοῦτο διαπράξασθαι. ἐγὼ δὲ οὖν διὰ τὴν σχέσιν ἣν πρός με τὸν ἀνάξιον κέκτησαι ἀπέστειλά σοι εὐθέως αὐτήν. δέξαι οὖν, τέκνον, καὶ ταύτην τὴν ζώνην τῆς πνευματικῆς εὐπρεπείας περίζωνα καὶ ὁ Θεὸς ὁ περιζωννύων δυνάμει τοὺς ἀγαπῶντας Αὐτὸν εἰς τὸ περιπατῆσαι καὶ ὑμᾶς περιζώσει δύναμιν καὶ ἰσχὺν εἰς τὸ καταπατεῖν τὰ κέντρα τοῦ ἀλλο-(40 οβ.)τρίου καὶ ἐκφυγεῖν αὐτοῦ τὰς μηχανὰς καὶ εἰς μέτρον πνευματικῆς ἡλικίας ἐληλακέναι." ταῦτα εἰπόντος τοῦ ἁγίου ἐδεξάμην ἀπὸ τῆς ἁγίας ἐκείνου δεξιᾶς τὴν τιμίαν αὐτοῦ ζώνην καὶ ποθεινῶς ἄγαν αὐτὸν κατασπασάμενος ἐκατέσθην.

γραῦς οὖν δέ τις ἐλήλυθε πρὸς τὸν ὅσιον, ἡμῶν καθημένων καὶ ὁμιλούντων, μελανοῖς ἱματίοις ἠμφιεσμένη, κατόπιν δὲ αὐτῆς καὶ μονάστρια. εἰσελθοῦσα οὖν ἡ γραῦς προσεκύνησε. ὁ δὲ φησὶ πρὸς αὐτήν· „τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ παράκλητον τηρῆσαί σου τὴν ψυχὴν καὶ τὸ σῶμα ἄσπιλον." ἐκέλευσεν οὖν αὐτὴν καθεσθῆναι. παρεγένετο δὲ κατόπιν αὐτῆς καὶ ἡ μονάστρια. προσεκύνησεν οὖν καὶ αὐτή. ὁ δὲ ὅσιος ἀπεστράφη αὐτὴν καὶ ἀπειργάσατο καὶ ὀργίσθη αὐτῇ μεγάλως. ἡμεῖς δὲ μηδὲν γινώσκοντες περὶ αὐτῆς ἐδυσωποῦμεν αὐτὸν ὅπως ἐπιτρέψῃ αὐτῇ καθεσθῆναι ἅμα ἡμῖν. καὶ ἐξ ὧν ἐκομίσαμεν ἐμφορηθῆναι· ὁ δὲ καὶ (41) καθ' ἡμῶν ἠγανάκτησε, ὅτι ὑπὲρ αὐτῆς ἱκετεύομεν. λέγει οὖν πρὸς αὐτὸν ἡ Θεοδώρα (τοῦτο γὰρ ἦν ὄνομα ὡς προείρηται τῇ γραΐδι τῇ ὑπηρετούσῃ αὐτόν)· „κύριέ μου, αὕτη δούλη ἐστὶ τοῦ Χριστοῦ, ὅτι τὸ μοναχικὸν καὶ ἅγιον σχῆμα ἐνδέδυται. δι' ἣν οὖν αἰτίαν ὀργίζῃ αὐτοῖς; κέλευσον οὖν αὐτῇ καθεσθῆναι."

ὁ δὲ ὅσιος ἔφη πρὸς αὐτήν· „ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν λελάληκας; τὸ ὁρώμενον ταύτης σχῆμα σε φρεναπατᾷ καὶ λέγεις δαιμόνιον καθεσθῆναι πλησίον μου; ἄλλως τε οὐδὲ κατὰ σχέσιν πρός με παραγέγονεν, ἀλλὰ κατὰ ἀπόπειραν.“ ὡς ταῦτα οὖν πρὸς ἡμᾶς αὐτὸς ὡμίλει, λαβὼν ποτήριον καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἤρξατο συνάγειν τὰς ἐπὶ τῆς τραπέζης κειμένας ψίχας καὶ ἐμβάλλειν ἐν τῷ ὑέλῳ οἴνου γέμοντι. καὶ ἐκτείνας τὴν χεῖρα ἐν τῷ ἀέρι σχηματιζόμενος, ὡς δῆθέν τισι ἐπιδοὺς πιεῖν τὸ ποτήριον ἔφη τῇ μοναστρίᾳ ἐκείνῃ· „ὦ θύγατερ τοῦ διαβόλου, οὐχ' οὕ-(41 οβ.)τως ἐμβάλεις τὰς ἐπαοιδίας, τά τε δηλητήρια εἰς τὸ ποτήριον καὶ ποτίζεις ἀθῴους ψυχὰς εἰς τὸ ἐραστάς σου γενέσθαι αὐτούς; οὐχὶ τὴν χθὲς τοῦδε τοῦ μοναστηρίου πρὸς ἑστίασιν προετρέψω τόν τε ἡγούμενον καὶ οἰκονόμον, καὶ τὰ παραπλήσια τῶν εἰρημένων τούτοις τετέλεκας, συνεχῶς αὐτοὺς προτρεπομένη πιεῖν τὴν δαιμονόφυρτον ὄλεθρον, κατὰ ποίαν πρόφασιν, ὦ ταλαίπωρε τάλαινα, τὸ σχῆμα ὅπερ ἠμφιάσθης ἐφόρησας, ἵνα τὸν Σταυρωθέντα Κύριον Ἰησοῦν χλευάσῃς, ἐκεῖνος Θεὸς ὢν χλεύην οὐχ ὑφίσταται. εἰπέ μοι γοῦν ἀθλία, τίνος χάριν τὸ ἀγγελικὸν σχῆμα τοῦτο ἐνδέδυσαι, καὶ δι' αὐτοῦ κατατέρπεις μὲν τὸν φιλοβόρβορον καὶ ρυπαρὸν δαίμονα τῆς πορνείας, τὸν δὲ φιλάνθρωπον καὶ ἐλεήμονα παροργίζεις Θεόν οὐαί σοι, ταλαίπωρε, ὅτι ἐμόλυνας τὸ ἅγιον σχῆμα, καὶ τὴν θείαν ἀναγέννησιν, ἣν δι' αὐτοῦ ἔσχες. πάλιν τῷ διαβόλῳ ὑπαχθεῖσα κατεμίανας. διὰ τοῦτο ἀπετάξω τῷ κό-(42)σμῳ, ἵνα διὰ τῆς μιαρᾶς τῶν δαιμόνων ἐπαοιδίας ἕλκῃς ἅπαντας εἰς τὴν ἀναιδῆ σου ἐπιθυμίαν; Κύριον τὸν Θεὸν εὐλαβοῦμαι καὶ ἐπὶ τῇ ὥρᾳ ταύτῃ παρέδωκα ἄν σε τοῖς δαιμονίοις οἷς τὰς ὄρνεις θύεις καὶ ἀφ' ὧνπερ τελεῖς τὰ μαγικὰ φίλτρα, ὅπως αὐτοί σε ἐξετάσωσι καὶ παραδειγματίσωσι πᾶσιν ἀνθρώποις ὁποῖα καθέστηκας μιαρά τε καὶ παμπόνηρος.“ καὶ ὡς ταῦτα ὡμίλει διεγερθεὶς ἐλάκτισεν αὐτὴν τῷ δεξιῷ ποδὶ καὶ ἔξω τῆς θύρας ἐξώθησε, φήσας οὕτως „ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.“ καὶ ὑποστρέψας ἐκαθέσθη πάλιν ἐπὶ τῆς κλίνης. ἡμῶν δὲ πάλιν ἀπὸ τοῦ φόβου δίκην λίθου ἀποπαγέντων καὶ ἐν μεγίστῃ σιωπῇ ἱσταμένων, γνοῦσα ἐν ἑαυτῇ ἡ μοναχή, ὅτι πάντα ὅσα εἴρηκε αὐτῇ ἀληθῆ ὑπῆρχον, ἐφώνει ἔξω ἐν τῷ προαυλίῳ ἑστῶσα στένουσα καὶ τρέμουσα· „ναί, ἅγιε τοῦ Θεοῦ, πάντα ὅσα εἴρηκας ἀληθῆ τυγχάνουσι, καὶ ψεῦδος ἓν ἐξ αὐτῶν οὐκ ἔστιν. οὐαί μοι, τῇ ἀσώτῳ. τί ποιήσω, ὅτι πολλαὶ εἰσὶν (42 οβ.) αἱ ἀνομίαι μου καὶ τὰ πλήθη τῶν ἁμαρτημάτων μου ὑπὲρ ψάμμον θαλάσσης ὑπάρχουσιν. ἅγιε τοῦ Θεοῦ, βοήθει μοι, ὅπως μὴ ἀπόληταί μου ἡ ψυχή. ποίησον πρόνοιαν τῆς σωτηρίας μου, ἵνα μὴ κερδήσῃ ὁ ἐχθρὸς τὴν ψυχήν

μου " καὶ ὡς ταῦτα μετὰ οἰμωγῶν ἔλεγε τῷ ἁγίῳ, λέγει πρὸς τὸν ὅσιον ἡ Θεοδώρα· „κύριέ μου, βλέπεις πόσα μεταμελεῖται ἡ μοναχὴ ἐφ' οἷς αὐτὴν διήλεγξας ἐλέησον αὐτὴν καὶ δέξαι αὐτὴν μεταγινώσκουσαν καὶ εἰ κελεύεις, φωνήσω αὐτὴν καὶ ἐλεύσεται πρὸς τὴν ἁγιωσύνην σου. καὶ βοήθησον αὐτῇ ἐν ταῖς πρὸς τὸν Κύριον σου ἐντεύξεσιν οἶδα γὰρ, ὅτι οὐκ ἀπώσεται ταύτην ὁ Κύριος ὑπὲρ αὐτῆς σου παρακαλοῦντος " ὁ δὲ ὅσιος ἔφη πρὸς αὐτήν· „ὦ πόσον ἐστίν ἀλγεινὸν τὸ μὴ βλέπειν ἄνθρωπον τοῖς ἔνδοθεν ὀφθαλμοῖς. ἐγὼ γὰρ ὁρῶ τὸν σατανᾶν καθήμενον ἐπὶ τοῖς ὤμοις αὐτῆς ὡς μικροφυῆ πιθηκίσκον, πάχει λιπαρὸν ἀπὸ τῆς σπατάλης τῶν πονηρῶν ἔργων αὐτῆς, καὶ μητέρα αὐτὴν ἑαυτοῦ ἀποκαλοῦντα, καὶ αὐτὴ τοῦτον ἴδιον τέκνον. (43) καὶ εἰς τὸν αἰῶνα οὐκ ἀπαλλάσσωνται ἀπ' ἀλλήλων. οὐ γάρ ἐστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῆς, οὔτε στερέωμα ἐν τῇ μάστιγι αὐτῆς. πῶς οὖν δεηθήσομαι ὑπὲρ αὐτῆς, ταύτης τῆς πορνείας καὶ τῆς μαγικῆς ἐπιστήμης μὴ ἀφισταμένης;" ἡ δὲ Θεοδώρα ἐξελθοῦσα ἔξω εἰς τὸ προαύλιον ἐπηρώτα αὐτὴν εἰ ἀπὸ τοῦ νῦν ἀποτάσσεται τῇ πονηρᾷ αὐτῆς ἐργασίᾳ. ἡ δὲν ἔφασκε· „ναί, κύριέ μου, μετανοῶ, μόνον εἰσδεξάτω με εὐμενῶς ὁ ἐκλεκτὸς Κυρίου." καὶ εἰσελθοῦσα ἔνδον ἡ Θεοδώρα λέγει τῷ ὁσίῳ· „κύριέ μου, θέασαι, ἐπηγγείλατο γνησίως μετανοῆσαι." ὁ δὲ μακάριος ἔφη πρὸς αὐτήν· „ψεύδη σοι ὑποτίθεται, μὴ οὖν πιστεύσῃ αὐτῇ. ἀλλ' ἔασον αὐτήν. ἡμῖν γὰρ ἐν τῇ μοίρᾳ τοῦ σατανᾶ κλῆρος οὐ πέφυκε. μόνον γὰρ πορεύεται ἐν τῇ κέλλῃ αὐτῆς, καὶ ὄψει, ὅπως ἄρξηται καὶ μετέπειτα πράττειν τὰ πονηρὰ αὐτῆς ἐπιτηδεύματα." ἐπὶ τούτοις οὖν πᾶσιν ἐξανέστημεν ἡμεῖς τοῦ πορευθῆναι, ἡ γὰρ ὥρα ὑπῆρχεν ἐπὶ πολὺ ἐκταθεῖσα, ἐξα-(43 ob.)νέστη δὲ κἀκεῖνο τὸ γύναιον. καὶ λαβόντες τὰς ὁσίας αὐτοῦ εὐχὰς ἅμα αὐταῖς ἐπορεύθημεν. ὑπῆρχε γὰρ ἡ ὁδὸς ἅμα ἡμῖν καὶ ταῖς γυναιξὶν ἡ αὐτὴ πεφυκυῖα. ἀπὸ γὰρ τοῦ λεγομένου ἑξακιονίου αὗται ὑπῆρχον. ἐπηρώτων οὖν αὐτὴν ἐγὼ ὡς ἐπορευόμεθα τὴν τὰ μέλανα φοροῦσαν γυναῖκα εἰ οὕτως πάρεστι τὰ περὶ τῆς μοναχῆς, καθὰ αὐτῇ ὁ ὅσιος εἶπε. πορρωτέρω γὰρ ἡμῖν ἐκείνη αἰσχυναμένη ἐπορεύετο. ἡ δὲ πρός με φησιν· „οὕτω, κύριε μου, οἱ γὰρ ἐρασταὶ ταύτης ἀναρίθμητοί εἰσιν. καὶ πολλάκις εἴρηκα αὐτῇ τὰ περὶ τοῦ δικαίου ὅπως αἰδεσθεῖσα σωφρονισθῇ. αὕτη δὲ ἐκολάφιζέ με συνεχῶς φάσκουσα, — ἄγαγέ με ὅπως θεάσομαι αὐτὸν εἰ ἄρα ἅγιος ἐστι, καὶ εἰ νέος ἴσως πέφυκε, κἀγὼ ποιήσω αὐτὸν ἀπολέσαι τὴν ἁγιοσύνην αὐτοῦ κἀμὲ μόνην ποθῆσαι. πλεῖστα γοῦν ἔφασκον αὐτῇ ἀναχωρῆσαι ἀπὸ τοῦ τοιούτου σκοποῦ καὶ μὴ ἀφικέσθαι ἅμα ἐμοὶ πρὸς τὸν ὅσιον. ἡ δὲ ἀναιδείᾳ χρωμένη συνηρπάγη τοῦ ἀκολουθῆ-(44)σαί μοι. καὶ ἴσως ἐάν τι συνέβη αὐτῇ

ἐμὲ ἂν δι' αὐτὴν ἐτιμωρήσαντο οἱ προσανακείμενοι αὐτῇ ἐρασταί. πάντα οὖν, ἀδελφέ, ὅσα πρὸς αὐτὴν εἰρήκει ὁ δίκαιος, ἀληθῆ ὑπῆρχον. καὶ δικαίως ἐπ' αὐτὴν πεποίηκε ὁ ἅγιος πολλὰς γὰρ ψυχὰς οὐ μόνον λαϊκῶν, ἀλλὰ καὶ μοναζόντων αὕτη εἰς ὄλεθρον ἐνέβαλε. πολλάκις οὖν κἀγὼ αὐτὴν ἐνουθέτησα ἀποστῆναι τῶν μιαρῶν αὐτῆς πράξεων, ἀλλὰ αὕτη πλατεῖ γέλωτι διακρουσμένη τὰ ὑπ' ἐμοῦ λεγόμενα, οὕτως ὡς τὸ πρότερον ἐν τῇ οἰνίᾳ διῆγε." ταῦτα οὖν ἐκείνης ὁμιλούσης πρός με, διεχωρίσθημεν ἀπ' ἀλλήλων, καὶ ἕκαστος ἐπορεύθη εἰς τὴν ἰδίαν οἰκίαν.

μετ' ὀλίγον οὖν πάλιν ἀπελθόντος μου πρὸς τὸν ἅγιον, ἔτυχε καὶ αὕτη πρὸς αὐτὸν παραγενομένη τὰς ἁγίας αὐτοῦ εὐχὰς χάριν ἀπολαῦσαι ἐρωτήσας οὖν αὐτὴν κἀγὼ περὶ τῆς μοναχῆς ἐκείνης, πῶς ἄρα ἐξανύει τὸν ἑαυτῆς βίον, μεμάθηκα χείροσιν αὐτὴν ἁμαρτήμασιν ἐμπεσεῖν, ὥστε ἐκ τούτου καταπλαγῆναι με (44 οβ.) τὴν πρόρρησιν τοῦ σεβασμίου καὶ ἁγίου γέροντος καὶ ὑπερδοξάσαι τὸν Θεόν, ὅτι καὶ ἐν ταῖς ἐσχάταις ταύταις ἡμέραις τοιούτους θεράποντας κέκτηται ὁ Θεός. διὸ πάντες αὐτὸν ὡς ἕνα τῶν ἀποστόλων ὠνόμαζόν τε καὶ ὑπερεσέβοντο, οἱ δὲ πλείους τῶν ἄλλων αὐτὸν εἶναι ἐκεῖνον ἔλεγον καὶ ἐκήρυττον τὸν ἐν θεολογίαις ἀκρότατον Ἰωάννην τὸν ἠγαπημένον καὶ ἐπιστήθιον, ὧν καὶ ἡ φήμη πλέον ἐπεκράτει καὶ ἐκηρύττετο αὐτὸν ἐκεῖνον εἶναι καὶ οὐκ ἄλλον, καὶ τῇ βασιλευούσῃ ταύτῃ τῶν πόλεων ἐπιδεδημηκέναι. καὶ διὰ τοῦτο παράδοξα τοιαῦτα καὶ ἐξαίσια θαύματα καὶ τεράστια ξενοπρεπῶς ἢ μᾶλλον εἰπεῖν θεοπρεπῶς ἐν παρρησίᾳ πολλῇ οὐ τοῖς πᾶσι δὲ ἐπίσης ὡμίλει καὶ οἷος ἦν αὐτὸν ἐπεδείκνυεν, ἀλλὰ τοῦτο ἐποίει σπανίως καὶ ἐν ὀλίγοις τισὶ τῶν γνησίων καὶ ἐναρέτων οὓς δηλονότι μᾶλλον τῶν ἄλλων πλέον ἠγάπα καὶ ὑπερετίμα, καὶ δυνατοὺς πρὸς τὸ πρᾶγμα ἔκρινε. τὰ γὰρ πλεῖστα ἐν τοῖς πολλοῖς (45) δι' αἰνιγμάτων καὶ μωροποιίας ἀπεφθέγγετο, ἄκρος σοφὸς καὶ ἐπιστήμων ἐν λόγοις ὑπάρχων καὶ διακρίσεως πάσης ἀνάπλεως, ἀκριβῶς εἰδὼς μέτρα καὶ καιροὺς λόγου καὶ σιωπῆς. τισὶ δὲ καὶ ἀνοηταίνειν καὶ ἐξεστηκέναι ἐδόκει, ὁ θείας τῷ ὄντι σοφίας πεπληρωμένος, διὰ τὰς πανσόφους αὐτοῦ μωροποιίας, ἃς ἐξεπίτηδες ἐποίει ἐπὶ τῶν πειρωμένων δοξάζειν καὶ μεγαλύνειν αὐτόν. ἐν τούτοις οὖν διάγοντος τοῦδε τοῦ θεοφόρου πατρὸς καὶ μεγάλοις σημείοις καὶ τέρασιν ἐν τῇ τοῦ δηλωθέντος πριμμικηρίου οἰκίᾳ διαλάμποντος, κἀμοῦ δὲ συχνότερον πρὸς αὐτὸν διαβαίνοντος καὶ τῆς ἡδυτάτης καὶ μελιρρύτου διδαχῆς καὶ εὐχῆς αὐτοῦ καταπολαύοντος, γέγονέ μοι οἰκείωσις καὶ παρρησία τις πρὸς αὐτὸν ὑπὲρ πάντας τοὺς διαθέσει καὶ πίστει θερμῇ πρὸς αὐτὸν ἀεὶ σχολάζοντας πνευματικοὺς αὐτοῦ παῖδας, ὥστε

οὐ μόνον ὑπ᾽ αὐτοῦ χαριέντως πως καὶ ἱλαρῶς προσεδεχόμην ἀεὶ καὶ κατεσπαζόμην μεθ᾽ ἱλαροῦ καὶ χρηστοῦ μειδιάματος τοῦ ἐπιφαινομένου ἐν τῷ φω-(45 οβ.)τοειδεῖ καὶ θείῳ προσώπῳ αὐτοῦ ἐπὶ ταῖς ὑπανταῖς καὶ ὑποδοχαῖς τῶν πρὸς αὐτὸν ὠφελείας χάριν παραγινομένων, καὶ τοῖς ἐν ἁγίῳ φιλήματι ἀσπασμοῖς τε καὶ ἁγιασμοῖς, ἀλλὰ δὴ καὶ τῆς ἐξυπηρετούσης αὐτῷ τιμίας γραός, τῆς ἀπὸ δουλίδων φημὶ Θεοδώρας, τὰ μέγιστα ἠγαπώμην καὶ προσηνῶς προεδεχόμην, ὁρώσης καὶ αὐτῆς τὸν ἅγιον, ὁποίαν τὴν προσπάθειαν καὶ ἀγάπην πρός με ἐκέκτητο.

μιᾷ τοίνυν τῶν ἡμερῶν πρὸς νόσον τινὰ ἐλάσοντός μου, κατεκλίθην ἐπὶ τῆς στρωμνῆς μου, καὶ προσκαλεσάμενος τὸν κατὰ συνήθειαν ἰατρεύοντά με τῷ ἡμῖν ἐνδιαιτώμενος, ἐπεδείκνον αὐτῷ ἐμαυτόν, ἐπιζητῶν φάρμακα τῇ κατεχούσῃ με νόσῳ κατάλληλα. ὁ δὲ πάντῃ διερευνήσας με καθάρσιόν τι εἰς τὴν ἐμὴν ὄνησιν γενέσθαι προκέκρικε. ἐμοῦ πρὸς τοῦτο ἀποδυσπετοῦντος οὐδέπω γὰρ τοιοῦτόν τι ἐπεπώκειν φάρμακον. κατὰ νοῦν δὲ λαβὼν τὰ περὶ τὸν (46) ὅσιον δεῖν ἔγνων πορευθῆναι πρὸς αὐτὸν καὶ ὃ ἐκείνῳ δόξει τοῦτο καὶ διαπράξασθαι. τοῦτο γοῦν γνοὺς εὐθέως παρεγενόμην ἐν οἷς ἐκεῖνος διέτριβεν. ἦν δὲ ὥρα ἀρίστου. εἰσελθόντος δέ μου πρὸς αὐτὸν καὶ πεσὼν τοῖς ποσὶν αὐτοῦ ἐπὶ τὴν γῆν, προσέταξέ μοι πλησίον αὐτοῦ καθεσθῆναι. ἦσαν δέ τινες τῶν πενεστέρων πρὸ ἐμοῦ φοιτήσαντες πρὸς αὐτὸν καὶ ἅμα αὐτοῖς καθεζόμενος ἐγεύετο. κατεῖχε δὲ ἐν τῇ χειρὶ αὐτοῦ κλόνον χλωροῦ λαχάνου, ὃ δὴ προσαγορεύεται σκόρδον, καὶ σὺν ἄρτῳ ἤσθιεν αὐτό. θαῦμα δὲ ἐξέπιον τότε ἐγίνετο. ἐσθίοντος δὲ αὐτοῦ, οὐδαμῶς ἡ τοῦ σκόρδου ὀδμὴ ἐφαίνετο τοῖς ἐκεῖ. ἐμοῦ δὲ ἐπὶ τοῦτο θαυμάζοντος, ἀποκριθεὶς λέγει μοι ὁ μακάριος· „οὐχὶ πρὸ τῆς ὥρας ταύτης ὁ ἰατρὸς καθάρσιόν τι πιεῖν προετρέψατο διὰ τὸ μικρόν τι ἀνεθῆναι; ἀλλὰ σὺ καλῶς πεποίηκας πρός με παραγενόμενος. δέξαι οὖν καὶ φάγε.“ δέδωκε δέ μοι ἐκ τοῦ λαχάνου ἐκεί-(46 οβ.)νου οὗπερ ἤσθιεν κλόνον ἕνα. δεξάμενος οὖν ἔφαγον. καίτοι γε μηδὲ ἄλλῳ ποτέ τινι φαγόντι ἐξ αὐτοῦ δυνάμενος πλησιάσαι, λίαν γὰρ ἀπηχθόμην τῇ ὀδμῇ αὐτοῦ, — ἔφαγον οὖν αὐτὸ καὶ οὐδὲ ἴχνος ὅλως ὀσμῆς ἐν αὐτῷ, ὥστε θαυμάζειν καὶ ἐκπλήττεσθαι τὴν μεταβολὴν αὐτοῦ. βαλὼν οὖν οἰκείαις χερσὶν ὁ ἅγιος οἶνον ἄκρατον εἰς βουκάλιον καὶ τῇ δεξιᾷ χειρὶ τὸν τίμιον τύπον τοῦ Ζωοποιοῦ Σταυροῦ ἐπισφραγίσας, φησὶ πρός με· „δέξαι καὶ πίε.“ ἐγὼ δὲ δεξάμενος ἔπιον, ἐδίσσευσε οὖν τοῦτο καὶ ἔπιον, καὶ ἐτρίσσευσε καὶ ὡσαύτως ἔπιον.

καθημένων δὲ ἡμῶν φιλόχριστός τις ἐδωρήσατο τῷ ὁσίῳ κάλλιστα ὀρτάρια αἴγεια, ἔκειντο δὲ πλησίον αὐτοῦ ἐν τῇ κλίνῃ. ἄνεισιν

οὖν ἐκεῖσε ὁ ἐπίτροπος τοῦ οἴκου, θεασάμενος οὖν τὰ ὀρτάρια, φησὶ πρὸς τὸν ὅσιον· „πάτερ ἅγιε, σοὶ οὐ δέον φορεῖν ταῦτα ἁγίῳ ὄντι, ἐμοὶ δὲ καὶ λίαν ἁρμόδιον ἁμαρτωλῷ πεφυκότι.“ ὁ δὲ ὅσιός φησι πρὸς αὐτόν· (47) „ἔασον ταῦτα. ἐπειδὴ πλὴν αὐτῶν ἕτερα οὐ πρόσεστί μοι.“ ὁ δὲ λέγει· „σοί, πάτερ, ὁ Θεὸς χορηγήσει σοι ἕτερα. ἀπὸ τοῦ νῦν δὲ ταῦτα ἐκ τῶν χειρῶν μου οὐκ ἐξέρχονται.“ λέγει πρὸς αὐτὸν ὁ μακάριος· „καὶ αὐτός, ἀδελφέ, πέντε ζεύγη ὀρταρίων κέκτησαι καὶ οὐκ ἀρκοῦσι σοι, ἀλλ' ἐλήλυθας καὶ πενιχροῦ γέροντος ἀφελέσθαι τὴν βίαν, ὅρα οὖν ἀνθ' ὧν μου ταῦτα μετὰ τυραννίδος λαμβάνεις, τί σοι συμβήσεται,—τὴν κρείττονα ζυγὴν τῶν ὑποδημάτων σου ἐν τάχει ἀπολέσεις.“ καταφρονήσας οὖν ἐκεῖνος τῶν ῥημάτων τοῦ ὁσίου ἔλαβε ταῦτα καὶ ἀνεχώρησε. τῇ δὲ ἐπαύριον πορευθεὶς ἐν τῷ βαλανείῳ λούσασθαι κατὰ τὸ ῥῆμα τοῦ ἁγίου ἀπώλεσε τὰ κρείττονα τῶν ὑποδημάτων αὐτοῦ καὶ πείρᾳ τὸ πρᾶγμα μεμαθηκὼς, ἐθαύμαζε τὸν ὅσιον καὶ πλείονος ἔκτοτε ἐσέβετο αὐτόν

ἐμοῦ δὲ ὡς εἴρηται τὸ σκόρδον φαγόντος καὶ τὰ τρία βαυκάλια τοῦ οἴνου πιόντος μέχρις ἂν ἡμην (47 οβ) πρὸς τὸν ἅγιον ἐν ἀδείᾳ διῆγον πολλῇ. ἀναστάντος δέ μου καὶ πρὸς τὴν οἰκίαν παραγεγόνοτος, ἤρξατό μου ἡ καρδία ταράττεσθαι καὶ ἐντὸς στροβεῖσθαι τότε γὰρ ἡ δυσοδμία τοῦ σκόρδου τῇ ἰσφρήσει μου ἐπετέθη. καὶ μὴ φέρων ταύτην ἠρξάμην κακουχίας ἀφορήτους σφόδρα ἐμεῖν τῆς δὲ γαστρός μου μυγείσης, τοσαύτη μοι κένωσις γέγονεν, ὥστε με ὡς ἱστὸν ἀράχνης γεγωνέναι. ἐπὶ τούτοις οὖν τῆς νόσου ἐξαναστάς, ἐπὶ πεντεκαίδεκα ἔτεσιν ἔκτοτε οὐδὲ τὴν κεφαλήν μου ἤλγησα.

καθαροπώλης δέ τις φίλος τοῦ ἁγίου ὁρῶν τὸ ἐργαστήριον αὐτοῦ εἰς τοὐπίσω ἀναποδίζον, ἐβουλεύσατο προσελθεῖν τῷ ἁγίῳ. τῇ οὖν ἐπαύριον ἀναστὰς ἐπορεύθη πρὸς τὸν ὅσιον καὶ ἐδυσώπει αὐτὸν ἅμα αὐτῷ ἀφικέσθαι εἰς τὸν οἶκον αὐτοῦ. ὁ δὲ εἴξας τῇ παρακλήσει αὐτοῦ ἐπορεύθη μετ' αὐτοῦ. τῇ ἡμέρᾳ οὖν ἐκείνῃ ἐξένισε φιλοφρόνως εἰς ἑστίασιν καὶ πένητας, τῇ δὲ ἐπαύρι-(48)ον πρωΐας λέγει πρὸς τὸν μακάριον „καταξιωσάτω, πάτερ, ἡ σὴ ἁγιωσύνη σκυλῆναι καὶ εἰς τὴν πενιχρὰν τοῦ παιδός σου ἀποθήκην, ὅπως εὐλογήσῃς καὶ τὰ ἀγγεῖα σὺν τῷ οἴνῳ. ὁ δὲ μακάριός φησι πρὸς αὐτόν· „πορευθῶμεν, τέκνον, ἔνθα κελεύεις.“ παραγεγονότων τοιγαροῦν ἐπὶ τὴν ἀποθήκην, ὑπεδείκνυε τῷ ἁγίῳ ὁ ἄνθρωπος τοὺς πίθους αὐτοῦ καὶ παρεκάλει εὐλογῆσαι αὐτούς. ἦσαν δὲ καί τινες τῶν ἰδίων τοῦ ἀνδρὸς διὰ τὸν ὅσιον ἐκεῖσε παραγεγονότες. ὅτε οὖν πάντα τὰ ἀγγεῖα ὁ ἅγιος εὐλόγησε ἐλθὼν ἐπὶ ἓν τῶν ἀγγείων ὡσεὶ πεντεκαιδέκα μετρητὰς χωροῦν, λέγει τῷ καθαροπώλῃ „ὄντως, φίλε, πάντα μὲν τὰ προσόντα σοι ἀγγεῖα

ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ μου εὐλόγησα, τοῦτο δὲ τὸ ἀγγεῖον συντρίψαι ἔχω" ὁ δὲ λέγει· „μή, πάτερ ἅγιε, μὴ συντρίψῃς τοῦτο, ἀλλὰ μᾶλλον εὐλόγησον καὶ αὐτό, ὅπως ὁ Θεὸς καὶ ἡ εὐχή σου εὐοδώσῃ μοι, ἐπεὶ εἰς τὸ κατόπιν ὁρῶ τὸν βίον μου καταντῶντα καὶ πτοοῦμαι μή πο-(48 οβ)τε εἰς παντελῆ πενίαν φθάσω. καὶ γὰρ πᾶσα μου ἡ πραγματεία ἀλλότριον χρυσίον ἐστὶν ὑπὸ τόκου μοι θησαυρισμένον. πρόσθες οὖν μᾶλλον ἐκ τοῦ ἐλέους τοῦ δεδομένου σοι ὑπὸ Θεοῦ." λέγει πρὸς αὐτὸν ὁ μακάριος· „ἐγὼ εἰς τοῦτο ἐλήλυθα, ἵνα συντρίψω αὐτὸ καὶ ἵνα ἀπὸ μεγάλου κινδύνου λυτρώσωμαι σε." κἀκεῖνός φησι· „μή, τίμιος πάτερ, ἐμὲ θραῦσον καὶ τὴν κεφαλήν μου σύντριψον, μόνον τοῦτο μὴ θραύσῃς." καὶ ὡς ταῦτα ἐκεῖνος παρεκάλει, εὑρὼν ἐκεῖσε ὁ ὅσιος ῥόπαλον παχὺν καὶ ἄρας τοῦτον καὶ ἐφ' ὕψους ἀπαιωρήσας καὶ καταγαγών, ἐπάταξε τὸ ἄγγος ὅπερ ἦν ἀνάπλεων τοῦ οἴνου, διαῤῥαγὲν δὲ ἐξέχυσε τὸν οἶνον, ἄνωθεν γὰρ τῆς γῆς ἵστατο. θεασάμενος οὖν τὸ γεγονὸς ὁ καθαροπώλης καὶ πάντες οἱ παρόντες ἐκεῖσε, ἠθύμησαν σφόδρα ἐν ταῖς καρδίαις αὐτῶν, μέμψεις τινὰς ἔνδοθεν κατὰ τοῦ δικαίου φέροντες. γνοὺς δὲ τῷ πνεύματι ὁ ὅσιος, ὅτι ἐβαρύνθησαν ἐν ταῖς καρδίαις αὐτῶν, ἀπογυμνοῖ (49) λοιπὸν αὐτοῖς τὴν αἰτίαν, δι' ἣν τὸ ἄγγος συνέτριψεν, καὶ ἄρας κάλαμον ἐκεῖσέ που κείμενον, ἐνέβαλε τοῦτον τῷ πυθμένι τοῦ συντριβέντος ἄγγους καὶ πάντων ὁρώντων ἐκφέρει ἐκεῖθεν ὄφιν τριῶν πήχεων τὸ μῆκος, ἐξογκωθέντα ἐκ της σήψεως καὶ δυσωδίαν κεκτημένον ἀφόρητον. καί φησι πρὸς αὐτούς· „ἵνα τί μου, ὦ τέκνα, καταμέμφεσθε ἐν ταῖς καρδίαις ὑμῶν ὡς ἐναντίον τι πράξαντι ἐν ὑμῖν; θεάσασθε ὧδε." καὶ ἐπεδείκνυεν αὐτοῖς τὸν ὄφιν λέγων· „πόσοι ἂν πιόντες ἀπὸ τοῦ οἴνου τούτου ἐτελεύτησαν, καὶ ἔμελλεν οὗτος ὁ ταλαίπωρος εἰς περίστασιν καὶ εἰς πειρασμοὺς ἕλκεσθαι. ἆρα οὖν εὐάρεστον τοῦτο ἐδόκει ὑμῖν;" ταῦτα εἰρηκὼς ἔρριψε τὸν ὄφιν σὺν τῷ καλάμῳ καὶ ἐξελθὼν ἔξω τῆς ἀποθήκης ἐκαθέσθη. ἰδόντες δὲ τὸ παράδοξον τοῦτο τεράστιον ὅ τε καθαροπώλης καὶ οἱ σὺν αὐτῷ ἐξέστησαν ἅπαντες καὶ προπεσόντες τοῖς ἴχνεσι τοῦ (49 οβ.) ἁγίου, παρεκάλουν αὐτὸν εὔξασθαι ὑπὲρ αὐτῶν καὶ βοηθῆσαι αὐτοῖς, ὅτι περ κατὰ διάνοιαν πονηρὰ κατ' αὐτοῦ ἐλογίσαντο. ὁ δὲ μακάριος λέγει πρὸς αὐτούς· „ὁ προνοητὴς πάντων καὶ κηδεμὼν καὶ προγνώστης Κύριος δώῃ ὑμῖν ἄφεσιν ἁμαρτιῶν, τέκνα." καὶ παρήνει αὐτοῖς, λέγων· „μὴ ἀκουσθῇ τοῦτο ἐπί τινος παρακαλῶ. ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστός ἐστιν ὁ δι' ἡμῶν τῶν ἀναξίων δούλων Αὐτοῦ δυνάμεις τελῶν καὶ σημεῖα ἐνεργῶν ἕνεκα τῆς σωτηρίας ἡμῶν τῶν ἐξ ὅλης τῆς ψυχῆς πιστευόντων εἰς Αὐτόν, ἐπεὶ ἐγὼ ἄνθρωπός εἰμι ἁμαρτωλός." καὶ ταῦτα μὲν πρὸς αὐ-

τοὺς ὁ ἅγιος εἴρηκε. αὐτοὶ δὲ ἐξίσταντο δοξάζοντες τὸν Θεὸν, καὶ ο ἄνθρωπος ἐκεῖνος ἐπλούτησε ἕκτοτε διὰ τῶν εὐχῶν τοῦ ὁσίου.

Ἄλλοτε δέ ποτε πορευθέντος μου πρὸς τὸν ἅγιον εὗρον ἐκεῖός τινα πρὸς αὐτὸν ἐληλυθότα καὶ παραβολικῶς αὐτῷ ὁμιλοῦντα. οἱ γὰρ λογισμοὶ αὐτοῦ παρετράπησαν τῶν ζοφερῶν δαιμόνων ἐξαπατώντων αὐτόν, ὅτι βασιλεῦσαι (50) αὐτῷ προκεῖται ἐν τῇ θεοφυλάκτῳ ταύτῃ πόλει, ὡς ἐπὶ τέλους ἐκ τῆς ὁμιλίας αὐτοῦ συνῆκα. ὁ οὖν μακάριος, βουλόμενος αὐτὸν πληροφορῆσαι, ὅτι μάταιος αὐτοῦ ἐστιν ὁ σκοπός, ἵνα ἀποστῇ ἀπ' αὐτοῦ καὶ ὅλῃ καρδίᾳ προσκολληθήσεται τῷ Κυρίῳ, ἀναβλέψας πρός με πλησίον αὐτοῦ καθεζόμενος ἐπὶ πολλὴν ὥραν ἀτενῶς εἰώρα. ἦν γὰρ καὶ τοῖς ὀφθαλμοῖς εὐμενῶς βλέπων, ὡς ἀεὶ πρὸς τὰ ἄνω καὶ θεαῖα ἀμετεωρίστους τούτους ἔχων. ὡς οὖν εἴρηται, ἀτενῶς πρός με βλέποντος, ἐπλήσθη ἡ καρδία μου θείου τινὸς πυρὸς στάζοντος ἐν αὐτῇ χαρὰν καὶ εὐφροσύνην καὶ ἀγαλλίασιν ἀνερμήνευτον. εὐθέως οὖν ἀνεωχθέντος μου τοῦ στόματος, ἠρξάμην ὁμιλεῖν τῷ ἀνθρώπῳ ἐκείνῳ λέγων οὐχ ἅπερ ἐγίνωσκον, οὐδέπω γὰρ ἤμην αὐτὸν θεασάμενος, ἀλλ' ἅπερ ἐν τῇ καρδίᾳ μου τὸ πῦρ ἐκεῖνο τὸ θεῖον ὑπετίθετο. ἐπὶ πολλὴν τοιγαροῦν ὥραν ἅπερ ἐκ νεότητος αὐτοῦ εἰργάσατο καὶ περὶ (50 οβ.) τοῦ σκοποῦ αὐτοῦ ὃν εἶχε περὶ τῆς βασιλείας διαλεχθέντος μου αὐτῷ, ἐν σιωπῇ μεγίστῃ καὶ προσοχῇ θαυμάζων ἐπηκροᾶτο μου. εἴρηκα δὲ αὐτῷ μὴ ἔχειν καθ' ἑαυτὸν σκοπὸν βασιλεῦσαι ἐν τῇ γῇ, οὐ γάρ ἐστιν ἐκ Θεοῦ τοιοῦτος σκοπός, ἀλλ' ἐκ δαιμόνων μεθοδείας. ὀφείλεις δὲ μᾶλλον γενέσθαι μοναχὸς καὶ διὰ τῆς καλλίστης ἀσκήσεως τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῆναι· ὁπόταν δὲ ἥκῃς ἐνθάδε οὐκ ὀφείλεις καταφρονητικῶς ἵστασθαι, ἀλλ' ἐν φόβῳ Θεοῦ παραγίνεσθαι, καὶ εἰσερχόμενος πρηνὴ ρίπτειν ἑαυτὸν ἐπὶ τῆς γῆς, καὶ τὰ τίμια ἴχνη τοῦ θεοφόρου πατρὸς ἐν πίστει θερμῇ κατασπάζεσθαι, ὅπως ὑπέρ σου πρὸς Κύριον τὴν ἱκεσίαν προσάγων εὐοδώσῃ σου τὰ πρὸς Αὐτὸν διαβήματα. ταῦτα καὶ ἕτερα πλεῖστα προδιαλεχθέντος μου, κατανυγεὶς ὁ ἄνθρωπος ὑπὸ τῆς θείας χάριτος δάκρυσιν ἤρξατο βρέχειν τὸ πρόσωπον. καὶ ἐν ἑαυτῷ περι-(51) στρέφων τὰ παρ' ἐμοῦ ῥηθέντα, ἔστενε ἐκ βαθέων καὶ ἐξίστατο ἐκπληττόμενος. ἀναστάντος δέ μου τοῦ πορευθῆναι ἐκεῖθεν, ἀναστὰς καὶ αὐτὸς ἠκολούθησέ μοι κατόπιν καὶ ἐν τῇ φυάλῃ τοῦ ἐκεῖσε ναοῦ τοῦ ἀρχαγγέλου φθάσας με, ἐξελιπάρει σαφέστερον εἰρηκέναι αὐτῷ περὶ ὧν προενουθέτησα αὐτόν ἐγὼ δὲ τῆς χάριτος ἀπαρθείσης ἀπ' ἐμοῦ καὶ τῶν πρώην παρ' ἐμοῦ ῥηθέντων αὐτῷ ἐπελαθόμην. τοῦτο δὲ μόνον εἴρηκα αὐτῷ· „μὴ ἀπατηθῇς, κῦρι ἀδελφέ, ἐγὼ οὐ γινώσκω σε. οὐδὲ συνίημι τίς καὶ πόθεν εἶ, οὔτε τί σοι εἴρηκα, ἐπίσταμαι.

ἀλλ᾽ ὁ ὅσιος πατὴρ ἡμῶν Βασίλειος τὰ λαληθέντα πάντα δι᾽ ἐμοῦ σοι ᾐνίξατο. τὸ λοιπόν, ἀγαπητέ μου, ἅπερ ἀκήκοας ἐπιτέλεσον καὶ προσκολλήθητι τῷ Κυρίῳ ὁλοψύχως τὰς ματαίας σου ἐνθυμήσεις καταλείψας ἵνα εὖ σοι γένηται καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. ὁ γὰρ πατὴρ ἡμῶν θέλων σε διορθώσασθαι ἀν-(51 οβ)θ᾽ ὧν οὐ κέκτησαι πίστιν πρὸς αὐτόν, πάντα ταῦτα δι᾽ ἐμοῦ σοι νενουθέτηκε. σὸν οὖν ἐστι τὸ λοιπὸν ὃ βούλει πράττειν.“ ταῦτα ἐκεῖνος ἐνωτισάμενος, ἀσπασάμενός με ἀνακεχώρηκε. καὶ ἵνα συνελὼν εἴπω συντόμως γέγονε μοναχός, καὶ πορευθεὶς ἐν ὄρει τινὶ δυσβάτῳ πλησίον Νικομηδείας, κἀκεῖσε μονάς ἐν στενωτάτῃ καλύβῃ τὸν ἅπαντα χρόνον τῆς ζωῆς αὐτοῦ ἡσύχασε. κατήρχετο δὲ καὶ εἰς τὴν πόλιν κατὰ τρεῖς ἐνιαυτοὺς ἅπαξ καὶ ἐκομίζετο τὰς τοῦ ἁγίου γέροντος εὐχάς, καὶ οὕτως ἀνεχώρει εἰς τὴν καλύβην αὐτοῦ εὐχαριστῶν τῷ Θεῷ, καὶ τῷ ἁγίῳ πατρί, κἀμοὶ τῷ ἐλαχίστῳ καὶ ἁμαρτωλῷ, ὡς τῇ τοῦ Κυρίου βοηθείᾳ καὶ τῇ ἡμῶν συνεργείᾳ τοῦ θείου τετυχηκὼς σχήματος καὶ τῆς καλλίστης ἡσυχίας ἀπολαύσας καὶ τῇ τῶν σωζομένων μερίδι συναριθμηθείς. Κοσμᾶς δὲ ἦν αὐτῷ τὸ ὄνομα.

διήγησιν δέ τινα ἐν μέσῳ παρέδραμον. καὶ γὰρ πρὸ τοῦ ἀναχωρῆσαί με τοῦ ὁσίου, κα-(52)θεζομένου μου πρὸς αὐτόν, ἦκέ τις πρεσβύτερος γεραιὸς πάνυ, ὀπώρας ἐνεγκὼν καὶ ἀναφορὰν ἐκ σεμιδάλεως. ἦν δὲ οὗτος ἱερεὺς τοῦ εὐκτηρίου τῆς ἁγίας μάρτυρος Παρασκευῆς, τοῦ πλησίον τῶν ἀρεοβίνθων ἐνιδρυμένου. ὡς οὖν εἰσῆλθεν οὗτος πρὸς τὸν ὅσιον, θεὶς τὰ προσαχθέντα παρ᾽ αὐτοῦ ἐπὶ τῆς τραπέζης ἵστατο δεσμήσας τὰς χεῖρας καὶ φυλάττων τὸ αἰδέσιμον. ἐκέλευσε οὖν αὐτὸν ὁ ὅσιος καθεσθῆναι. καθεσθέντος δὲ τῶν τοῦ Θεοῦ δωρεῶν ἀπελάβομεν. ὁ δὲ ἱερεὺς ἐν τῷ συνεσθίειν ἡμῖν, ἐν τῷ λογισμῷ αὐτοῦ ἀνίχνευε, ψηφίζων ὅσους ὀβολοὺς εἰς τὰς ὀπώρας ἐξωνούμενος κατεβάλετο. οὗτος οὖν αὐτοῦ ἐν τῷ λελαθότι λογιζομένου καὶ ἀπορουμένου, ἀποκριθεὶς ὁ ὅσιος ἔφη πρὸς αὐτόν· „τί ἀδολεσχεῖς, ἀδελφέ, ἀπορῶν ἐν σεαυτῷ τί ἐξωδίασας. δέκα ὀβολοὺς εἰς ἐξώνησιν τῶν ὀπωρῶν κατεβάλου. μὴ οὖν κόπους πάρεχε τῷ σῷ λογισμῷ, ἀλλὰ μάθε τὸ ἀληθὲς ἀπ᾽ ἐ-(52 οβ.)μοῦ.“ ταῦτα ἀκούσας ὁ ἱερεὺς ἐξέστη τὴν πρόρρησιν τοῦ ἁγίου καταπλαγεὶς καὶ ἦν σὺν τρόμῳ πολλῷ καθήμενος καὶ εὐλογῶν τὸν Θεόν, ὅτι τοιούτους Αὐτοῦ θεράποντας ἐν ταῖς ἐσχάταις ἡμέραις ἀνέδειξεν.

ἔτι πρὸς αὐτὸν ἡμῶν καθημένων, παραγίνεταί τις γυνή, τούνομα Θεοδότη, παῖδα ὑπομάζιον ταῖς χερσὶ κατέχουσα, ὡς ἐτῶν τεσσάρων. ἦν δὲ σώφρων ἡ γυνὴ καὶ ἀεὶ τοῖς ἐν τῇ τιμωμένῃ Θεοτόκῳ καὶ Μητρὶ τοῦ Κυρίου ἡμῶν ὁδηγοῖς ἐξυπηρετοῦσα καὶ τῇ λιτανείᾳ

αὐτῆς τῇ καθ' ἑκάστην ἑβδομάδα γινομένῃ ἐπακολουθοῦσα. ὡς οὖν εἰσῆλει, τῷ ὁσίῳ προσεκύνησε καὶ ἀπέδοτο καὶ αὐτὴ ἃ ἐν ταῖς χερσὶν ἐπεφέρετο δῶρα. ἐκέλευσε οὖν αὐτὴν καθεσθῆναι. τὸ δὲ παιδίον αὐτῆς, ὅπερ ἐπεφέρετο, ἐπειδὴ συνεχῶς ἠσθένει, τοῦτου χάριν ἔφερεν αὐτὸ πρὸς τὸν ὅσιον ὅπως εὔξηται περὶ αὐτοῦ, ἵνα χαρίσηται αὐτῇ κἂν τοῦτο ὁ Θεός. ὅσα γὰρ ἔτικτε πενταετῆ ἢ τετραετῆ τῷ θανάτῳ παρεδίδοντο. (53) τούτου γοῦν τοῦ παιδίου κλαυθμυρίζοντος καὶ ἄρτον αἰτοῦντος φαγεῖν, ὁ μακάριος ἄρας ἄρτου κλάσμα δέδωκε αὐτῷ καὶ μειδιῶντι τῷ προσώπῳ λέγει· „πῶς καλεῖται τοῦτο τὸ παιδίον; ὡς οἶμαι, Λέων καλεῖται," εἶτα λέγει τῇ μητρὶ αὐτοῦ „διὰ τὴν πολλὴν σχέσιν ἣν κέκτησαι πρὸς τὴν ἐν τοῖς ὁδηγοῖς τιμωμένην Ἀειπάρθενον Θεοτόκον, ὑγιῆ τοῦ λοιποῦ καὶ ἐρρωμένον τὸν παῖδα τοῦτον χαρίσεταί σοι ὁ Κύριος. καὶ ἄλλα δὲ τέκνα εἰ τέξεις, τελευτήσουσι. τοῦτον δὲ τὸν παῖδα γίνωσκε, ὡς ἀποκαρεὶς μέλλει γενέσθαι κληρικός, καὶ εἰς μείζονα βαθμὸν προκοπῆς ἐλάσει, καὶ πολλὰ ἐπ' αὐτῷ χαρήσεις ὅτι δεξιᾶς ἔσται φύσεως, καὶ Κύριος φυλάξει αὐτόν." τὸ δὲ γύναιον ἀναστὰν προσεκύνησε αὐτῷ ἐπὶ τὴν γῆν θαυμάζον ὅπως ὁ μηδέποτε αὐτὴν ἐν ἄλλοις θεασάμενος, πάντα τὰ κατ' αὐτὴν ἀπαραλείπτως ἀπήγγειλε καὶ τὸν παῖδα αὐτῆς ἐξ ὀνόματος ὠπεκάλεσεν. ἔζησεν οὖν ὁ παῖς διαδρὰς τὸν θάνατον (53 οβ.) καὶ εὐμαθὴς ἐγένετο καὶ πάντα ὅσα εἶπεν αὐτῷ ὁ ὅσιος ἐπ' ἀληθείας ἐξένησεν ἐπ' αὐτῷ. κἀγὼ γὰρ αὐτῷ ὁ οἰκτρότατος τεθέαμαι τοῦτον κληρικὸν γεγονότα καὶ ἐν τοῖς μαθήμασι προκόψαντα, ὥστε ἀναμιμνησκόμενος τῶν ῥημάτων τοῦ ὁσίου ἀνδρὸς ἐδόξαζον τὸν Θεόν.

ἄλλοτε δέ ποτε καθεζομένου μου πρὸς τὸν ὅσιον, ἄνθρωπός τις παρεγένετο πρὸς αὐτὸν φίλος αὐτοῦ. ἐβούλετο δὲ εἰς ἀποδημίαν στελεῖς τὴν εὐλογίαν αὐτοῦ λαβεῖν καὶ οὕτως ἀπιέναι. ὁ οὖν ὅσιος συνορῶν τὰ κατ' αὐτὸν τοῖς νοεροῖς αὐτοῦ ὀφθαλμοῖς τοῦτο μόνον ἔλεγε· „Χελιδὼν ὁ ποταμὸς οὐ συνορῶ πῶς λυγρῶς με διέθηκε. ἀλλ' ἐὰν ἐπεκαλεσάμην Βασίλειον ἁμαρτωλὸν καὶ δι' αὐτοῦ τὸν Κύριον Ἰησοῦν, χελιδὼν ὁ ποταμὸς ἐφείσατο ἄν μου." ταῦτα τὰ ῥήματα πολλάκις ἐν τῷ στόματι αὐτοῦ ἔστρεφεν ἀφορῶν πρὸς τὸν ἄνθρωπον. ἡμῶν δὲ θαυμαζόντων τίνα ἐστὶν ἅπερ ὁ ἅγιος πρὸς τὸν ἄνθρωπον ὁμιλεῖ, καὶ τοῦ ἀνθρώπου ἐκπληττομένου, οὐδὲ γὰρ ἐκεῖνος ᾔδει ἅπερ πρὸς αὐτὸν ἀπεφθέγγετο, λαβὼν τὴν εὐχὴν τοῦ πατρὸς ἀνεχώρησε. (54) ἠπείγετο δὲ πρὸς τὰ ἀνατολικὰ μέρη, σταλεὶς ἐπί τινα διακονίαν παρὰ τοῦ κυρίου αὐτοῦ περιπατοῦντι οὖν αὐτῷ ἀμερίμνως, οὐδέπω γὰρ ἦν διοδεύσας τὴν ὁδὸν ἐκείνην, ἔφθασεν εἴς τινα ποταμόν. καὶ στὰς κατεσκόπει τὸν πόρον αὐτοῦ, ἦν δὲ τὸ πλάτος ὀργυιῶν εἴκοσι, οὕτω δὲ ὀξέως διήρχετο, ὡς μηδὲ πτῆσιν ὀρνέων ἐξισχύειν συναμιλλᾶσθαι αὐ-

τῷ, καίτοι γε κατὰ τὴν ὄψιν ἱλαρῷ νομιζομένῳ. ὡς οὖν ἀπεσκόπει τὸν τοῦ ποταμοῦ πόρον ὁ ἄνθρωπος, τολμήσας εἰσῆλθε τοῦ περάσαι. καὶ εὐθέως ἥρπασεν αὐτὸν ὁ ποταμὸς καὶ διήρχετο. ἰδὼν δὲ τὸ γεγονὸς ὁ ἄνθρωπος ἔκραζεν ἀπὸ τοῦ φόβου· „Κύριε, διὰ πρεσβειῶν τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου βοήθει μοι.“ ὡς οὖν εἶπε τὸν λόγον, βλέπει τὸν μακάριον ἐπὶ τοῦ ποταμοῦ περιπατοῦντα καὶ ἐπιτιμῶντα τοῖς ὕδασι κατασχὼν δὲ τὸν χαλινὸν τοῦ ἵππου, διὰ τὸ εὐθαρσὴς γενέσθαι, ἐπὶ τὸ πέραν ἐγένετο. καὶ πατήσας τὴν ξηρὰν ηὐχαρίστησε τῷ Θεῷ τῷ αἰφνιδί-(54 οβ.)ως αὐτὸν ρυσαμένῳ διὰ τῶν εὐχῶν τοῦ ἁγίου πατρός. καὶ προβὰς περαιτέρω ὀλίγον κατήχθη εἴς τινα χωρίον. κἀκεῖσε καταλύσας εἰς τὸ μικρὸν ἀναπαυθῆναι, ἠρώτα περὶ τοῦ ποταμοῦ πῶς προσαγορεύεται. μαθὼν δὲ, ὅτι οὗτός ἐστιν Χελιδὼν ὁ ποταμός, ὡς γὰρ χελιδὼν πολλῷ τῷ ροίζῳ ὀξυτάτως φέρεται, καὶ πολλοὺς τῶν μὴ πεῖραν αὐτοῦ ἐχόντων ὑπὸ τῆς βίας ἕλκων ἀπώλεσεν, ἀνεμνήσθη τῶν ῥημάτων τοῦ ὁσίου. ὅπως αὐτῷ πάντα προεῖπε, ἐξ ὀνόματος καὶ τὸν ποταμὸν προσειπών. θαυμαζόντων δὲ τῶν ἐγχωρίων ὅπως ἀκινδύνως οὗτος διεπέρασε καὶ μάλιστα διὰ τὸ εὐθέως τετριμένου πόρου, διηγήσατο αὐτοῖς τὰ περὶ τοῦ ἁγίου, ὅπως τε προεῖπε αὐτῷ πάντα τὰ συμβησόμενα αὐτῷ. καὶ εὐχαριστῶν ἔλεγε „δόξα σοι, Κύριε, ὅτι τὴν σήμερον διὰ τῶν πρεσβειῶν τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου ζῶ καὶ εἰμὶ ἐν τῷ κόσμῳ, ἀλλὰ ἀξίωσόν με διὰ τῶν εὐχῶν αὐτοῦ ἐπαναλῦσαι καὶ (55) προσκυνῆσαι καὶ ἀπευχαριστῆσαι αὐτῷ καὶ θεάσασθαι τὸ γλυκύτατον αὐτοῦ πρόσωπον, καὶ ἐνωτίσασθαι τὸ ῥῆμα τῆς μελιρρύτου αὐτοῦ λαλιᾶς, καὶ τερφθῆναι πνευματικῶς, καὶ εὐφρανθῆναι νοερῶς.“ τελέσας οὖν τὴν διακονίαν αὐτοῦ ἐπανῆκε χάριτι Χριστοῦ. καὶ ἀπελθὼν ηὐχαρίστει καὶ ἐξομολογεῖτο τῷ ἁγίῳ διηγούμενος ὅπως αὐτὸν σέσωκε, καὶ ἐκ ποίας ἀνάγκης ἐρρύσατο αὐτόν. ἐντεῦθεν οὖν ἐστι συνιδεῖν, ὁποῖον ἀγαθὸν τυγχάνει τὸ κεκτῆσθαι τὸν Θεὸν βοηθὸν ἢ τινὰ τῶν ἁγίων Αὐτοῦ.

ἐπ' ἄλλο δὲ θαῦμα ἐπ' ἐμοὶ τελεσθὲν ὁ λόγος ὥρμηται. προάστειον εἶχον ἐν τοῖς μέρεσι τῆς Θράκης ἐν τῷ κάστρῳ τοῦ Ραιδεστοῦ. ἐν ταῖς θερειναῖς οὖν ἡμέραις μέλλων ἀπελθεῖν ἐκεῖσε ἐπὶ τῷ τοὺς παρὰ Θεοῦ δεδομένους καρποὺς συναγαγεῖν, ἐπορεύθην πρότερον πρὸς τὸν ἅγιον εἰς τὸ κομίσασθαι τὰς εὐχὰς αὐτοῦ. καὶ ταύτας λαβὼν ἐγένομην πρὸς τὸ εὐκτήριον τοῦ ἁγί-(55 οβ.)ου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου. καὶ ἐφ' ἱκανὴν ὥραν δεηθεὶς αὐτοῦ, πρὸς τὸ τέλος εἶπον· „ἅγιε πρωτομάρτυς καὶ ἀπόστολε καὶ ἀρχιδιάκονε Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἰδοὺ πορεύομαι ἔξω τῆς πόλεως ταύτης, καὶ θάλασσαν μέλλω πλεῦσαι καὶ ξηρὰν περιπατῆσαι. σὺ οὖν γενοῦ φρου-

ρός μου καὶ ἀντιλήπτωρ, σκέπων με καὶ ἐν πᾶσιν ἀντιλαμβανόμενος. ναί, ἅγιε τοῦ Θεοῦ, ὥσπερ ἐγὼ κατὰ δύναμιν ἐξυπηρέτησα τῷ σεβασμίῳ εὐκτηρίῳ σου μετὰ πολλῆς προθυμίας, οὕτω καὶ αὐτὸς φάνηθί μοι βοηθὸς καὶ ἀντιλήπτωρ καὶ φύλαξ καὶ σκεπαστὴς καὶ ἐπίκουρος τῇ ἐκ Θεοῦ σοι δεδωρημένῃ βοηθείᾳ καὶ χάριτι." ταῦτα εἰρηκὼς ἐπορεύθην τὴν ὁδόν μου. ἦμην δὲ πρὸ τούτου εὐρηκώς ἔνδον τοῦ οἴκου ζώνην ἀλλοτρίαν νομισμάτων δύο τετιμημένην, ἐτύγχανε δὲ τῆς θυγατρὸς τοῦ κυρίου τοῦ οἴκου. ζητηθείσης δὲ καὶ μὴ εὑρεθείσης, ἐπηρώτησαν κἀμὲ οἱ ἀπολέσαντες. αὐτὸς δὲ διαλογισμῷ διαβολικῷ ληφθεὶς ἠρνησάμην. εἶπον γὰρ (56) ἐν ἑαυτῷ, ὅτι ὁ ἀπωλέσας πλεῖστα ἀγαθὰ κέκτηται, ἐγὼ δὲ πένης εἰμί. δεῖ οὖν μεταπωλῆσαι τοῦτο καὶ δοῦναι τὸ τίμημα τούτου τοῖς δεομένοις. τῷ σκοπῷ οὖν τούτῳ ἡττηθεὶς παρὰ τοῦ πονηροῦ, καλὸν γὰρ λέγειν τὴν ἀλήθειαν, ἀπεκράτησα τὸ ἀλλότριον. ἐξομολογοῦμαι γὰρ ὑμῖν τὸ ἐμὸν ἁμάρτημα. φησί γάρ· „ἐξομολογεῖσθε ἀλλήλοις τὰς ἁμαρτίας καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων ὅπως ἰαθῆτε" ἀλλὰ προσέχετε παρακαλῶ οἷά μοι συμβέβηκε παρὰ τοῦ παιδεύοντος τὰ οἰκεῖα τέκνα Πατρὸς καὶ αὖθις ἐλεοῦντος. ὡς οὖν εἴρηται τὴν προκειμένην μοι ὁδὸν πορευόμενος ἀπώλεσα σκέπασμά τι νομισμάτων τεσσάρων τιμώμενον. ἀπώλεσα δὲ καὶ τὴν ἐμὴν ζώνην νομισμάτων δύο καὶ ὀβολοὺς τὸ τρίτον ὡς δοκῶ τοῦ νομίσματος. ἐπὶ τούτοις οὖν σφόδρα ἀνιαθέντος μου ἐπιφαίνεταί μοι κατ' ὄναρ ὁ θεῖος Βασίλειος ἐπιδεικνύων μοι κύθραν συντετριμμένην καὶ φησὶ πρός με· „ὁρᾷς τόδε τὸ (56 οβ.) ἄγγος τὸ συντετριμμένον καὶ τεθλασμένον;" ἐμοῦ δὲ εἰπόντος· „ναί, κύριέ μου," ἐκεῖνος ἔφη· „ἐάν τις τοῦτο κλέψῃ τετραπλάσιον ἀφαιρεθήσεται ἀπ' αὐτοῦ, εἴτε ἐν τῷδε τῷ αἰῶνι εἴτε ἐν τῷ μέλλοντι. ἀλλ' ἐν τῷ νῦν αἰῶνι μὲν πράγματα φθαρτὰ ἀντιδίδωσιν, ἐν τῷ μέλλοντι δὲ ἐκ τοῦ ψυχικοῦ αὐτοῦ πλούτου εἴπερ ἔχει τετραπλάσιον ἀντιδίδωσιν, εἰ δέ γε οὐκ ἔχει, τετραπλῇ βασάνῳ τιμωροῦσι τὸν κλέψαντα. καὶ οὕτω διεκδικεῖται ἡ αἰτία τοῦ κλέμματος." ἐμοῦ δὲ εἰρηκότος· „κύριε, κἀγὼ ὡς οὐκ ἔκλεψά τι ἀπό τινος,"—ἐκεῖνος ἀντέφησε· „τὴν ζώνην ἄρα τῆσδε τῆς νεάνιδος οὐκ ἔκλεψας;" προσθεὶς αὐτῆς καὶ τὸ ὄνομα. ἐμοῦ δὲ εἰρηκότος· „οὐδαμοῦ, κύριέ μου, οὐκ ἔκλεψα, ἀλλὰ εὕρηκα αὐτήν,"—ἀποκριθεὶς λέγει μοι ἐκεῖνος· „ἴσθι ὡς ἐάν τις εὕρῃ ἀπολωλὸς πρᾶγμα καὶ γινώσκει τὸν ἀπολωλότα, αὐτὸ δὲ μὴ ἐπιδώσῃ αὐτῷ, ὡς κλέπτης ὁ τοιοῦτος εὐθύνεται. τοιγαροῦν τί στενάζεις αὐτός, ὅτι ἀπώλεσας τῶν ἐξ νομισμάτων τὰ πράγματα; (57) ἔδει γάρ σε ἀποδοῦναι οὗπερ εὗρες τῷ ἀπολωλεκότι. καὶ τότε ἐπερωτήσαντι σε καὶ τὸ οἰκεῖον ἐπιζητήσαντι. πρόσεχε οὖν μὴ καὶ εἰς χείρονα πείρασμα ἐμπέσῃς καὶ μείζονα δίκην δώσῃς καὶ μεγίστην ὑποστῇς συμφοράν. καὶ

ἐγὼ μέν, ὦ τέκνον, βοηθός σοι πέφυκα, ἀλλά γε καὶ ὁ δίκαιος κριτὴς ἔκπαλαι ἑκάστῳ ἀποδίδωσι κατὰ ἔργα αὐτοῦ διὰ τοῦτο πρόσεχε σεαυτῷ ἵνα μὴ τοῖς δικτύοις ἐμπέσῃς τοῦ πονηροῦ. διψᾷ γὰρ ὁ σατανᾶς τὴν σὴν ἀπώλειαν.“ ταῦτα μοὶ εἰρηκώς ἀπέστη ἀπ᾽ ἐμοῦ. ἐγὼ δὲ πέφθακα τὸ προάστειον καὶ τὴν ὑπερησίαν δι᾽ ἣν καὶ παραγενόμην ἤνυον, μεμνημένος δὲ τοῦ ὁσίου οἷά μοι ἐν ὁράματι ἐπιφανεὶς παρεκελεύσατο, ἠσχαλον, ἠνιώμην, μετεγίνωσκον, ὅτι τὴν ἀλλοτρίαν ζώνην εὑρηκὼς οὐκ ἀπέδωκα καὶ ὅτι ἐκ τούτου ἀπώλεσα οὐ τετραπλάσιον μόνον, ἀλλὰ ἑξαπλάσιον. ἀλλ᾽ ὅμως οὐκ εἶχον τί διαπρύξασθαι ἅπαξ τοῦ πράγματος γεγονότος. ἐνθυμούμενος δὲ ὅτι εἴρηκέ μοι ὁ ἅγιος πρόσεχε σεαυτῷ μὴ καὶ πάλιν εἰς (57 ob.) ἕτερον πείρασμα ἐμπέσῃς, πολλῇ συνεχόμην τῇ ἀθυμίᾳ. καὶ δὴ οὐ μακρὰν ὁ πειρασμὸς συνήντηκέ μοι. μίσθιος γάρ τις ἦν ἐν τῷ προαστείῳ τοὔνομα Ἀλέξανδρος. οὗτος ἦν νεωστὶ κόρην τινὰ νομίμῳ γάμῳ ἀράμενος. ἦν δὲ ἡ κόρη μοιχαλὶς ἀκατάσχετος ὡς σχεδὸν ἐκ τῶν ὀλίγων ἡμερῶν πάντας τοὺς ἄρρενας τῶν κύκλῳ προαστείων εἰς τὴν ἀνομίαν ἑαυτῆς ἐκνεῦσαι. καὶ οὐκ ἦν τις ὁ ἄραι στόμα κατ᾽ αὐτῆς δυνάμενος. καὶ γὰρ εἴ τις πρὸς αὐτὴν διηνέχθη, ἐσκεύαζε τὰ μαγικὰ αὐτῆς καὶ νόσῳ χαλεπωτάτῃ τὸν τοιοῦτον κατέτρυχε. καὶ γὰρ καὶ ὁ δυστυχὴς αὐτῆς ἀνήρ, ἐπειδὴ ἔτυπτεν αὐτὴν ὅτι μοιχᾶται, τοσαύταις αὐτὸν ἀσθενείαις περιέβαλε καὶ οὕτω κατίσχυον πεποίηκεν, ὡς μηδὲ μυίας περιγενέσθαι δύνασθαι. ἔπειτα ὅταν ἐκείνη ὠργίσθη αὐτῷ λαμβάνουσα ῥάβδον ἢ σχοινίον ἔτυπτεν αὐτὸν καὶ τῆς κέλλην ἐξεδίωκε. ἔφασκον γὰρ ὅτι ἡ μητὴρ αὐτῆς τὰς τῶν ὄρνεων πτήσεις ἵστα καὶ ποταμῶν ὁρμήματα ὄπισθεν ἀναχαί-(58)τιζε καὶ κτήνη περαιτέρω προβαίνειν οὐκ εἶα, καὶ ἄλλα δεινὰ ἐποίει ἃ οὐκ ἐξὸν τῇ ὑμετέρᾳ ἀγάπῃ διηγήσασθαι. ἐκεῖθεν τοιγαροῦν καὶ αὕτη ἡ ἀσελγὶς τὴν δυσωδίαν ταύτην ἀντλήσασα, ὥσπερ κακοῦ κόρακος ᾠόν, χαλεπώτερα ἐκείνης ἐργάζετο. ἐὰν γὰρ ἓν μόνον ῥῆμα ἀηδὲς πρὸς αὐτὴν τὶς εἶπε, τρισὶν ἢ τέσσαρσι καιροῖς κεῖσθαι αὐτὸν παραλελυμένον ἐπὶ τῆς κλίνης παρεσκεύαζεν εἰ δὲ καὶ ἐξέτεινέ τις χεῖρα καὶ ἔτυψεν αὐτήν, ἐν τρισὶν ἡμέραις διὰ τῶν μαγείων αὐτῆς καὶ φαρμακειῶν τῷ θανάτῳ παρεδίδοτο. αὕτη οὖν ἡ πονηρὰ καὶ παμβέβηλος καὶ ἐπ᾽ ἐμὲ τὸν δείλαιον τὰς παγίδας αὐτῆς ἐγκατέσπειρεν. ἐν τῷ προαστείῳ γάρ με βλέπουσα ἀναστρεφόμενον τὸν τῆς ἀκολασίας ἰὸν αὐτῆς ὡς ἀσπὶς παρεγχέαι μοι ἐπειρᾶτο, τὸ πικρὸν τοῦ σατανᾶ ἐργαστήριον. ἐγὼ δὲ ἐπὶ πολὺ μὲν ἠγνόουν τὸν δόλον. αὕτη δὲ νύκτωρ μοι καθεύδοντι ὀνείρατά μοι ἐπέστελλεν αὐτῆς δὲ τὴν ὄψιν (58 ob.) διὰ τῶν δαιμόνων ἐποίει φαντάζεσθαι, ἐφ᾽ ἡμέρας δὲ διακινεῖσθαι καὶ διαστρέφεσθαι ἐνώπιόν μου οὐκ ἐπαύε-

το. καὶ εἴ ποτέ με συνέβη πρὸς τὸν ἐκεῖσε ποταμὸν ὀλίγων τῶν οἰκημάτων ἀπέχοντα χάριν του τὴν ὄψιν νίψασθαι, εἴ τε καὶ τὸ καύσωμα ἀποκρούσασθαι παρατηροῦσα ἡ γάγραινα ἀναιδῶς ἐπηκολούθει μοι, καὶ ὅπερ ἐστὶν ἀληθές, ὅτι οὐ συμφωνήσει πῦρ μετὰ χόρτου παρὰ μικρὸν ἐχαύνωσεν ἄν μου τὸν λογισμὸν ἀπὸ τῆς συνεχοῦς προσβολῆς καὶ μᾶλλον τῶν πονηρῶν πνευμάτων. ὁρῶν οὖν ἐμαυτὸν οὕτως χαλεπῶς τῷ πάθει καταφερόμενον, ἐμεμνήμην τοῦ ὁσίου ἀνδρὸς καὶ τῆς θείας αὐτοῦ ἐπιστάσεως καὶ τῶν λόγων οἷς μοι κατ' ὄναρ παρήγγειλε, λέγων· „πρόσεχε σεαυτῷ μή ποτε χείρονι πειρασμῷ περιπέσῃς“ βουλόμενος οὖν ταύτην τὴν πονηρὰν ἀπώσασθαι μεθ' ὕβρεων ἢ καὶ τύψαι, ἐπτοούμην μή ποτέ με διὰ τῶν φαρμάκων αὐτῆς εἰς νόσον καθελκύσῃ. πάλιν (59) ἔλεγον ἐν ἑαυτῷ „ἐὰν τὴν ἁμαρτίαν μετ' αὐτῆς διαπράξωμαι, φεῦ τοῦ πτώματος, ὅτι ἐκ κοιλίας μητρός μου γυναικὶ μὴ προσομιλήσας τὰ νῦν ὁ ἄθλιος ὑπὸ ταύτης τῆς μανάδος ἡττήθην τοῖς λογισμοῖς“ ἐν τούτοις ὄντος μου. τί γίνεται καὶ τί θαυματουργεῖται; νίκην ἤρατο Χριστὸς ὁ μόνος ἀληθινὸς καὶ Σωτὴρ ἡμῶν ἐτόλμησα γάρ ποτε καὶ πυγμαῖς καὶ ὕβρεσιν αὐτὴν ἀπεσόβησα φήσας· „ὦ θυγάτηρ τοῦ βεελζεβούλ, ἐὰν ἄλλοτε προσεγγίσῃς μοι, ἐγώ σου τὸ βορβορῶδες σῶμα ραβδίσω ἀφειδῶς.“ ἐθέμην γὰρ καθ' ἑαυτὴν μυριάκις τὸν σωματικὸν θάνατον ἀποθανεῖν ἢ ἁμαρτεῖν καὶ τῆς γλυκυτάτης ἀγάπης τοῦ Χριστοῦ μου ἐπιλαθέσθαι. ἀπέστη οὖν ἀπ' ἐμοῦ ἔκτοτε ἡ ἀκόλαστος ἐκείνη καὶ εὐχαρίστουν τῷ Κυρίῳ ρυσθεὶς τοῦ μιασμοῦ αὐτῆς. μεθ' ἡμέρας οὖν τινας καύσωνος δριμυτάτου γεγονότος ἀπῆειν ἐν τῷ εὐκτηρίῳ τοῦ μεγαλομάρτυρος Γεωργίου προσεύξασθαι, εὐκαίρησα γὰρ τότε κυριακῆς οὔσης. ἦν δὲ τὸ εὐκτήριον μέσον τῶν ἀμπελώνων. (59 οβ) ὡς οὖν τὴν δέησιν ἐτελείωσα, ἔπεσα ἐν ἑνὶ τῶν πεζουλίων τῶν ὄντων ἐν τῷ εὐκτηρίῳ τοῦ ὀλίγον ὑπνῶσαι ὡς οὖν τῷ ὕπνῳ κατεχόμην, ὁρῶ κατ' ὄναρ ἐκ τοῦ ὕψους τοῦ οὐρανοῦ μέλαν νέφος δυσῶδες κατενεχθὲν καὶ ἄνωθέν μου πεσόν. ἤκουσα δὲ καὶ φωνῆς τινὸς αἰσχρᾶς λεγούσης μοι· „δέξαι ὃ ἡ Μελίτινή σοι ἐσκεύασε“ (τοῦτο γὰρ ἦν ὄνομα τῇ μοιχαλίδι) ἔγνων οὖν, ὅτι τὸ ζοφερὸν νέφος ἐκεῖνο εἰσέδυ ἐν τοῖς ἐντοσθίοις μου κρυερὸν σφόδρα. βαρέως οὖν ἐνέγκας ἀνέστην τοῦ ὕπνου. καὶ εὗρον ἐμαυτὸν νόσῳ χαλεπωτάτῃ κεκρατημένον, ἣν μοι ἡ μοιχαλὶς ἐκείνη ἀπέστειλεν ἀνθ' ὅτου οὐ συνῆλθον ταῖς ἀσελγίαις αὐτῆς. ἀναστὰς οὖν ἀνεχώρησα τοῦ εὐκτηρίου στένων χαλεπῶς ὁ ταλαίπωρος καὶ πορευθεὶς ἀνεκλίθην ἐπὶ τῆς κλίνης μου αἰτιώμενος τὰς ἁμαρτίας μου, μεμφόμενος δὲ καὶ τῷ ἁγίῳ Γεωργίῳ, ὅτι τοιοῦτον μύσος παρεχώρησε ἐν τῷ εὐκτηρίῳ αὐτοῦ γενέσθαι. ἡμέρᾳ οὖν ἐφ' ἡμέρᾳ ἔκ-(60)τοτε βαρυ-

νόμενος τῇ νόσῳ ταῖς πύλαις τοῦ θανάτου προσήγγιζον, αἰφνιδίως οὖν ἀνάπτει με πυρκαιὰ βαρυτέραν ὡς οἶμαι νόσον ἐπισκευασάσης μοι τῆς μοιχαλίδος. καὶ ἅπαντά μου τὰ μέλη δίκην ξηροῦ χόρτου κατετέμνοντο. τηλικαύτη γὰρ ἦν ἡ πυρκαιά, οἵαν νοῦς ἀνθρώπου ἀπεικάσαι οὐ δύναται. μὴ δυνάμενος οὖν ὑποφέρειν ταύτην ἐξαναστὰς φυγὰς ᾠχόμην, σπεύδων ἐπί τινα σκιὰν δένδρου, ἢ νάματα ποταμοῦ φθᾶσαι, καὶ ἐκ τόπου εἰς τόπον πορευόμενος ὡς ἂν ἀναψυχὴν εὕρω μικράν, καὶ πολλάκις προῃρούμην τοῖς ὕδασιν ἀποπνιγῆναι, μὴ φέρων τὴν δριμύτητα τῆς πυρκαιᾶς καὶ ἐβόων· „ὦ βία, ὦ πικροτάτη καταιγὶς ἡ ἐμὲ χειμάζουσα εἰ τοιοῦτον ἐστὶ τὸ πῦρ τῆς γεέννης, κρεῖττον ἦν τῷ ἀνθρώπῳ ἐκ κοιλίας μητρὸς μὴ γεννηθῆναι. φεῦ, φεῦ.“ ὡς πικρὰ ἦν ἡ φλόξ ἐκείνη ἡ ἐμέ κρατοῦσα, ἴσῳ γὰρ δύο ἡμερῶν βαράθρῳ τῆς ἀβύσσου κατήγαγέ με. ὦ τῆς πικρᾶς ἀλγηδόνος ἐκείνης. (60 οβ.) οὐκ ἐγίνωσκον ἄνθρωπον καὶ ὁμιλίαν ἀνθρώπου οὐκ ἀνιστόρουν. τοσοῦτον ἦν πικρότατον τὸ βάρος τοῦ πόνου ἐκείνου, ὥστε καὶ ἡ μία νὺξ ὡς τεσσαράκοντα ἔτη μοι ἐνομίζετο. τί οὖν τὸ ἐφεξῆς, ὁρῶ ἐμαυτὸν ὡς ἐν χθονὶ βεβυθισμένον. εἶδον γὰρ φάραγγα βαθυτάτην λίαν πλάγια κεκτημένην κατὰ δυσμάς ὑψηλὰ λίαν καὶ πρὸς ἀνατολὰς ὁμοίως ὑψηλότατα. ἐπὶ δὲ τῇ κορυφῇ τοῦ κατὰ δυσμὰς πλαγίου ἤμην ἑστώς. ἠρξάμην δὲ πρὸς ὀλίγον ἐπὶ τὰ κάτω συγκατασπᾶσθαι καὶ συγκαταφέρεσθαι, ἀκοντιζόμενος εἰς τὸ φοβερὸν ἐκεῖνο χάος τῆς φάραγγος, ἐδεδίειν δὲ φόβον μέγαν συστελλόμενος ἅμα καὶ ἰλιγγιῶν. ἀνεμνήσθην οὖν καὶ βαρύτατα οἰμώξας λέγω „ἅγιε πρωτομάρτυς Στέφανε, ἀπόστολε Χριστοῦ, ταῦτά εἰσιν ἅπερ ἐξιὼν τῆς πόλεως σὲ καθικέτευσα βοηθῆσαί μοι, ἰδού, ἅγιε τοῦ Θεοῦ, ὑπάγω καὶ οὐκέτι με θεωρεῖς. οὐδ' οὐ μή σοι ἐξυπηρετήσω. οἶδα γὰρ ἀκριβῶς, ὅτι ταῖς πύλαις τοῦ θα-(61)νάτου προσήγγισα, ἑώρων τὲ πέραν τοῦ χειμάρρου κατὰ τὴν φρικτὴν ἐκείνην ἄνοδον ἄλλον τινὰ κόσμον ἀνεκλάλητον γηΐναις γλώσσαις.“ ὡς οὖν ἐπεκαλεσάμην τὸν ἅγιον πρωτομάρτυρα Στέφανον, ἰδοὺ παρέστη μοι καὶ αὐτὸς πορφυροῦν στιχάριον ἠμφιεσμένος καὶ φησὶ πρός με· „πῶς ἔχεις, φίλτατέ μου, καὶ τί πάσχεις, ἐγὼ γὰρ οὐ παρήμην ἐνθάδε. οἴκους γὰρ ἔχων ἐν πάσῃ τῇ οἰκουμένῃ, ἐπεσκεπτόμην αὐτοὺς ὥσπερ καὶ πάντες οἱ ἅγιοι. καὶ ἐπὶ τούτοις μηδὲν μέμψῃ μοι. ἀρτίως γὰρ παραγέγονα. ἀλλ' ὦ τῶν ἀσεβῶν καὶ μάγων. ὁρᾷς πηλίκον δύνανται κακοποιεῖν Θεοῦ παραχωροῦντος οἱ δυσμενέστατοι;“ τοιαῦτα οὖν αὐτοῦ ὁμιλοῦντος, ἐγὼ κατεφερόμην πρὸς τὸν πυθμένα τοῦ φάραγγος. ἐπηρώτων δὲ τὸν ἅγιον· „κύριέ μου, τί ταῦτα τὰ πλάγια; τίς δὲ ἡ βαθυτάτη αὕτη φάραγξ;“ καὶ ἀποκριθεὶς ἐκεῖνος εἶπέ μοι· „ταῦτά εἰσι τὰ πλάγια τοῦ θανάτου. ἡ δὲ φάραγξ ἐστὶ δι' ἧς πάντες

οἱ θνήσκοντες (61 οβ) διαβαίνουσι βίᾳ καὶ στενώσει μεγάλῃ καὶ εἰς τὸ πέραν φοιτῶσι τὸ δὲ ἄντικρυς πλάγιόν ἐστιν ἡ εἰς τὸν ἕτερον κόσμον ἀποφέρουσα ἄνοδος. δι' αὐτοῦ γὰρ βαδίζουσαι αἱ τῶν κεκοιμημένων ψυχαί, ἐπὶ τὴν κορυφὴν αὐτοῦ ἀναβαίνουσι καὶ δι' αὐτῆς ἀποβλέπουσι τὸν κόσμον ἐκεῖνον τὸν ἀπέραντον, ἔνθα πάντες ὀφείλομεν ἀπελθεῖν μικροί τε καὶ μεγάλοι, λόγους ἀποδώσοντες τῶν βεβιωμένων ἡμῖν " λέγω τοιγαροῦν αὐτὸς πρὸς τὸν ἅγιον· „κύριέ μου, κἀπὸ τοίνυν ὡς ὁρῶ ἀληθῶς τελειωθήσομαι." καὶ ἔφη μοι ἐκεῖνος· „ἐπεὶ ἐνθάδε ἥκεις, τί ἕτερον προσδοκᾷς, ἐν βαθέων τοιγαροῦν στεναγμὸν ἀναπέμψας καὶ μέγα ἀνοιμώξας λέγω,"—„μηδαμῶς, κύριέ μου, τό γε νῦν ἔχον τελευτήσω οὐ γὰρ ἤλπιζον τελειωθῆναι " ὁ δὲ ἅγιος εἶπε πρός με „λέγω σοι τινὰ ῥήματα ἅ πρὸς τὸν Κύριον προσεύξῃ, οἱονεί τινα συντακτήρια ῥήματα, κἀγὼ ἀντιποιήσομαί σου καὶ ῥύσομαί σε ἀπὸ τῆς ἀνάγκης ταύτης, δούς σοι χεῖρα βοηθείας (62) εἰς ἀνάκλησιν." ἐμοῦ δὲ πυθομένου καὶ τίνα ἂν εἶεν τὰ ῥήματα δι' ὧν τῶν ἐνθένδε λυτρωθήσομαι, ὁ ἅγιος συνθήκην τινὰ φρικωδεστάτην πρὸς τὸν Κύριον εὔξασθαί με ἐνετείλατο, τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ καὶ πάσας τὰς ἐπουρανίους δυνάμεις συπεριλαμβάνουσαν ἐν ἑαυτῇ καὶ ὡς ταῦτα ἐμυήθην, ἀνακύψας εὐθέως ἐκ τοῦ φοβεροῦ καύσωνος ἐκείνου τῆς ἀρρωστίας, ἐν ᾧ διὰ πάσης τῆς ἑβδομάδος συνειχόμην, ὥρᾳ μεσονυκτίου τῆς σελήνης καθαρῶς διαλαμπούσης, ἐπιστραφεὶς πρὸς ἀνατολὰς πάντα ὅσα εἴρηκεν ὁ πρωτομάρτυς ἐνωμότως ηὐξάμην τῷ Κυρίῳ, καὶ εὐθέως πάλιν κατηνέχθην εἰς τὸ φοβερὸν χάος ἐκεῖνο ὅθεν καὶ ἀνηνέχθην εἴρηκεν οὖν πρός με ὁ ἅγιος· „τετέλεκας πάντα ὅσα σοι ὑπηγόρευσα;" ἐμοῦ δὲ εἰρηκότος· „ὡς ἐκελεύσας ἐποίησα τὸ τηνικαῦτα." ἐμοῦ δὲ δραξαμένου τοῦ μανιακίου τῇ δεξιᾷ χειρὶ ἕλκων βίᾳ ἐπὶ τὸ πρανὲς ὅθεν κατηνέχθην ἐκεῖσε πάλιν ἀνεβίβασέ με, λέγω δὴ εἰς (62 οβ.) τὸ φοβερὸν ὕψος ἐκεῖνο τοῦ κατὰ δυσμὰς πλαγίου, καὶ φησὶ πρὸς με· „ἰδοὺ τέως τοῦ θανάτου καὶ τοῦ ἅδου ἀνεσπάσθης " καὶ ἅμα τῷ λόγῳ εὑρέθημεν ἔν τινι περιαύλῳ θαυμαστῷ διοδεύοντες. ἐμοῦ δὲ ἀπὸ τῆς ἄγαν ἀσθενείας μὴ δυναμένου ὅλως ὁδεύειν, ὁ γλυκὺς τὰ θεῖα πρωτομάρτυς Στέφανος τὸν ἑαυτοῦ ὦμον ὑποθέμενός μοι κράτησόν με φησὶ ταῖς ἀμφοτέραις χερσὶ τοῦ τένοντος καὶ αὐτὸς κατασπάσω σε καὶ περιπατήσομεν. ὁδευόντων δὲ ἡμῶν ἐν τῷ περιαύλῳ ἐκείνῳ τῷ θαυμασίῳ εὕρομεν πίθους λιθίνους ὧν οὐκ ἦν ἀριθμός, ἀναχωροῦντας ἑκατὸν μετρητὰς ἢ καὶ διακοσίους, ἔτι δὲ καὶ τετρακοσίους χωροῦντος. καὶ ἄλλα μὲν ἄνω τῆς γῆς ἀνίσταντο, τὰ δὲ ἐκαλύπτοντο. ἦσαν δὲ καὶ λευκὰ ὡσεὶ χιὼν πεπλησμένα τὲ καὶ κεχρισμένα ἀσφάλτῳ ἐκ μαστίχης. καὶ ἐσ-

φραγισμένα. ἦν δὲ ἕκαστον αὐτῶν γεγραμμένον ὅσους μετρητὰς ἐχώ-(63)ρει. ὁρῶν τοιγαροῦν ἐγὼ ταῦτα ἐξιστάμην ἀπορῶν τί ἔνδον φέρουσι. λέγω τοίνυν τῷ ἁγίῳ πρωτομάρτυρι Στεφάνῳ· „κύριέ μου, τίνος ἐστὶ τὸ προαύλιον τὸ θαυμαστὸν τοῦτο, τίνα τὲ τὰ ἀγγεῖα καὶ τί ἔνδον φέρουσιν,“ ὁ δὲ ἅγιος ἀποκριθεὶς λέγει μοι „τοῦτο τοῦ ὁσίου πατρὸς ἡμῶν ἐστι Βασιλείου, τοῦ σὲ υἱὸν ποιησαμένου κόπῳ καὶ ἱδρῶτι αὐτοῦ προσκτηθέν αὐτῷ. τὰ δὲ ἀγγεῖα ἔλαιον νοητὸν ἀποτεθησαυρισμένον ἐν ἑαυτοῖς ἔχουσι, παρὰ τοῦ Θεοῦ ἐπιδοθὲν αὐτῷ εἰς τὸ δι' αὐτοῦ χρίειν τινὰς ἁμαρτωλοὺς τοὺς εἰς αὐτὸν καταφεύγοντας καὶ καθαίρειν αὐτοὺς ἀπὸ τοῦ ρύπου τῶν πταισμάτων αὐτῶν καὶ τέκνα Θεοῦ ἀποδεικνύειν. πολλὰς γὰρ ψυχὰς αὐτὸς ἀπὸ τοῦ φάρυγγος τοῦ σατανᾶ ἐρρύσατο καὶ τῇ ἁγίᾳ Τριάδι προσήγαγε. καὶ οἶμαι ὡς ἐν τῇ τάξει τῶν ἀποστόλων αὐτὸν ὁ Θεὸς ἔχει. καὶ ἡμεῖς δὲ τὰ νῦν πρὸς αὐτὸν πορευσόμεθα.“ οὕτως οὖν ἡμῶν ὁμιλούντων, ἰδοὺ καὶ ὁ ἅγιος εἰς συνάν-(63 οβ.)τησιν ἡμῶν ὡς ἀπὸ κοιτῶνος τινὸς θαυμαστοῦ ἔξεισι. καὶ φησὶ πρὸς αὐτόν ὁ πρωτομάρτυς Στέφανος· „οὕτως, ὦ πάτερ Βασίλειε, τὸν φίλτατόν σου παῖδα Γρηγόριον ἐν ταῖς περιστάσεσι καταλέλοιπας; εἰ μὴ γὰρ προέφθασα, ἤδη ἂν τέλει τοῦ βίου ἐχρήσατο.“ καὶ φησὶ πρὸς αὐτόν ὁ μακάριος· „ἑώρων σε μάκαρ σὺν αὐτῷ καὶ διὰ τοῦτο αὐτὸς ἀνεβαλλόμην. πλὴν κέλευσον καὶ ποιήσωμεν ἐπ' αὐτῷ τελείως τὸν ἔλεον.“ καὶ ἐπορευόμεθα ἀμφότεροι ἐπὶ τὰ πρόσω. καταντῶμεν τοίνυν εἰς καμάραν τινὰ ζόφῳ περικυκλούμενοι κἀκεῖσε εἰσίοντες οὐδὲν ἐβλέπομεν, σκότους ὄντος βαθυτάτου. παραχρῆμα οὖν ἔλαμψε τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου τὸ πρόσωπον οἷάπερ ἥλιος. ἔφη οὖν πρός με ὁ πρωτομάρτυς Στέφανος· „ὁρᾷς, οἷαν δόξαν καὶ φαιδρότητα κέκτηται ὁ πνευματικός σου πατήρ, ὄντως ἀληθῶς εἷς τῶν μεγάλων φωστὴρ τυγχάνει. ὑπολαβὼν δὲ ὁ ὅσιος φησὶ πρὸς ἡμᾶς· „ὀφέντες τὰς ὁμιλίας, στοχάσασθε ἔνθα ὁ βύ-(64)θιος ἐνεδρεύει δράκων, ὅστις παρ' ὀλίγον ἂν τὸ τέκνον μου ἐθανάτωσε.“ καὶ δὴ δακτύλῳ δεικτῷ ἐδείκνυεν ἡμῖν αὐτόν. ἀναβλέψας δὲ ὁρῶμεν μῦν φοβερώτατον τῇ γῇ ἐνεδρεύοντα καὶ τηλικοῦτον τῷ μεγέθει, ὡσανεὶ τεσσαράκοντα μοδίων κιβώτιον, καὶ ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ πῦρ φρικῶδες ἐξεπορεύετο. τὸ δὲ στόμα αὐτοῦ ὡς μηρυκισμὸν ἀνῆγε δυσώδη δίκην βορβόρου. ὁρῶν οὖν τοὺς ἁγίους ὁ αἱμοβόρος οὐκ ἐπτοεῖτο, ἀλλ' ἡσύχως ἐκάθητο, τὰ ὄμματα μόνον συστρέφων. ἐκπληττομένου δέ μου ἐπὶ τῷ καθορωμένῳ, εὑρὼν ὁ ὅσιος λίθον παμμεγέθη ὡσεὶ τριακοσίων λιτρῶν ὁλκὴν ἔχοντα καὶ κουφίσας ταῖς ἀμφοτέραις χερσὶ τὸν λίθον καὶ τὸν δυνατὸν ἐν ἰσχύι Κύριον ἐπεκαλεσάμενος, καταφέρει αὐτὸν κατὰ τοῦ μιαροῦ κρανίου τοῦ ἐπαράτου μυὸς ἐκείνου.

καὶ παραχρῆμα ὡς ὄστρακον διερρωγὼς διέρρηξεν αὐτὸν καὶ διαπεφόνηκε. θαυμασάν-(64 οβ.)των δὲ ἡμῶν ἐπὶ τῷ γεγονότι, ἐπιστραφεὶς ὁ ὅσιος φησὶ πρὸς ἡμᾶς· „ἄρατε λίθους καὶ ὑμεῖς καὶ λιθοβολήσατε αὐτόν.“ ἐμοῦ δὲ ἀπὸ τῆς ἀπείρου εὐφροσύνης καὶ ἀγαλλιάσεως λιθοβολοῦντος αὐτὸν καὶ τῷ πρωτομαρτύρι φάσκοντος· „κύριέ μου, ταῦτά εἰσιν ἃ τινὲς λέγουσιν, ὅτι ἐγὼ καὶ ὁ μάρτυς Γεώργιος τὸ πονηρὸν πνεῦμα ἐκ τοῦδε ἐξεβάλομεν. τινὲς δὲ πρὸς αὐτοὺς ἀντιλέγουσιν, ὡς ἐκεῖνος μὲν αὐτὸν ἐξέβαλεν, ὑμεῖς δὲ ἱστάμενοι ἀπεσκοπεῖτε. παραπλήσιόν τι καὶ ὁ τίμιός μου πατὴρ οὗτος ποιεῖ. ἀποκτείνας γὰρ αὐτὸν ἐν ἑνὶ λίθῳ τὸν δύστηνον ὀλετῆρα τόνδε, μετὰ τὸ νεκρῶσαι αὐτὸν ἡμῖν φάσκει,—βάλλετε αὐτὸν λίθοις.“ ἀποκριθεὶς δὲ ὁ ὅσιος λέγει πρός με· „ἰδού, ὦ τέκνον, διὰ τῶν πρεσβειῶν τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου ἀνήλωσα τὸν ἐχθρόν σου ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ καὶ ἀπὸ τοῦ νῦν οὐκέτι σου ἐν οὐδενὶ οἱ ἐχθροὶ κατισχύσουσιν“ ὡς ταῦτα οὖν ἡμῖν ὡμίλει ὁ ὅσιος (65) αἴφνης εὑρέθημεν ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου, ὅπερ ἐν τῇ βασιλευούσῃ ἐνίδρυτο, ἐν ᾧ καὶ τὴν ὑπηρεσίαν αὐτὸν ἐποιούμην καὶ προσχόντες ἐνωτιζόμεθα μελικὰ ἄσματα παίδων ὡραίων καὶ νεανίσκων τῷ Κυρίῳ λιγυρῶς ᾀδόμενα ἔφη οὖν πρός με ὁ ὅσιος ἅμα τῷ πρωτομάρτυρι καὶ ἁγίῳ Στεφάνῳ· „ἴδε, ὑγιὴς γέγονας χάριτι Χριστοῦ. εἴσελθε οὖν πρὸς τοὺς σεβασμίους τούσδε τόπους καὶ τοὺς παῖδας τοὺς ἔνδον τὸν αἶνον τῷ Κυρίῳ προσάγοντας, καὶ ἆσον μέλος καὶ αὐτὸς εὐχαριστίας τῷ Παντοκράτορι, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος Αὐτοῦ ἐπὶ σοί καὶ εὐηργέτησέ σε μείζονι εὐεργεσίᾳ.“ εὐθὺς οὖν τὸ γόνυ κλίνας τοῖς ἀχράντοις προστάταις μου καὶ θείοις εὐεργέταις, ἔνδον τοῦ εὐκτηρίου ἐχώρησα καὶ ἠρξάμην ᾄδειν μέλος τῷ Κυρίῳ καὶ ψάλλειν· „Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι;“ καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ. ταῦτα μοι ᾄδοντος, οἱ νέοι (65 οβ.) ἐκεῖνοι ὡραῖοι καὶ τίμιοι φίλτρῳ ζέοντι συνευφραίνοντό μοι φάσκοντες· „ἦκεν ὁ ἀγαπητὸς ἡμῶν, συνευφρανθῶμεν αὐτῷ“ καὶ τῶνδε ῥηθέντων ἀνείθην τοῦ ὁράματος. ἐν ἑαυτῷ οὖν γενόμενος καὶ τὴν ὀπτασίαν ἀναλογισάμενος ἐξιστάμην τῷ πνεύματι. καὶ εὗρον ἐμαυτὸν Χριστοῦ χάριτι ὑγιῆ παντάπασι καὶ λαβὼν ψίχας ἐνεφορήθην καὶ ὑπνεῖν ἡδέως ἠρξάμην καὶ κατὰ μικρὸν ἐξανίστασθαι καὶ ῥάβδῳ ἐπιστηριζόμενος περιπατεῖν. καὶ ταχύνας εὐθέως καὶ ἐμβὰς εἰς πλοῖον τὴν βασιλεύουσαν κατέλαβον, ἅπασι τὰ συμβησόμενά μοι ἀναγγέλλων καὶ ἐξηγούμενος, ὅπως τὲ οἱ ἅγιοι τοῦ πικροτάτου θανάτου διὰ τῶν πρεσβειῶν αὐτῶν ἐρρύσαντό με, καὶ πάντων ἐνδοξαζόντων Θεὸν ἐπὶ τῇ ἐμῇ σωτηρίᾳ τὰ παράδοξα ἐνωτιζόμενοι. πρὸ τοῦ δὲ τῶν ἐκεῖ με

ἀναχθῆναι, ἠβουλήθην τὴν ἐπαοιδὴν ἐκείνην διαχειρίσασθαι. καὶ εἶπον πρὸς ἐμαυτὸν, — ταπεινῇ ψυχῇ (66) γέγραπται μὴ ἀποδοῦναι κακὸν ἀντὶ κακοῦ καὶ ὅτι ἄφες ἡμῖν τὰ ὀφειλήματα ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν ἴσως δὲ καὶ αὖθις περιεργάσηται ἡμῖν ἡ φαρμακουργὸς χείρονα τῶν προτέρων, ἀλλὰ δέον ἐστὶν ἀναθῆναι τὸ πᾶν τῇ οὐρανίῳ δίκῃ οὕτως οὖν κρίνας καὶ τὸ τῇ ψυχῇ μου συμφέρον διασκεψάμενος, καὶ ἐν τῇ βασιλευούσῃ ὡς εἴρηται ἀναδραμών, ἀπῆειν πρὸς τὸν μακάριον τοῦ τὴν εὐχαριστίαν τῆς ὑπ᾽ ἐκείνου ἐνεργείας ἀπονεῖμαι. ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος ὁ τίμιος Ἐνώχ, ὁ δευτέρος Ἠλίας, ὁ νέος Ἀβραάμ, θεασάμενός με πρὸς αὐτὸν ἐληλυθότα καὶ πάντη καταπεπονημένον ὄντα ἀπὸ τῆς ἄγαν ἀσθενείας, ὅλος δακρύων ἐπληρώθη καὶ φησί „καλῶς ἦλθε, τὸ φίλατόν μου τέκνον.“ καὶ καθεζόμενος αἰνιγματωδῶς διηγεῖτο καὶ ἐξηγεῖτο πάντα τὰ συναντήσαντά μοι. ἐγὼ δὲ ἀκούων, (66 об) ἔφριττον, ὅπως οὐδὲν αὐτῷ ἐλάθανε ὑπὸ τῶν γενομένων ἐν ἡμῖν. πάντα γὰρ ῥᾳδίως ἀπήγελλε [1]).

б) Лл. 351—378 об

(351) Ὁ Γρηγόριος ἀνένηψεν ἀπὸ τῆς θεωρίας. ἐλθόντος μου οὖν εἰς ἑαυτὸν ἀπὸ τῆς φρικτῆς ἐκείνης καὶ ἀμετρήτου ἐκστάσεως καὶ θεωρίας καὶ τὴν διόπτραν τῶν θεαθέντων μοι ἀναλογιζομένου, ἔκστασις ἄλλη τις ἐπ᾽ ἐκστάσει καὶ φόβος ἐπὶ φόβῳ με συναιρεῖ καὶ ἐδόκουν τοῖς καθορῶσι μὲ παρατετραμμένος, παραπλήξ τε καὶ φρενόληπτος γεγονέναι, ὡς τοῦ νοός μου τοῖς ἐκεῖσε ἐσχολακότος θεάμασι καὶ ἀκμὴν μὴ ἀποκαταστάντος ἐν ἐμοὶ, ὑπὸ τῆς θεοπρεποῦς ἐκείνης εὐφροσύνης καὶ ἀγαλλιάσεως προφανῶς κατακρατουμένου καὶ τῶν ἐκεῖσε ἀναχωρεῖν ῥᾳδίως μὴ δυναμένου μόλις οὖν ἀποκατασταθέντος τοῦ νοός καὶ τὸν λογισμὸν ἐμοῦ ἐν ἐμοὶ καὶ ἐν αἰσθήσει ἐλθόντα, ἔκρινα ἐμαυτὸν ἐφ᾽ ὅλαις ἑπτὰ ἡμέραις δέον εἶναι ἀπρόϊτον (351 об) διαμεῖναί με, καὶ φροντίσιν ἄλλαις βιωτικαῖς μήπωσοῦν ἀπασχοληθῆναι, ἀλλὰ σχολάσαι καὶ πάντα τὰ ὁραθέντα μοι σχεδιάσαι ἰδιαζόντως καὶ ἐκθέσθαι τοῖς πᾶσι δῆλα ταῦτα κατὰ τὴν τοῦ Κυρίου ἐπιταγήν, εἰς πολλῶν τῶν ἐντυγχανόντων ὠφέλειαν, ἵνα μὴ λήθῃ τὰ τοιαῦτα φρικτὰ μυστήρια παραδοθήσονται. ὃ δὴ καὶ πεποίηκα τοῦ

[1]) Далѣе, отъ л. 66 об. до л. 147, слѣдуетъ часть текста, напечатанная А Н. Веселовскимъ въ „Разысканіяхъ въ области русскаго духовнаго стиха“, Сборникъ Отд р. яз и слов Имп Акад Наукъ, т. XLVI, стр. 10—76 (Приложенія). Часть отъ л. 147 до л. 351 напечатана имъ же, въ томъ же изданіи, т. LIII, стр 1—174 (Приложенія).

Κυρίου συνεργοῦντος, ἀγαπητοὶ ἀδελφοί. λαβὼν γὰρ τόμον καινὸν καὶ μέλαν καὶ κάλαμον ἐσημειωσάμην ταῦτα καθὰ Κύριος ὁ Θεὸς ἐνετείλατό μοι τοῦ ἀγγεῖλαι ὑμῖν αὐτά. καὶ ἰδοὺ ὡς ὁρᾶτε τράπεζαν πλήθουσαν ἀγαθῶν, ὧν ὁ Κύριος δι' ἐμοῦ τοῦ ρυπαροῦ καὶ ἀκαθάρτου τὴν χορηγίαν γενέσθαι, ὡς ἐπὶ Ἡλίου διὰ κόρακος εὐδόκησεν, ὑμῖν παρατίθημι ἱκανὰ ἔπη ψυχωφελῆ θείου φόβου καὶ πόθου ταῖς ὁσίαις ὑμῶν ψυχαῖς ἐκθεῖναι σὺν Θεῷ δυναμένην, οἶνον τε θείας κατανύξεως καὶ μελέτην θειοτέραν νοός, καὶ δρόσον νοη-(352)τῶν οὐρανίων ἐπιμυρίσαι ὑμῖν τοῖς καλοῖς δαιτυμόσιν. ὡς γὰρ δι' ἐσόπτρου ὑπέδειξεν ἡμῖν ἡ τοῦ Θεοῦ χάρις τά τε κάλλη τῶν ἐπουρανίων ἐκείνων θεαμάτων, τήν τε τῶν ἀγγελικῶν καὶ θείων ταγμάτων εὔτακτον ἐν πᾶσιν ὑπακοὴν καὶ μεγίστην ταπείνωσιν ἐν αὐτοῖς, καὶ ὑποταγὴν πρὸς ἀλλήλους καὶ εὐπρέπειαν τήν τε τοῦ Θεοῦ δικαιοκρισίαν καὶ ἀνταπόδοσιν τὴν ἑκάστῳ ἁρμόζουσαν καὶ τὴν τῆς καινῆς κτίσεως ὡραιότητα καὶ διαμονὴν ἐν ἀφθαρσίᾳ ἀτελευτήτῳ. καὶ ἵνα μὴ τὰ πάντα καθ' ἕκαστον λέγων τὸν λόγον μηκύνω, ὡς δυνατὸν ἦν ἀνθρωπίνῃ διανοίᾳ λογισμοῖς ἀσπάστοις περιφερομένῃ καὶ πάθεσι μυρίοις συνδεδεμένῃ καὶ φθορᾷ ὑποκειμένῃ περὶ τῶν ἀρρήτων ἐκείνων καὶ ἀκαταλήπτων καταλαβεῖν καὶ διηγήσασθαι ὑμῖν παρέστησα οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ ταῖς ὁσίαις καὶ Θεῷ εὐπροσδέκτοις πρεσβείαις τοῦ θεοφόρου καὶ ἁγίου μου πατρὸς Βασι-(352 οβ.)λείου δοθεῖσα μοι. τοῦ ταῦτα πάντα καὶ τὰ τοιαῦτα κἀμοὶ ἀξιωθῆναι θεάσασθαι καὶ ὑμῖν προθῆναι εἰς ἑστίαν πνευματικήν. ὑμεῖς οὖν λάβετε, φάγετε καὶ εἰς κόρον ἐμπλήσθητε ἐξ αὐτῶν. καὶ ἑτέροις ἀνεπιφθόνως μεταδοτε, ἵνα καὶ δι' ὑμῶν αὐτῶν καὶ δι' ἑτέρων πολλῶν τὸ τοῦ Δοτῆρος τῶν τοιούτων ἀγαθῶν Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πανάγιον ὄνομα μεγαλυνθήσεται καὶ δοξασθήσεται, μνείαν ποιοῦντος τὴν ἐν ταῖς πρὸς Θεὸν ἁγίαις ὑμῶν δεήσεσι καὶ ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ὡς ἂν ἐλέους τύχω καὶ ἀφέσεως τῶν πολλῶν μου ἁμαρτιῶν ἐν ἡμέρᾳ τῆς κρίσεως.

ἐπορεύθη πρὸς τὸν ὅσιον. μετὰ ταῦτα οὖν εὐκαιρίας προσγινομένης μοι, ἠθέλησα ἀπελθεῖν πρὸς τὸν ἐν ἁγίοις θεοφόρον πατέρα μου, ἅμα μὲν ἐπισκεψόμενος αὐτὸν καὶ τὰς ὁσίας εὐχὰς αὐτοῦ κομισόμενος, ἅμα δὲ καὶ περὶ τῆς τοιαύτης θεωρίας αὐτῷ κοινωσόμενος. καὶ δὴ πρός αὐτὸν παραγενομένου μου καὶ τὴν δέουσαν αὐτῷ προσκύνησιν ὡς ἔθος ἀπονείμαντός μου, θεασάμενός με τὸν εὐτελέστατον αὐτοῦ παῖδα ὁ τῆς τῶν οὐρανῶν βασι-(353)λείας ἐπώνυμος, πλησίον αὐτοῦ με καθεσθῆναι παρεκελεύσατο. χαρᾶς τε πλησθεὶς ὁ μακάριος καὶ λαβὼν ἐν νόῳ τὰ φρικτὰ ἐκεῖνα μυστήρια τὰ διὰ τῶν πρεσβειῶν

αὐτοῦ ὑποδειχθέντα μοι παρὰ Κυρίου, χαρμονικὰ δάκρυα ἤρξατο ὑφ' ἡδονῆς ἐπὶ τῶν παρειῶν αὐτοῦ ἀστακτεὶ καταφέρειν καὶ ἓν τῶν καθ' ἓν τῶν θεαθέντων μοι ὡς πρὸς ἑαυτὸν διῆθεν διαλεγόμενος ὑπομιμνήσκει με. καὶ φησὶ πρός με· „μακάριος εἶ, τέκνον Γρηγόριε, τηλικαύτης θεωρίας ἀξιωθείς γίνωσκε τοιγαροῦν, ὅτι ἀφότουμε ἠτήσω τινὰ θεάσασθαι δι' ἀποκαλύψεως πληροφορίας περὶ τῆς τῶν Ἰουδαίων θρησκείας, ἔκτοτε οὐ διέλιπον δεόμενος τοῦ Θεοῦ ὅπως τὴν τοιαύτην σου ὁ ἀγαθὸς Κύριος ἐκπληρώσῃ αἴτησιν. καὶ ἰδοὺ ὀλίγαι ἡμέραι εἰσὶν ἀφ' οὗ πληροφορήθην, ὅτι δέδειχέ σοι τὰ τοιαῦτα θαύματα καὶ ἔνδοξα, καὶ τῷ ματαίῳ τούτῳ κόσμῳ ἄπιστα καὶ ἀχώρητα, καὶ ἀκοαῖς ἀνθρώπων δυσπαράδεκτα. Κύριος ὁ Θεός, ὁ μόνος ἀγαθὸς καὶ (353 ob.) κηδεμὼν τῆς ἡμῶν σωτηρίας ἀπεκάλυψέ σοι ταῦτα πάντα. πρῶτον μὲν εἰς τὴν ὠφέλειαν καί σωτηρίαν τὴν σήν. μετὰ σὲ δὲ καὶ εἰς πολλῶν ἄλλων τῇ ἀκεραιότητι καὶ εὐθύτητι γνώμης δεχομένων αὐτά. σπεῦσον οὖν ἐν Κυρίῳ, ἠγαπημένον μοι τέκνον, ἐκπληρῶσαι πάντα τὰ ὑπὸ τοῦ Κυρίου ἐνταλθέντα σοι."

Θαῦμα τοῦ ὁσίου. ταῦτα τοῦ ὁσίου πρός με διαλεγομένου, ἰδού τινες ἐληλύθασι πρὸς αὐτόν, φέροντες αὐτῷ παιδίον ὡς ἐτῶν ὀκτώ. δεινῶς καὶ χαλεπῶς πάσχον εἶχε γὰρ ἐν τῷ δεξιῷ ὀφθαλμῷ αὐτοῦ πάθος, ὅπερ ἐπονομάζεται ὑελώπη παρεκάλουν δὲ τὸν μακάριον προσπίπτοντες τοῖς θείοις αὐτοῦ ποσὶν ἐπικαμφθῆναι τοῖς δάκρυσιν αὐτῶν καὶ θεραπεῦσαι αὐτό. ὁ δὲ ὅσιος φησὶ πρὸς τὸν πατέρα τοῦ παιδός ,τέκνον, τί τὰ ὑπὲρ τὴν δύναμιν τὴν ἐμὴν παρ' ἐμοῦ ζητεῖτε καὶ αὐτὸς καὶ οἱ λοιποὶ ἐνοχλοῦντές με; κἀγὼ αὐτὸς ἄνθρωπός εἰμι δεόμενος καὶ αὐτὸς ἐλέους Κυρίου. καὶ ὥσπερ ὑπὲρ ἀλλοτρίων παθῶν καὶ πλημμελημάτων αἰτεῖσθαι με ὑμεῖς πρεσβεῦσαι Κυρίῳ τῷ Θεῷ, (354) οὕτως ὀφείλω κἀγὼ ὑπὲρ τῶν αὐτοῦ ἀνομημάτων δεήσεις προσφέρειν Αὐτῷ οὐ γὰρ καλόν ἐστιν ἀνθρώπῳ ἁμαρτωλῷ, καταλιπόντι τὴν αὐτοῦ ὠφέλειαν καὶ σωτηρίαν, ὑπὲρ ἀλλοτρίων πλημμελημάτων δεήσεις ποιεῖν καὶ προσφέρειν τῷ πανοικτίρμονι. ἀσθενὶς γὰρ ἀσθενῆ οὐ δύναται θεραπεύειν ἔκβαλε γάρ, φησὶν ἡ θεία γραφή, πρότερον τὴν δοκὸν ἀπὸ τῶν ὀφθαλμῶν σου καὶ τότε δυνήσῃ ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου πλήν,— πιστεύετε Κυρίῳ τῷ Θεῷ, ὅτι οὐ δι' ἐμέ, ἀλλὰ διὰ τὴν Αὐτοῦ ἀγαθότητα ποιεῖ τὸ ἔλεος Αὐτοῦ μεθ' ἡμῶν. Αὐτοῦ γάρ εἰσιν οἱ οἰκτιρμοὶ καὶ ἡ χρηστότης καὶ τὰ πλούσια ἐλέη τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος." καὶ ὡς ταῦτα εἰρήκει πρὸς αὐτοὺς ὁ σεβασμιώτατος γέρων, ἀπεκρίθησαν αὐτῷ ἐκεῖνοι μετὰ δακρύων φάσκοντες· „πιστεύομεν, δοῦλε τοῦ Θεοῦ τοῦ Ὑψίστου, ὅτι ποιεῖ ἔλεος

Κύριος ὁ Θεὸς διὰ τῶν σῶν ἁγίων εὐχῶν μεθ' ἡμῶν. εἴπερ μὴ τὰ ἡμῶν ἀνομή-(354 οβ)ματα ἐμπόδιόν τι γενήσονται κατὰ πρόσωπον Αὐτοῦ." ὁ δὲ μακάριος λέγει πρὸς αὐτούς· „κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν." καὶ λαβὼν ὕδωρ ἐν ἀγγείῳ καὶ εὐλογήσας αὐτό, ἔχρισεν ἀπ' αὐτοῦ τὴν νομὴν τοῦ πάθους τοῦ παιδὸς ἐν ᾧ ἦν ἔνδον ὁ σκώληξ. καὶ τὸ πάσχον παιδίον δεινῶς κλαυθμυρίζον εὐθὺς ἀνέσεως τυχὸν σεσίγηκεν τοῦ πάθους αὐτοῦ καὶ πένθους. εὐχαριστησάντων οὖν πάντων ἡμῶν τῷ Θεῷ καὶ τῷ θεράποντι Αὐτοῦ Βασιλείῳ ἐπὶ τῇ τοῦ παιδὸς σωτηρίᾳ, εὐφραινόμενοι οἱ τεκόντες αὐτὸ εἰς τὸν ἴδιον οἶκον ἐπορεύθησαν μετὰ τοῦ τέκνου αὐτῶν. καὶ μετ' οὐ πολὺ ὡς ὑγιασθεῖσα ἡ πληγὴ συνούλωσε. καὶ παραγίνονται πρὸς αὐτὸν πάλιν οἱ ἄνθρωποι τὴν τελείαν εὐχαριστίαν αὐτῷ ἀπονέμοντες, φέροντες καὶ τὸ παιδίον εἰς τὸ εὐλογηθῆναι παρ' αὐτοῦ. ὁ δὲ ὅσιος εὐμενῶς ὑποδεξάμενος αὐτοὺς καὶ εἰς τὸν φόβον τοῦ Θεοῦ ἐπιστηρίξας εὐλογήσας δὲ καὶ τὸ παιδίον εἰς τὸ τυχεῖν σωτηρίας παρὰ τοῦ Θεοῦ, οὕτως ἐν εἰρήνῃ ἐξαπέστειλεν αὐτούς.

(355) πρόρρησις τοῦ ἁγίου περὶ τῆς τελευτῆς αὐτοῦ

ἐν μιᾷ οὖν τῶν ἡμερῶν παραγενομένου μου πρὸς αὐτὸν ὡς ἔθος εὐλογηθῆναι παρ' αὐτοῦ, ἀναλαβὼν ἔφη πρός με· „μνημονεύεις ἅπερ ὁ Κύριος ὑπέδειξέ σοι καὶ ἃ ἐνετείλατό σοι, βλέπε μὴ ἀμελήσῃς, ἀλλὰ, καθὼς προειρηκά σοι, σεαυτὸν ἀσφαλίσαι καὶ μὴ χαυνωθῇ ὁ νοῦς σου. μὴ δὲ μετεωρισθῶσιν οἱ ὀφθαλμοί σου ἐν τοῖς τοῦ κόσμου τούτου ματαίοις καὶ ἀστάτοις πράγμασιν. ὁ δὲ φάρυγξ σου μὴ γλυκανθήτω ἐν τῇ τούτου προσκαίρῳ δόξῃ καὶ ἡδονῇ, καὶ στερηθῇς τῶν ἐκεῖ θεαθέντων σοι ἀπείρων καὶ αἰωνίων ἀπολαύσεων. οὐκέτι γὰρ ἀπὸ τῆς δεῦρο τῆς πρὸς ἐμέ σου συνήθους ὁμιλίας ἀκουτισθήσῃ. ἐπειδὴ ἐγγὺς καὶ ἐπὶ θύραις ἤδη καὶ ἡ ἐμὴ ἐκδημία ἐστὶ καθὼς καὶ περὶ τούτου ὁ Κύριος σαφῶς ἐδήλωσέ μοι. ἀλλὰ μένε ἀδιαλείπτως τῷ νοῒ ἐν οἷς ἐθεάστο καὶ ἔμαθες καὶ ἐπιστώθης, καὶ μὴ ἐπιστραφῇς δεξιᾷ ἢ ἀριστερᾷ, ἀλλ' ὁδῷ βασιλικῇ βάδιζε φιλησύχως, ἐκεῖνον μόνον ποθῶν καὶ ζητῶν (355 οβ.), ὃν ἐθεάσω Σωτῆρα καὶ Θεόν, οὗπερ τὸν φοβερὸν θρόνον ἑώρακας ἀπροσίτῳ πυρὶ καταστραπτόμενον. μέλλεις δὲ καὶ τὸν ἐμὸν ἀναγράψασθαι βίον. τοῦτο γάρ σοι δι' ἐφέσεως οἶδα πέφυκεν ὅτι πλείστης πλὴν θέλησον πάντα κατὰ τὴν ἐκ Θεοῦ σοι δοθησομένην χάριν ἡνωμένως τε καὶ κατ' ἀκολουθίαν φιλοπονῆσαι καὶ ἀναγράψασθαι. λέγω δὲ ἅπερ ἐκεῖθεν ἑώρακας, καὶ ἃ παρὰ τοῦ Κυρίου ἀκήκοας, καὶ ἃ ἐντεῦθεν ἐθεάσω, καὶ ἅτινα σοι αὐτοῦ δεδήλωκα καὶ ἐνετειλάμην. καὶ δῆλα θέσθαι αὐτὰ ταῖς μετέπειτα γεννεαῖς εἰς δόξαν καὶ εὐχαριστίαν τοῦ τὰ πάντα οἰκονομοῦντος εἰς ἡμετέραν

σωτηρίαν Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. σὸν δὲ ἴν' οὕτως εἴπω καὶ ἐμὸν ἐν ἡμέρᾳ ἐκείνῃ τῇ μεγάλῃ καὶ ἐπιφανὲς καύχημα ἐν Κυρίῳ καὶ ἔπαινος. πολλαὶ γὰρ θεοφιλεῖς ψυχαὶ ἐντεῦθεν τὰ μέγιστα ὠφεληθήσονται καὶ κατανυγήσονται καὶ θερμῶς ἐπιστρέψουσι πρὸς θεῖον ἔρωτα καὶ πόθον τῶν αἰωνίων ἀγαθῶν. καὶ τὸν Κύριον ὁλοψύχως ποθήσουσι καὶ φυ-(356)λάξουσι τὰ σωτήρια τούτου καὶ θεῖα προστάγματα καὶ τῶν παρόντων ἡδέων ὡς ματαίων καταφρονήσουσι καὶ πρὸς τὰ μέλλοντα αἰώνια ἀγαθὰ τὴν ἑαυτῶν ἔφεσιν μεταστήσουσι καὶ τὴν ὁδὸν τῆς ζωῆς ἐκζητήσουσι καὶ ἐκβιάσονται πορευθῆναι ἀνεπιστρόφῳ καρδίᾳ καὶ ἀμετατρέπτῳ ὀφθαλμῷ καὶ νοῒ ἐν αὐτῇ ἑαυτούς. ὡς ἂν ἐν ὀλίγοις πόνοις καὶ βραχυτάταις θλίψεσι τὴν βασιλείαν τῶν οὐρανῶν κληρονομήσωσι καὶ τῶν αἰωνίων ἀγαθῶν τὴν διηνεκῆ ἀπόλαυσιν. ναί, τέκνον Γρηγόριε, ταῦτα πάντα ὅσα νῦν ἐντέλλομαι, οὕτω ποίησον καὶ οὕτω σύνταξον ἀναγράψασθαι αὐτά. σὺ δὲ μὴ θαρρήσῃς τῇ εἰς σὲ γενομένῃ οἰκονομίᾳ Θεοῦ ἀποκαλύψει, καὶ ἐπαρθῇς ἀμελῶς καὶ καταβιβάσῃς καὶ καταφρονητικῶς διάξῃς τὰς τῆς ζωῆς σου ἡμέρας ἐπεὶ γίνωσκε, ὅτι οὐ μόνον οὐδὲν ἐντεῦθεν ὠφεληθήσῃ, ἀλλὰ καὶ βαρυτέρας ἕξεις ἐκεῖθεν τὰς εὐθύνας. πρόσεχε οὖν σεαυτῷ καθεκάστην διαπαντός, (356 οβ) πρόσεχε πῶς περιπατεῖς ὡς προείρηκά σοι ἐν ὁδῷ βασιλικῇ ἢ ἐν τῇ ταύτης ἀπεναντίᾳ, καὶ καθ' ὥραν ἐρεύνα ἑαυτὸν ὥσπερ ὁ καλὸς τραπεζίτης καὶ δοκιμώτατος ἔμπορος, καὶ τὸ κέρδος τῆς ψυχῆς σου καὶ τὴν ζημίαν, καὶ εἴς τί προκόψας προστέθεικας τῇ ψυχῇ σου καλόν. καὶ σπούδαζε ἀεὶ ἐπαύξειν σου τὸν πλοῦτον τὸν ψυχικόν, τὸν τοῦ Θεοῦ φόβον διαπαντός ἔχων ἐν τῇ καρδίᾳ σου ἀνεξάλειπτον. τοῦτο δὲ οὐκ ἄλλως σοι γενήσεται εἰ μὴ διὰ τῆς τοῦ θανάτου μνήμης τῆς διηνεκοῦς, καὶ τῆς τῶν θαυμασίων τῶν ὑπὸ τοῦ Κυρίου δειχθέντων σοι ἀδιαλείπτου ἐφέσεως. καὶ μὴ ῥαθυμίᾳ ἢ ὀκνηρίᾳ χαυνωθεὶς τὸν θαυμαστὸν λύχνον ἀποσβέσῃς τῆς ψυχῆς. τὸν ἐν τῷ ἀπροσίτῳ πυρὶ τῆς τρισσοφαοῦς αἴγλης καταστραπτόμενον, ἀλλ' ἐν τούτοις ἴσθι αὐτοῖς· τὴν τοῦ νοός σου ἀδολεσχίαν πάντοτε κέκτησο ἐν οἷς ἔμαθες καὶ ἀκριβῶς ἐπιστώθης καὶ ἐν αὐτοῖς μελέτα διηνεκῶς· τὰς τοῦ Κυρίου ἐντολὰς ἃς παρ' (357) Αὐτοῦ ἐδιδάχθης ὅση σου ἡ δύναμις ἀπαρατρώτους φύλαξαι. εἰ δέ καὶ ἔν τισιν ὡς ἄνθρωπος ὀλισθήσεις, παρευθὺ τὴν ἧτταν ἀνακαλοῦ δι' ἐξαγορεύσεως καὶ μετανοίας ἀναλόγου καὶ κατανύξεως. ἐξαιρέτως δὲ πρὸ πασῶν καὶ μετὰ πασῶν, τὰς δύο ταύτας ἀκόπους καὶ σωτηρίους ἐντολὰς ἐν τῇ καρδίᾳ σου γράψον καὶ πάσῃ πνοῇ σου ἀπαραβάτους φύλαξον, τὸ μὴ κρίναι τινὰ ἁμαρτάνοντα καὶ τὸ μὴ μνησικακῆσαί τινι θλίψαντί σε πώποτε. καὶ εἰ ταύτας φυλάξεις ἀπαρατρώ-

τους ἀκόπως εὑρεθήσῃ ἐντὸς τῆς τῶν οὐρανῶν βασιλείας σὺ γὰρ τῇ τοῦ Κυρίου χάριτι περισσοτέρας διδαχῆς καὶ τῆς ἐξ ἡμῶν παραινέσεως τοῦ λοιποῦ οὐδαμῶς προσεπιδέῃ, Αὐτοῦ τοῦ Κυρίου φωτίσαντος σου τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς καὶ εἰς πάντα συνετίσαντός σε ὃς ὑπέδειξέ σοι ἔνδοξα καὶ φρικτὰ καὶ ἀπόρρητα τεράστια καὶ ξένα μυστήρια, ἃ πάντα νοῦν ἀνθρώπινον ὑπερβαίνουσιν. ἐκεῖνα πό-(357 οβ.)θησον, ἐκεῖνα καταδίωξον, ἐκεῖνα καταλαλεῖν σπούδασον τῇ ἀπροσίτῳ δυνάμει τοῦ πανυψίστου Θείου λόγου ποδηγούμενος. περὶ ἐκείνων μόνον μερίμνησον, περὶ ἐκείνων μόνων φρόντισον. τῶν ἐνταῦθα δὲ πάντων ἡδέων τε καὶ ἀπολαυστικῶν μηδόλως ἐπιθυμήσῃς, μηδόλως φροντίσῃς ἢ ὅλως ἀσχοληθῇς. οἶδας γὰρ ὡς τὰ παρόντα ὅσα τὴν αἴσθησιν πέφυκε ρευστά εἰσι καὶ ταχὺ παρερχόμενα καπνοῦ δίκην καὶ κόνεως ἀνεμιζομένης διαλυόμενα καὶ ἀφανιζόμενα. κἂν τε ἡδύνωνται κἂν τε λυποῦντα τυγχάνωσιν ἡ γὰρ αὐτὴ φύσις καὶ ἐν ἀμφοτέροις ἐστί. καὶ ὅλος ὁ βίος οὗτος σκιὰ καὶ ἐνύπνια, καὶ ἑ ἐξουσία τούτου ὡς τέφρα, ἡ δυναστεία ὡς κόνις, ὁ πλοῦτος—ματαιότης, ὁ χρυσὸς καὶ ὁ ἄργυρος ὡς ἀγχόνη καὶ ἡ δόξα τοῦ παρόντος αἰῶνος ὡς βόρβορος καὶ δυσωδία. ὃν οἱ πρότερον ἐμπεπτωκότες δαίμονες τοῖς ὑπ' αὐτῶν δελεαζομένοις ἐξειργάσατο ματαιότης γὰρ ματαιοτήτων τὰ πάντα ματαιότης. ὡς νεῦμα ὀφθαλμοῦ (358) τὰ ἀγαθὰ τῆς γῆς, ὡς ρεῦμα ποτάμιον οἱ μετεωρισμοὶ αὐτῆς, καὶ ὡς σάλος τῆς θαλάσσης οἱ μετέωροι ὀφθαλμοί, ὡς παγὶς τὸ κάλλος τὸ ἀλλότριον. ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, ὁ ἥλιος καὶ ἡ σελήνη τὸ φῶς αὐτῶν οὐ δώσουσιν. οἱ ἀστέρες τοῦ οὐρανοῦ πεσοῦνται καὶ τὴν δόξαν αὐτῶν ἀπολέσουσι. πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται καὶ τὸ πολυέραστον χρυσίον τῆς γῆς ἀπολεῖται. ὁ ἄργυρος καὶ ὁ μάργαρος καὶ οἱ ἀτίμητοι λίθοι οἱ ἐξευρημένοι εἰς δόξαν καὶ εὐπρέπειαν τοῖς φιλοκόσμοις, φιλοσάρκοις τε καὶ φιλοδόξοις ἀνθρώποις, εἰς αἰθάλην καμινιαίαν ἀναλύσουσι. καὶ πᾶν ὁρατὸν καὶ ἐπιθυμητὸν ὑποκάτω τοῦ οὐρανοῦ φεύξεται. καὶ τὸ πάχος οὐχ εὑρεθήσεται αὐτοῖς. μόνη δὲ μένει ἀδιάδοχος καὶ ἀκατάλυτος καὶ ἀπέραντος ἡ βασιλεία τῶν οὐρανῶν. περὶ ἧς ὑπομιμνήσκω σοι καὶ παρεγγυῶμαί σοι μηδὲν ἕτερον ἐπιθυμῆσαι πλὴν αὐτῆς. σπούδασον, τέκνον, ἀγωνίσθητι, δράμε τὴν ὁδὸν τὴν εὐθεῖαν, εἰς τὴν πόλιν τὴν ἁγίαν σπεύδων ἀπιέ-(358 οβ.)ναι τὴν τῶν πατέρων ἡμῶν, τὴν νέαν Σιών, τὴν ἄνω Ἱερουσαλήμ, περὶ ἧς ἐλαλήθη παράδοξα, ἣν εἶδον οἱ ὀφθαλμοί σου καὶ ἐξέστη τὸ πνεῦμά σου, καὶ ὅλως ἀπὸ τοῦ κάλλους αὐτῆς ἔφριξαν οἱ διαλογισμοὶ τῆς καρδίας σου. σπούδασον, τέκνον μου, καὶ μὴ ὀκνήσῃς τὰ τῷ Κυρίῳ εὐάρεστα ἐργαζόμενος, ἵνα τὴν μακαρίαν γῆν ἐκείνην τῶν πραέων, ἣν

ἑώρακας, κληρονομήσῃς. καθ' ἑκάστην ὥραν τὸν θάνατον πρὸ ὀφθαλμῶν σου ἔχε λογιζόμενος καὶ οἵαν ὀφείλεις ἀπολογίαν δοῦναι ἐπὶ βήματος τῷ φοβερῷ Κριτῇ παριστάμενος ἐπὶ τοῦ φρικωδεστάτου ἐκείνου σκοποῦ. ὁ γὰρ φόβος τοῦ Θεοῦ, τέκνον, τῶν κεκτημένων Αὐτὸν ποιεῖ ἐκκλίνειν ἀπὸ παντὸς κακοῦ καὶ φυλάττειν παρασκευάζει τὰς αὐτοῦ ἐντολάς. ἡ γὰρ τοῦ Θεοῦ ἀγάπη τὸν ὀκνηρὸν σπουδαῖον ἀποτελεῖ. ἡ πνευματικὴ ἐργασία τὴν πενιχρὰν ψυχὴν πλουσίαν ἐργάζεται. καὶ ὅσον ἐπεκτείνεται εἰς τὸ ἐργάζεσθαι τὸ ἀγαθόν, τοσοῦτον προθυμοτέρα γίνεται ἡ σπουδαία ψυχὴ καὶ ἐπὶ πλεῖον τρέχει καὶ ἀναβαί-
(359)νει εἰς τὰ ὕψη τῆς βασιλείας τοῦ Θεοῦ, καὶ μεγαλοπρεπεστάτη γίνεται, καὶ τὸ πνευματικὸν μέλι τῆς ἄνω βασιλείας ἑαυτῇ θησαυρίζει. ἡ δὲ ὀκνηρὰ ψυχὴ καὶ κακὴ καὶ νωθρά, ἡ ἀμελὴς καὶ γαστρίμαργος, ἡ μέθυσος καὶ πολύυπνος, ὅσην ἂν εὐπορίαν πνευματικὴν ἐπικέκτηται εὐθέως καταπίπτει καὶ ἀσθενεῖ καὶ πτωχεύει καὶ παραγίνεται καὶ καταντᾷ εἰς μεγάλην ἔνδειαν καὶ εἰς ἀπόγνωσιν καταφέρεται. μὴ οὖν ἀμέλει, τέκνον, σκότος γὰρ ἡ ἀμέλεια, ἀπ' οὐρανοῦ οὐ κρημνίζουσα τὴν ταλαίπωρον ψυχὴν μέχρις ᾅδου κατωτάτου. μὴ τοίνυν ῥαθυμήσῃς, γλυκύτατε υἱέ, ἀλλὰ σπεῦσον γενέσθαι μοναχὸς καὶ τρέχε διαπαντός, ἵνα τελειωθῇς ἐν δόξῃ καὶ ἀναπαύσει ἐν εἰρήνῃ σὺν πᾶσι τοῖς φοβουμένοις τὸν Κύριον. οἷα γὰρ ἀγαθὰ ἀπόκειται τοῖς καλῶς βιώσασι μοναχοῖς, ὁ Θεὸς ὑπέδειξέ σοι αὐτά, ἅτινά εἰσι μόνιμα καὶ διαρκῆ τὴν ἀπόλαυσιν ἄϊδιον καὶ ἀθάνατον ἔχοντα, τὰ νῦν μὲν μὴ βλεπόμενα ὄμμασιν αἰσθη-(359 οβ.)τοῖς, φαινόμενα δὲ πάσῃ λογικῇ ψυχῇ μετὰ τὴν ἀπὸ τοῦ ἰδίου σκήνους διάζευξιν. ἃ καὶ αὐτὰ κατὰ τὴν τοῦ Κυρίου χάριν καὶ πρὸ τοῦ κοινοῦ θανάτου ἑώρακας ταῦτα πόθησον, ταῦτα ἀγάπησον, εἰς ταῦτα τὸν νοῦν σου ἐπίθες καὶ ὁλοψύχως ἀγώνισαι. καὶ πάλιν ἐρῶ σοι ὥστε καταλαβεῖν αὐτὰ καὶ εὐάρεστος εὑρεθῆναι τῷ τούτου δικαίῳ Πρυτάνει, καὶ Διανομεῖ, καὶ ἀπροσωπολήπτῳ ἀθανάτῳ Κριτῇ, καὶ σὺν Αὐτῷ κλῆρον σχεῖν ἐν τῇ αἰωνίῳ Αὐτοῦ βασιλείᾳ. σπούδασον δὲ ὅλῃ ψυχῇ καὶ γνώμῃ καὶ πάσῃ σου τῇ ἰσχύι ἐκφυγεῖν τὰ τοῖς ἁμαρτωλοῖς καὶ πᾶσι τοῖς ἀσεβέσι καὶ κακοδόξοις ἀποκείμενα αἰώνια κολαστήρια, ἃ καὶ αὐτὰ κατεῖδον οἱ ὀφθαλμοί σου. καὶ ὀπηνίκα τοῦ σώματος διαζευχθῇς εἰσδέξομαί εἴπερ ἐλέει Θεοῦ ἔχω τινὰ παρρησίαν ἐκεῖ. καὶ ἔσῃ ἀδιασπάστως εἰς αἰῶνας αἰώνων μετ' ἐμοῦ. τοῦ λοιποῦ οὖν, τέκνον, ἄπιθι ἐν εἰρήνῃ εἰς τὸν οἶκον σου. οὐκέτι γάρ σου οἱ αἰσθητοὶ ὀφθαλμοὶ σωματικῶς ὄψονταί με ἐν τῷ (360) παρόντι βίῳ."

καὶ ἅμα τῷ λόγῳ περιχυθεὶς κατησπάσατό με γνησίως καὶ ἱλαρῶς. ταῦτα τοῦ μακαρίου εἰρηκότος πρὸς τὴν ἐμὴν ἀθλιότητα, ἡσύ-

χασεν. ἐγὼ δὲ ταῦτα ἀκούσας καὶ πρώην μὲν ἥμην δεδακρυσμένος καὶ εὐλαβῶς ὡς ἀπὸ στόματος Θεοῦ ἐξερχομένων τῶν τοιούτων θείων καὶ διορατικῶν κατηχήσεων νενευκὼς εἰς γῆν μετὰ φόβου καὶ τρόμου τῶν λεγομένων ἐπηκροώμην. μόνοι γὰρ ἡμεῖς καθεζόμενοι τῷ κελλίῳ αὐτοῦ. ἐπεὶ δὲ πρὸς τοῖς ἄλλοις ἀκούσας ὡς οὐκέτι ὄψει με σαρκί ὡς τὸ πρότερον ἀφ' ὧν διολύγιον ὑπὸ τοῦ σφοδροτάτου κλαυθμοῦ συνωθούμενος, ἀνεβόησα· „ὦ, καλὲ πάτερ, καὶ πῶς ὑποίσω τὸν σὸν χωρισμόν; ἢ τίνα ἔχω ἀντὶ σοῦ τὸν ὁδηγοῦντά με καὶ ἀντιληψόμενόν μου τῆς ἀσθενείας ἔν τε ταῖς τῆς σαρκὸς πάθεσιν, ἔν τε ταῖς τῶν δαιμόνων ἐπιβουλίαις, ἔν τε τοῖς ἄλλοις βιωτικοῖς πράγμασιν. οἴμοι τῷ ταλαιπώρῳ, ἀκοὴν ἀπευκταίαν εἰσδέδεγμαι νῦν."

ὁ δὲ ἅγιος ἠρέμα πως κατέψα καὶ οἷον καταπαύειν τὸν θρῆνον μου ἐπε-(360 οβ.)χείρει καὶ φησί „μηδαμῶς, ὦ τέκνον μου, ἐπὶ τῇ ἐμῇ ἐκδημίᾳ κόπτῃ καὶ θρηνεῖς. οὐ γὰρ πρέπει τοῖς ἀγαπῶσι τὸν Θεὸν πενθεῖν καὶ σκυθρωπάζειν ἐπὶ τῇ μεταστάσει αὐτῶν ἀλλὰ μᾶλλον χαίρειν καὶ εὐφραίνεσθαι προσήκει καὶ εὐχαριστεῖν, ὅτι ἠλέησεν ἡμᾶς ὁ Κύριος καὶ ἐκάλεσεν ἡμᾶς ἀπὸ τοῦ ματαίου κόσμου τούτου καὶ πολυστενάκτου πρὸς τὴν ἄλυπον καὶ μακαρίαν ζωήν. οἱ γὰρ ἀγαπῶντες τὸν Θεὸν, ἀναχωροῦντες ἀπὸ τοῦ πηλίνου τούτου σώματος, Αὐτῷ πλησιάζουσι καὶ ἀπολαμβάνουσι διαπαντὸς τοῦ γλυκασμοῦ τῆς δόξης τῆς ἁγιωσύνης Αὐτοῦ, βλέποντες τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς τὸ ἀμήχανον καὶ ἀνέκφραστον κάλλος Αὐτοῦ. τίς οὖν εἰσιὼν εἰς νυμφῶνα πνευματικόν, εἰπέ μοι, πενθεῖν ὀφείλει καὶ σκυθρωπάζειν ἢ χαίρειν καὶ εὐφραίνεσθαι· μὴ κλαῖε οὖν τοῦ λοιποῦ καὶ μὴ σκυθρώπαζε, τέκνον, ἐπὶ τῇ ἐμῇ ἐκδημίᾳ. κἂν αὐτὸς ἔγωγε ἀνάξιος πέφυκα τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἀλλὰ μᾶλλον εὐφράνθητι καὶ αἶνον εὐχαριστίας ἃ-(361)μα ἐμοὶ τῷ Θεῷ ἀναπέμψωμεν, τῷ εἰς τοσαῦτα καὶ τηλικαῦτα ἀγαθὰ ἡμᾶς κεκληκότι ἅπερ τεθεώρηκας τοῖς τῆς καρδίας σου ὄμμασιν, ἃ κατεῖδες ἀξιωθεὶς παρὰ τοῦ πάντων Θεοῦ μὴ γὰρ εἰς ἀπώλειαν τελευτῶντες ἀπίομεν; ἢ οὕτως ἁπλῶς καὶ ὡς ἔτυχεν ἐπὶ τῇ ἀλλήλων μεταστάσει δακρύομεν; ῥαθύμων γὰρ καὶ ἀνελπίστων ψυχῶν τοῦτο ἔργον. εἴπερ γὰρ πτοεῖται καὶ μισεῖ τὴν ἐντεῦθεν αὐτοῦ ἀποδημίαν, ἢ οὐ κέκτηται τελείαν ἐλπίδα καὶ ἀγάπην εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὅς ἐστι φῶς καὶ ζωὴ καὶ ἀνάπαυσις τῶν πεποιθότων ἐπ' Αὐτῷ. ἢ οὐ πεπίστευκε τῇ ἐκ νεκρῶν ἀναστάσει τοῦ κοινοῦ γένους τῶν υἱῶν τῶν ἀνθρώπων; μὴ οὖν ἀδημόνει, τέκνον μου φίλτατον Γρηγόριε, καὶ ἐποδύρου ἐπὶ τῇ ἐμῇ τελευτῇ καὶ ἀποδημίᾳ καὶ τῇ τῶν ἐντεῦθεν ἀποβιώσει, ἀλλὰ μᾶλλον χαῖρε καὶ εὐφραίνου καὶ σπεῦδε ἀεὶ εὐάρεστος γίνεσθαι ἐνώπιον Κυρίου τοῦ Θεοῦ καὶ καταξιωθῆναι τῆς

τῶν οὐρανῶν βασιλείας. ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ὅθεν καὶ Σωτῆρα ἡμῶν Κύριον Ἰησοῦν (361 οβ.) Χριστὸν Κριτὴν ἐλευσόμενον ἀπεκδεχόμεθα. τί γὰρ ἀγαθὸν κέκτηται ὁ βίος οὗτος; οὐχὶ τὰ πάντα αὐτοῦ πένθος καὶ ὀδύνη; οὐχὶ πάντα σκυθρωπότης καὶ στεναγμὸς καὶ κωκυτὸς καὶ θρῆνος; οὐχὶ πάντα τὰ αὐτοῦ ματαιότης ματαιοτήτων, οὐχὶ κόνις ἐστὶ καὶ τέφρα; οὐχὶ ὄναρ καὶ σκιὰ καὶ καπνὸς ὡς προείρηται, οὐχὶ σποδὸς καὶ ἀράχνη καὶ συμφορά, οὐαί τε καὶ ἀδημονία, οὐχὶ βάρος καὶ φόβος καὶ τρόμος; οὐχὶ ὀδυρμὸς καὶ τάραχος πολυθόρυβος; τί οὖν ἐξ αὐτοῦ ἀγαπήσομεν ἵνα ἐπιποθήσωμεν εἶναι διαπαντὸς ἐν αὐτῷ; ἢ οὐχὶ πᾶσα ἀνωμαλία καὶ ζάλη καὶ ταραχὴ ἐντεῦθεν ἐγγίνεται τῇ δεσμίῳ καὶ ταλαιπώρῳ ψυχῇ; οὐχὶ ὡς ἐν πελάγει καὶ κλύδωνι καὶ ταραχῇ ἀγρίων καὶ βιαίων πνευμάτων ἐν φόβῳ καὶ κοπετῷ διηνεκεῖ ἐνταῦθα διάγομεν; ὑφορώμενοι διαπαντὸς τὰς τῶν δαιμόνων ἐπιβουλάς, τὰς ἐπαναστάσεις τῶν παθῶν, τὰς τῶν νόσων ἀνίας, τὰς ἐκ τῆς τῶν ἀέρων καὶ κράσεων τοῦ χρόνου ἐναλλαγῆς προσγινομένης ἡμῖν, τὰς ἐκ τοῦ πέ-(362)λας ὀχλήσεις, τὰς ἐκ συμπαθείας τῶν πασχόντων ἔν τισιν ἀνιαροῖς ὀφθαλμοῖς ἡμῶν τῶν ἀδελφῶν ὀδύνας, τὰς αὐτοῦ τοῦ σώματος ἡμῶν καθεκάστην συμβαινούσας ἀνάγκας καὶ κόπους. ὧν ἁπάντων τούτων ἐλευθεροῦται καὶ ἀπαλλάττεται ὁ ἄνθρωπος τοῦ ἰδίου σώματος διαζευχθεὶς καὶ ἀπέρχεται πρὸς ζωὴν ἀθάνατον καὶ τῶν τοιούτων πάντων ἀπηλλαγμένην. καὶ πρὸς αὐτὸν τὸν ἴδιον πλάστην ἄφικνεῖται, καὶ πρὸς τὴν μακαρίαν καὶ ἄληκτον ἐκείνην εὐφροσύνην. ἐκεῖ γὰρ δόξα καὶ χαρά. ἐκεῖ εὐφροσύνη καὶ εἰρήνη. ἐκεῖ τερπνότης καὶ ἀγαλλίασις, δικαιοσύνη τε καὶ ζωή, φῶς, τρυφή, ὡραιότης καὶ εὐπρέπεια εἰς ἀτελευτήτους αἰῶνας, ὅπου χερουβὶμ καὶ σεραφίμ, ἑξαπτέρυγά τε καὶ πολυόμματα, κυριότητες καὶ θρόνοι μετὰ πασῶν τῶν οὐρανίων δυνάμεων καὶ πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων τῷ ἐν Τριάδι Θεῷ ἀδιαλείπτως ἀγάλλονται καὶ εὐφραίνονται, καὶ ἀσιγήτοις στόμασιν ὑμνοῦσι καὶ δοξολογοῦσι τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Πα-(362 οβ.)νάγιον Πνεῦμα, τὴν μίαν ἐν τρισὶ προσώποις ἄτμητον καὶ ἀδιαίρετον Οὐσίαν τῆς ἁπλῆς Θεότητος. ἐνταῦθα δὲ εἷς κύκλος μὲν τοῦ ἐνιαυτοῦ, πολλαὶ δὲ πράγματων μεταβολαί. ὧδε πληθὺς μιαρῶν καὶ πονηρῶν δαιμόνων μετὰ πάσης τῆς κακουργίας αὐτῶν ἀναμεμιγμένη τῇ ἡμῶν ἐλεεινότητι. καὶ καθ' ἑκάστην ἡμέραν καὶ νύκτα καὶ ὥραν καὶ στιγμὴν εἰς τὰ μύρια πάθη καὶ πλημμελήματα τυραννοῦσα ἡμᾶς καὶ ἐκβιάζουσα. ὧδε τὰ μύρια κακά. ὧδε ἀσθένειαι, νόσοι τοῖς ταλαιπώροις ἡμῶν σώμασιν, ὧν οὐ πέφυκεν ἀριθμός. ἐνταῦθα καύσων ἡλίου. ἐνταῦθα χειμὼν ἐπαχθής, ἐνταῦθα χιών, κρύσταλλος, παγετοί, πνεῦμα καταιγίδος, ὁμίχλη,

χάλαζα, ἀστραπαί, βρονταί, αὐχμώδεις καιροί, ἀνυδρίαι, ξηρασίαι, ἐπομβρίαι βαρεῖαι συμπαρεσόμεναι ἀλλήλοις. ἐνταῦθα ὅπου ὡς εἴρηται, συμφοραί, θλίψεις, κίνδυνοι, δυσφορίαι, ἀστοχίαι, εἰς τάραχον καὶ θλῖψιν καὶ στενοχωρίαν πάντων τῶν ἐπὶ γῆς ἐπιγενόμεναι ἀνθρώπων. (363) ἐῶ γὰρ λέγειν τὰ λοιπὰ κακά, ὅσα κέκτηται ὁ μάταιος βίος οὗτος· λέγω δὴ—φονοκόπια, ληστουργίαν, δόλους, φθόνους, ραδιουργίας, ἐπιδρομάς, ἐπιβουλάς, ἁρπαγάς, φυλακάς, δημεύσεις, ἐξορίας, μάστιγας, ἀτιμίας, ὕβρεις, ἐμπαιγμούς, κολαφισμούς, ραβδισμούς καὶ τὰ λοιπὰ πάντα ἅπερ παρ' ἀλλήλων ἡμῶν αὐτῶν, παρ' ἐχθρῶν, παρὰ τῶν ἐθνῶν, παρὰ τῶν δαιμόνων, παρὰ τῶν νομιζομένων φίλων, παρὰ τῶν ἀδελφῶν καὶ συγγενῶν, καθεκόστην ὑπομένομεν. τί οὖν ἀγαθὸν ἡμῖν πέφυκεν ἐνταῦθα, ὄντως οὐδέν. ἆρα οὐχὶ ταῦτα πάντα οὕτως ἔχει; ναὶ πάντως. διὰ τοῦτο, ὦ τέκνον, καὶ πάλιν ἐρῶ σοι· ἑτοίμασον σεαυτόν καὶ ὅταν ἡ ἐκ τοῦ βίου μετάστασις σου περιγένηται καὶ ἀποδημία τῶν ἐνταῦθα μετὰ προθυμίας πάσης πορεύου εὐφραινόμενος καὶ ἀγαλλόμενος, ἐνθυμούμενός τε καὶ λογιζόμενος, ὁπόσων ὀδυνῶν καὶ ἀναγκῶν λυτροῦσαι καὶ θλίψεων, ἀναχωρῶν ἀπὸ τῆς ματαιό-(363 οβ.)τητος τοῦδε τοῦ κόσμου καὶ εἰς οἵων ἀγαθῶν ἀπόλαυσιν καταντᾷς."

ἐπὶ τούτοις οὖν τοῦ μακαρίου τὸν λόγον καταπαύσαντος, εἴρηκα καὶ αὐτὸς πρὸς αὐτὸν στένων καὶ ὀδυρόμενος· „οὐ δι' ἄλλον τι, ὦ τίμιε πάτερ, πενθῶ καὶ σκυθρωπάζω καὶ ἔτι πενθῆσαι καὶ θρηνῆσαι ἔχω, ἀλλ' ἢ σοῦ τῶν χαμαὶ συρομένων καὶ φθειρομένων καὶ πραγμάτων μεθισταμένου ἐν ὀρφανίᾳ παντελεῖ καὶ μεγίστῃ παραφρονήσει ὁ παῖς σου καταλιμπάνομαι τίς γὰρ τὸ λοιπὸν ἀνθέξεται καὶ ἰσχυροποιήσει ἡμᾶς, τίς ἀποστρέψει ἀπράκτους καθ' ἡμῶν κινουμένας τὰς μηχανὰς τοῦ βελίαρ, ἢ ποίαν ἕξομεν παραμυθίαν καὶ παράκλησιν ἐν ταῖς θλίψεσιν ἡμῶν, ἐγώ τε καὶ πάντες οἱ εἰς τὴν σὴν πρεσβείαν θερμὴν ἀεὶ καταφεύγοντες καὶ πάσης ἀνάγκης καὶ θλίψεως ἐξαιρούμενοι δι' αὐτῆς, σοῦ μὴ παρόντος."

ταῦτα καὶ ἕτερα ἐμοῦ πρὸς αὐτὸν εἰρηκότος, ὁ μακάριος ἔφη· „οὐκ εἰμὶ ἐγώ, τέκνον, ὁ σκέπων καὶ φυλάσσων καὶ ἐξαιρούμενος ὑμᾶς ἐκ τῶν παγίδων τῶν θηρευτῶν καὶ ἀπὸ λόγου τα-(364)ραχώδους καὶ ἀπὸ ἐχθρῶν τῆς χειρὸς τοὺς ἐμοὶ ὑπηκόους. ἄνθρωπος γάρ εἰμι καὶ αὐτὸς ἁμαρτωλὸς τῆς τοῦ Θεοῦ βοηθείας ἐπιδεόμενος. ἀλλ' αὐτὸς ὁ ὕψιστος, ὁ δημιουργὸς καὶ λυτρωτὴς καὶ κηδεμὼν τῆς ἡμῶν σωτηρίας, ὁ Θεὸς καὶ Κύριος ὁ ὑπὲρ ἡμῶν διὰ σταυροῦ τε καὶ τοῦ ἑκουσίου θανάτου καταπαλαίσας τοὺς ἡμῶν ἀντιδίκους καὶ κατὰ κράτος ἐκνικήσας αὐτούς, ὁ κοινὸς ἡμῶν δεσπότης Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος—Αὐτὸν ἀγάπησον, Αὐτὸν πόθησον, Αὐ-

τῷ κολλήθητι καὶ γενήσεταί σοι δύναμις ὅπλον κραταιόν, καὶ τεῖχος ἰσχυρόν, καὶ καταφυγὴ ἀπὸ προσώπου ἐχθροῦ, καὶ ὑπερασπιστὴς ἐν καιρῷ θλίψεως ἐκτὸς γὰρ Αὐτοῦ οὐδεὶς δυνήσεταί τι ποιῆσαι. εἰ μὴ γὰρ τὴν Αὐτοῦ χάριν παρέξει τοῖς εἰς Αὐτὸν ἐλπίζουσιν ὑπηκόοις, οὐ δυνήσεταί τις καρπὸν πνευματικὸν ἐνέγκαι κατὰ πρόσωπον Αὐτοῦ. ἐὰν μὴ Αὐτὸς σκεπάσῃ τῇ δεξιᾷ Αὐτοῦ πάντα τὸν προσκολλώμενον Αὐτῷ. καὶ ἐπ' Αὐτῷ τὴν ἐλπίδα τιθέμενον· οὐ δυνήσεται οὐδὲ κατισχύσει (364 οβ.) ἀπὸ τῆς τῶν δαιμόνων κακουργίας ἐλευθερωθῆναι μεγάλη γὰρ ἡ αὐτὴ κακία πρός ἡμᾶς, βιαία ἡ πρὸς τὸ γένος τῶν ἀνθρώπων τυραννὶς αὐτῶν. εἰ δι' ἴσως καὶ διὰ τὴν στέρησιν τοῖς ἐξ ἡμῶν ψυχωφελέσι λόγοις ἀνιᾶσαι, οὐδὲ οὕτως ἐπὶ τοσοῦτον δέον θρηνεῖν. ὡς αὐτὸν τὸν Θεὸν κτησάμενος διδάσκαλον καὶ καθηγητήν, βοηθόν τε καὶ συλλήπτορα ἐν πάσῃ τῇ ζωῇ καθαρῶς καὶ ἀδιστάκτως ἐλπίζειν εἰς τοὺς οἰκτιρμοὺς καὶ τὸ ἀμέτρητον Αὐτοῦ ἔλεος. οὐδ' ἡμεῖς αὐτοὶ εἴπερ ἱκανοὶ παρ' Αὐτῷ εὑρεθῶμεν εὐδοκοῦντος Αὐτοῦ τέλεον ἀποστώμεθά σου ἀλλὰ καὶ δι' ὀνείρων καὶ ὀπτασιῶν καὶ δι' ἐπιστασίας τῆς ἐν θεωρίᾳ τοῦ νοός σου συνεχῶς ἐποφθησόμεθά σοι καὶ συνετιοῦμέν σε εἰς πᾶν ἔργον ἀγαθόν. καὶ μάλιστα ἐὰν καὶ αὐτὸς τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν τὴν ἀπάγουσαν πρὸς τὴν αἰωνίαν ζωὴν καὶ διηνεκῶς ὁδεύειν ἀγαπήσῃς καὶ ποθήσῃς, καὶ μὴ ταῖς τοῦ κόσμου ματαίαις ἀσχολίαις καὶ ἡδοναῖς θελήσῃς συναπαχθῆναι, καὶ τὸν ἐν σοὶ ἤδη (365) ἀναφθέντα θεῖον πυρσὸν τῆς τοῦ Κυρίου ἀγάπης καὶ τὸν ἔρωτα τῶν ἀϊδίων ἀγαθῶν ταύταις συγκαταχώσῃς καὶ τέλεον ἀποσβέσῃς. ὥσπερ γὰρ φλὸξ σβέννυται ὑφ' ὕδατος, οὕτω καὶ ὁ κατὰ Θεὸν ψυχικὸς ἔρως ὑπὸ τῶν ἡδονῶν καὶ βιωτικῶν φροντίδων συμπνίγεται καὶ οὐ τελεσφορεῖ ἀλλὰ σοί γε μὴ οὕτω γένηται, τέκνον ποθεινότατον κῦρι Γρηγόριε ἄπιθι οὖν ἐν εἰρήνῃ ὁ Κύριος εἴη μετὰ σοῦ. ἀμήν."

ἐπὶ τούτοις οὖν τοῖς ὁσίοις καὶ ὡς ἀληθῶς θεοφθέγκτοις ῥήμασι τοῦ ὁσίου τούτου μου πατρός, ἐξαναστὰς ἔγωγε καὶ βαλὼν αὐτῷ μετάνοιαν σὺν δάκρυσιν, ᾐτησάμην εὐχὴν παρ' αὐτοῦ λαβεῖν καὶ οὕτως ἐξελθεῖν τῶν ἐκεῖσε. ὁ δὲ εὐθὺς ἐξαναστὰς καὶ ἅμα ταῖς χερσὶ καὶ τὰ ὄμματα εἰς τὸν οὐρανὸν ἐκτείνας, ἐπηύξατό μοι οὕτωσὶ λέγων.

εὐχὴ ἐκτενεστάτη „ὁ Θεὸς ὁ τῶν χερουβὶμ καὶ τῶν σεραφὶμ καὶ πάσης τῆς ἄνω ταξιαρχίας, ὁ Θεὸς ὁ φοβερός, ὁ μέγας καὶ ἔνδοξος, ὁ Βασιλεὺς τῶν βασιλευόντων καὶ ὁ Κύριος τῶν κυριευόντων, ὁ Ποιητὴς (365 οβ.) τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ θαλάσσης καὶ πάντων τῶν ἐν αὐτοῖς, ὁ τῷ λόγῳ Σου ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παραγαγών, ὁ τὴν βασιλείαν τῶν οὐρανῶν εὐτρε-

πίσας τοῖς ἀγαπῶσι Σε, ὁ Δημιουργὸς ἡμῶν καὶ Πλάστης καὶ Ποιητής, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν ἡμᾶς, καὶ αὖθις ἐκ τοῦ εὖ εἶναι πεσόντας τούτου διὰ τῆς Σῆς ἐνανθρωπήσεως ἡμᾶς ἐπαναγαγών. — Σοῦ δέομαι καὶ Σὲ παρακαλῶ τὸν μόνον φιλάνθρωπον καὶ ἐλεήμονα, τὸν μόνον οἰκτίρμονα καὶ πολυεύσπλαγχνον, τὸν ἀνεξιχνίαστον ἐν ἀγαθότητι, εἰσάκουσον τῆς προσευχῆς μου, Κύριε, εἰσάκουσον, καὶ παράσχου τῷδε τῷ δούλῳ σου καὶ πνευματικῷ μου παιδὶ σύνεσιν ἀγαθήν, καρδίαν καθαράν, πνεῦμα συντετριμμένον, νοῦν φρικώδη, θείας διακρίσεως ἀνάπλεων. βέλη νηπίων γενηθήτωσαν κατέναντι αὐτοῦ τὰ προστριπτόμενα αὐτῷ τοξεύματα τοῦ Βελίαρ. δὸς αὐτῷ, Κύριε, τὸ ἔλεός Σου καὶ τὴν ἀγαθότητά Σου παράσχου αὐτῷ νίκην καὶ τρόπαιον κατὰ πάντων τῶν ἐπανιστα-(366)μένων αὐτῷ. δὸς αὐτῷ τὸν φοβερόν Σου βραχίονα ὑπερασπιζόμενον ἡμέρας καὶ νυκτὸς τῆς ψυχῆς αὐτοῦ καὶ τοῦ σώματος. παράσχου αὐτῷ εὐλάβειαν, ἀρετήν, ἀκακίαν, πραότητα, πίστιν, ἐλπίδα, ἀγάπην, χαράν, εἰρήνην, σωφροσύνην, ἁγνίαν, ἐγκράτειαν, ὑπομονήν, δικαιοσύνην, φιλοπτωχίαν, φιλοξενίαν. φιλοστοργίαν, εὐχὴν ἀένναον, ἁπλότητα, διακονίαν πνευματικήν, ἡσυχίαν, σοφίαν, σύνεσιν, σύγκρισιν, γνῶσιν. ἀλήθειαν, εὐσέβειαν, δάκρυα πνευματικά, συμπάθειαν, εὐεργεσίαν, χρηστότητα, ταπεινοφροσύνην, νίκην κατ' ἐχθρῶν, κράτος κατὰ πολεμίων, ἁγιασμόν, δύναμιν, εὐταξίαν, εὐστάθειαν, γαλήνην, μετριότητα, φόβον τὸν ἀγνότατον τῆς θεότητός Σου, τὸν ἐνάγοντα εἰς τὸ τηρεῖν τὰς ἐντολάς Σου πάντα τὸν κεκτημένον αὐτόν ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου ἀπὸ προσώπου αὐτοῦ. γένου αὐτῷ βοηθὸς καὶ ἐλπισάτω ἐπὶ Σοὶ τῷ Σωτῆρι μου ῥῦσαι αὐτὸν ἐκ παγίδος θηρευ-(366 οβ.)τῶν πονηρῶν καὶ ἀπὸ λόγου ταραχώδους τῶν ἐναντίων. διασκόρπισον τοὺς μισοῦντας αὐτὸν ἐν τῇ κραταιᾷ Σου δυνάμει. κατάβαλε πάντας τοὺς ἐπανισταμένους αὐτῷ ὑποκάτω αὐτοῦ. σύντριψον αὐτοὺς τῷ Σῷ ὑψηλῷ καὶ κραταιῷ βραχίονι. αἰσχυνθείησαν καὶ ἐντραπείησαν, ταραχθείησαν καὶ ἀποστραφείησαν ἀπὸ προσώπου αὐτοῦ κατῃσχυμμένοι πάντες οἱ ἐχθροὶ αὐτοῦ. ναί, Κύριε ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἐπάκουσόν μου τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου Σου, καὶ ποίησον τὰ ἐλέη Σου τὰ μεγάλα καὶ θαυμαστὰ μετ' αὐτοῦ καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. ποίησον μετ' αὐτοῦ σημεῖον εἰς ἀγαθὸν καὶ ἰδέτωσαν οἱ μισοῦντες αὐτὸν καὶ αἰσχυνθήτωσαν, ὅτι Σύ, Κύριε, ἐβοήθησας αὐτῷ καὶ ἔτι βοηθήσεις. καὶ ἐλυτρώσω αὐτὸν καὶ ἔτι λυτρώσῃ. ἐξελοῦ αὐτὸν ἐξ ἀνθρώπων πονηρῶν, Κύριέ μου, Κύριε καὶ ἀπὸ πάντων τῶν ἐπανισταμένων αὐτῷ λύτρωσαι αὐτόν ἀξίωσον αὐτόν, Φιλάνθρωπε, (367) τοῦ εὐαγγελίου Σου καὶ

τοῦ ἀγγελικοῦ σχήματος καὶ τάγματος. ἐλέησον αὐτὸν κατὰ τὸ μέγα Σου ἔλεος, Δέσποτα, ἐλέησον αὐτόν, Κύριε, ἐλέησον, ὅτι ἐπὶ Σοὶ πέποιθεν ἡ ψυχὴ αὐτοῦ καὶ ἐν ταῖς ἀχράντοις Σου πτέρυξι κατακαλυφθήτω μέχρι τῆς ἐσχάτης αὐτοῦ ἀναπνοῆς. ὁ Θεός, ὁ Θεός μου, οἰκτείρησαι αὐτόν, ὁ Σωτήρ μου καὶ Ὑπερασπιστής μου ἐκ νεότητός μου, εὐλόγησον αὐτόν ὁ ὢν Θεός, ὁ μέγας καὶ ἔνδοξος, ὁ φοβερός, ὁ θαυμαστὸς καὶ ἀνεξιχνίαστος. μεγάλυνον αὐτὸν καὶ δόξασον καὶ φοβερὸν ἀπέργασαι καὶ δυνάμωσον αὐτόν, καὶ ὀχυροποίησον, καὶ πλούτισον αὐτὸν πλούτῳ πνευματικῷ, ἵνα καὶ ἐν τούτῳ δοξάζηταί Σου τὸ πανάγιον ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.“

ἐγένετο οὖν μετὰ τὸ τελειῶσαι τὴν εὐχὴν ταύτην τὸν μακάριον τῆς ἐμῆς ἐλεεινότητος ἕνεκα, αὐτὸς ἤμην πρὸ τῶν τιμίων αὐτοῦ ποδῶν ἐρριμμένος ἐξαναστάντος δέ μου, κατησπασάμην αὐτόν, καταφιλήσας τὰς τιμίας (367 οβ) αὐτοῦ χεῖρας καὶ τοὺς πόδας καὶ πάντα σχεδὸν τὰ μέλη τοῦ τιμίου αὐτοῦ καὶ ἁγίου σώματος. καὶ οὕτως ἐξῆλθον ἐκ τοῦ κελλίου αὐτοῦ. ἐν δὲ τῷ ἐκπορεύεσθαί με ἀπὸ προσώπου αὐτοῦ ἔξω τῆς κέλλης μικρόν, φωνήσας ὁ ἅγιος ἔφη „ἔγγισόν μοι, τέκνον.“ καὶ ὡς ἤγγισα αὐτῷ, περιλαβὼν ὁ ὅσιος κατησπάσατό με καὶ φησὶ πρός με· „σώζου, τέκνον μου φίλτατον, σώζου. οὐκέτι γὰρ ὄψει με ἀπὸ τοῦ νῦν ἐν τῷδε τῷ αἰῶνι προσομιλοῦντά σοι, πλὴν εἴπερ καλύψει Κύριος ὁ Θεὸς τὰ ἐμὰ ἁμαρτήματα καὶ καταξιώσει με τοῦ κλήρου τῶν ἀγαπώντων Αὐτὸν διὰ τὸ φιλεῖσθαί σε σφόδρα ὑπ᾽ ἐμοῦ, ἔσομαί σοι τῷ πνεύματι ἀδιάστατος ἐν ὁράμασι θείοις τὸ δέον διαλεγόμενος. καὶ τὰ συντείνοντά σοι εἰς οἰκοδομὴν πνευματικὴν ὑποτιθέμενος.“ ταῦτα μου ἐνωτισαμένου καὶ ὥσπερ καύσωνός τινος ἐπιχυθέντος μοι, δάκρυσιν ἐστώς τὸ πρόσωπον ἔβρεχον, ἵνα μὴ λέγω καὶ τὸ τῆς γῆς ἔδαφος, καὶ μᾶλλον ἀκούσας παρὰ τῆς ἁγίας ἐκείνου φωνῆς, ὅτι οὐκέτι ὄψει με. ὁ δὲ μα-(368)κάριος ἔφη πρός με πραείᾳ τῇ φωνῇ καὶ ἱλαρᾷ „μὴ σκυθρώπαζε, ὦ τέκνον, πιστεύω γὰρ τῷ Θεῷ, ὅτι εὕρω παρρησίαν ἐνώπιον Αὐτοῦ ὡς προεῖπόν σοι, ἔσομαί σοι ἀχώριστος τῷ πνεύματι καὶ μείζονος σοῦ προνοήσομαι καὶ τὴν ψυχήν μου θήσομαι ὑπὲρ τῆς ἀγάπης σου. ἄπιθι οὖν ἐν εἰρήνῃ, ἄπιθι καὶ ἔσται Κύριος μετὰ σοῦ.“

ἐμοῦ δὲ οἴκαδε ἀνακεχωρηκότος οὐ πολὺ τὸ ἐν μέσῳ καὶ κατέλαβον εὐθὺς αἱ τῆς ἁγίας τεσσαρακοστῆς ἡμέραι, ἐν αἷς εἴωθα ἀπρόϊτος τὸ καθόλου διατελεῖν, διὰ τὸ ἀπερισπάστως τῷ Κυρίῳ καὶ τοῖς θείοις Αὐτοῦ ῥήμασι προσκεῖσθαι ἡμέρας καὶ νυκτός. μόναις γὰρ ταῖς θείαις ὑμνῳδίαις καὶ ταῖς τῶν θείων γραφῶν καὶ θεοπνεύστων μελέ-

ταις σὺν νηστείᾳ καὶ δάκρυσιν ἀεννάοις καὶ ταῖς κατὰ δύναμιν γονυκλισίαις ἐσχόλαζον καὶ ἥμην ἡσυχάζων ὡς σύνηθες ἄχρι τῆς ἁγίας καὶ ζωοποιοῦ ἀναστάσεως Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, δι' ὅλης τῆς (368 об.) ἁγίας τεσσαρακοστῆς, βαλλόμενος τοῖς περὶ τῆς ἐκδημίας τοῦ θεοφόρου μου πατρὸς λογισμοῖς καὶ καιρίως ὑπὸ τῆς λύπης τὴν καρδίαν πληττόμενος, καὶ δάκρυα τῶν ὀφθαλμῶν ἀστακτὶ καταχέων ἰσόρροπα σχεδὸν τῷ βραχυτάτῳ ὕδατι ᾧ μετελάμβανον εἰς διαρκῆ πῆξιν καὶ σύστασιν τοῦ ἰδίου μου καὶ δυστήνου σώματος. τῇ δὲ τρίτῃ τῆς διακαινησίμου καθ' ἣν ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστὸς ἐκ νεκρῶν ἀναστὰς τοῖς ἁγίοις μαθηταῖς καὶ ἀποστόλοις Αὐτοῦ ὤφθη ἐν τῇ Γαλιλαίᾳ, ἐξελθὼν τοῦ κελλίου μου ἀπῆλθον ἔνθα δὴ καὶ κατέμενεν ὁ ἅγιος, ἐλπίζων ἀπὸ τῆς ὑπερβαλλούσης πρὸς αὐτὸν θείας ἀγαπήσεώς μου καὶ τοῦ σφοδροῦ καὶ ζέοντος ἔρωτος πρὸς αὐτὸν τῆς καρδίας μου ἔτι ζῶντα τοῦτον καταλαβεῖν. καὶ ἔτρεχον ἀπνευστὶ καὶ οἷα πτηνὸς καὶ ἀέριος πρὸς τὴν ἐκείνου ἄγουσαν ὁδόν, ἐναγώνιός πως ὑπάρχων καὶ τῷ νοὶ μετέωρος ἐπεὶ δὲ καὶ κατέλαβον τὴν οἰκίαν ἔνθα κατέμενεν ὁ ὅσιος καὶ πυθόμενος τοὺς ἐν αὐτῇ ἔμαθον, ὅτι κατὰ τὴν εἰκοστὴν (369) ἕκτην τοῦ μαρτίου ἤτοι μετὰ τὸ ἐκτελέσαι τὴν ἑορτὴν τοῦ εὐαγγελισμοῦ τῆς ἁγίας Θεοτόκου καὶ μετασχεῖν τῶν θείων καὶ ἀχράντων μυστηρίων, μεσαζούσης τότε τῆς ἁγίας τεσσαρακοστῆς τῇ ἐπαύριον μικρόν τι τὴν κεφαλὴν ἀλγήσας καὶ ἐπὶ τοῦ σκίμποδος ἐν ᾧ εἰώθει διαναπαύεσθαι ἀνακλιθεὶς εἰς χεῖρας Θεοῦ τὴν ἁγίαν καὶ ὁλόφωτον αὐτοῦ ψυχὴν παρέθετο, μνήμην ἄληστον καὶ σωτηρίον πᾶσι τοῖς ἐν τῷ βίῳ τούτῳ καταλιπών, τὰς ἐνθέους αὐτοῦ λέγω καὶ ὑπερφυεῖς πράξεις καὶ ἀρετὰς καὶ κατὰ τῶν δαιμόνων καὶ παντοίων παθῶν θεοπρεπῆ καὶ ὑπὲρ ἄνθρωπον ἀριστεύματα καὶ τερατουργήματα, τῇ δέ γε τῶν πρωτοτόκων ὁμηγύρει προσθήκη γενόμενος· πόσας γὰρ οὗτος ψυχὰς ἀπὸ πλήθους ἁμαρτημάτων ἀπέστρεψε καὶ τῷ Κυρίῳ Ἰησοῦ Χριστῷ διὰ μετανοίας προσήγαγε πόσους τε θλιβομένους καὶ ὑπὸ κακοθελῶν ἀνθρώπων ἀδίκως διωκομένους προσευχῇ μόνῃ τῇ πρὸς Θεὸν ἠλευθέρωσε. πόσους ἀσθενοῦντας ὑγιαίνοντας καὶ εἰς ῥῶσιν ἀπο-(369 об.)κατέστησε, πόσους δὲ φιλαργύρους σκνιφούς τε καὶ φειδωλοὺς εἰς εὐποιίαν πενήτων καὶ ἐλεημοσύνην μετέβαλε. καὶ ἕτερα τινὰ ὑπὲρ ψάμμον θαλάσσης φιλαληθῶς εἰπεῖν ἐν τῇ βασιλευούσῃ τῶν πόλεων Βυζαντίδι εἰργάσατο ἐξαίσια θαύματα ἅπερ διὰ τὸ πλῆθος παραιτούμεθα κατ' ὄνομα γράφειν καὶ κατ' εἰρμόν, ἵνα μὴ καὶ τὸν λόγον μηκύνωμεν καὶ τοὺς ἀκροατὰς ἐπὶ πλεῖον βαρύνωμεν, κόρος γὰρ λόγου πολέμιος ἀκοαῖς, ὡς ὑπερβάλλουσα τροφὴ σώματι, καθά φησι ὁ Θεολόγος.

προκειμένου οὖν τοῦ τιμίου αὐτοῦ λειψάνου καὶ ὕμνοις καὶ ᾠδαῖς ἐξιτηρίοις ὡς ἔθος ἐπαδομένοις, καὶ τὰ πρὸς ταφὴν αὐτοῦ οἱ ἐν τῷ οἴκῳ του εὐλαβεστάτου καὶ θεοσεβεστάτου Κωνσταντίνου τοῦ ἀπὸ τῶν βαρβάρων ἑτοιμαζόμενοι, ἦν ὁρᾶν τὰ πλήθη τῶν πιστῶν ἀγεληδὸν ἢ ποταμηδὸν οἰκειότερον εἰπεῖν συρρέοντα ἐπὶ τὸ ἁγιασθῆναι παρὰ τῆς ἐκείνου θείας προσψαύσεως καὶ θεωρίας. καὶ οἱ μὲν αὐτῶν (370) παρακειμένων αὐτῷ τιμίων αἰγομάλλων τρίχας ἐλάμβανον μεγίστην εὐλογίαν ἐκεῖθεν καρπούμενοι ἄλλοι δὲ τὸ κατιδεῖν αὐτὸν καὶ ἀσπάσασθαι μόνον μέγιστον ἡγοῦντο ἁγιασμόν. εἴ τις γοῦν τινὸς τῶν ἐκείνου ρακίων ἢ τριχὸς ὡς εἴρηται τῆς μετασχούσης ἁγιωσύνης ἐκ τῆς ὁσίας ἐκείνης ἁφῆς ἴσχυσεν εὐμοιρῆσαι, πάντων ἀνθρώπων εὐδαιμονέστερος ὁ τοιοῦτος τοῖς ἀκριβῶς εἰδόσι τὰ ἐκείνου ἐλογίζετο καὶ τῷ ὄντι μακαριστὸς εἶναι ἐλογίζετο, καὶ ἐν ταῖς γλώσσαις πάντων ἐν μέρει θαύματος ἔκειτο.

τούτων οὖν οὕτως ἐχόντων, ὡς οἱ παρόντες ἐκεῖσε ἀκριβῶς καὶ ἀπαραλείπτως πάντα μοι διηγήσαντο, ὅ τε προμνημονευθεὶς Κωνσταντῖνος, ὁ ἀπὸ βαρβάρων τῷ γένει καταγόμενος, ὃς εἶχε τὸν ὅσιον ἐν τῇ οἰκίᾳ αὐτοῦ καὶ ἀνέπαυεν, ἀλλὰ καί τινες ἄλλοι ἐσκέψαντο καθ' ἑαυτοὺς ἐν πλοίῳ εἰσαγαγεῖν τὸ τοῦ ἁγίου πανίερον λείψανον καὶ ἀποθέσθαι τοῦτο εἰς τὸ κατὰ ἀνατολὰς ἄντικρυ (370 οβ.) βασιλευούσης πόλεως διακείμενον προάστειον, ἐν ᾧ ναὸς τῆς ὑπεραγίας Θεοτόκου περιφανέστατος ᾠκοδόμητο καὶ καταθεῖναι τοῦτο ἐκεῖσε ἐν τῷ τοιούτῳ θείῳ σηκῷ. ἀλλ' οὐκ εἴασεν αὐτοὺς τὸ τοιοῦτο αὐτῶν βούλευμα εἰς ἔργον ἀγαγέσθαι Ἰωάννης ἐκεῖνος, οὗ πάλαι ἀνωτέρω τῶν λόγων ἐν τοῖς τοῦ ὁσίου πατρὸς ἡμῶν μερικοῖς θαύμασιν ἀπεμνημονεύσαμεν, ὃν ὁ ὅσιος ἀπὸ τῆς δαιμονικῆς περιεργίας καὶ μάστιγος τῆς αὐτοῦ δουλίδος παραδόξως ἐρρύσατο καὶ ὑγιῆ ἀπειργάσατο. οὗτος οὖν μαθὼν τὰ τοῦ σκοποῦ, λέγει πρὸς αὐτόν· „ὦ κύριέ μου καὶ ἐν Χριστῷ ποθεινότατε ἀδελφὲ Κωνσταντῖνε, ἵνα τί οὕτως περὶ τοῦ τιμίου λειψάνου τοῦ κοινοῦ ἡμῶν πατρὸς καὶ προστάτου βεβούλευσαι, ὥστε παρὰ τὸ μὴ εἶναι μνήματα ἐν τῇ καθ' ἡμᾶς ταύτῃ βασιλευούσῃ τῶν πόλεων, ἐν ᾗ καὶ ἑτέρων μυρίων ἁγίων λείψανα ἀπόκεινται, ἐν τῇ ἀνατολῇ διαπεράσαι αὐτό, οὐ ποιήσεις τοιγαροῦν καθά-(371)περ βεβούλευσαι, ἀλλ' εἰ ἀμαιρεῖς τάφου, ἐπίτρεψόν μοι εἰ κελεύεις, κἀγὼ διακονήσω καὶ ἀξίαν ἐργάσομαι τὴν τούτου κατάθεσιν, καὶ ἐν τόπῳ ἁρμοδίῳ καὶ τούτου κατ' ἀλήθειαν ἐπαξίῳ.“ ὁ δὲ παραχρῆμα ταῦτα ἀκούσας παρὰ τοῦ Ἰωάννου, ἐπέτρεψεν αὐτῷ ποιῆσαι πάντα κατὰ τὸ ἴδιον βούλημα, φήσας αὐτῷ „πορεύθητι, ἀδελφέ, καὶ τὸ εὐθὲς ἐν ὀφθαλμοῖς σου ποίει περὶ αὐτοῦ.“ κἀκεῖνος μετὰ τὸ πάντα τὰ νενο-

μισμένα ἐπὶ τῇ τοῦ ἁγίου κηδείᾳ τελέσας καὶ λαβὼν τὸ τοῦ ἁγίου λείψανον ἐν ξυλίνῳ λάρνακι, μετεκόμισεν αὐτὸ ἐν δόξῃ καὶ δορυφορίᾳ τῇ προσηκούσῃ εἰς τὸ ἑαυτοῦ κατὰ δυσμὰς τῆς θεοφρουρήτου βασιλίδος τῶν πόλεων διακείμενον μοναστήριον, πλησίον τῶν ἁγίων μαρτύρων Φλώρου καὶ Λαύρου καὶ τοῦ θείου ναοῦ τοῦ ἁγίου ἀποστόλου Φιλίππου, ὅπερ εἰώθασιν ὀνομάζειν τοῦ Χαρτοφύλακος, ἐν ᾧ καὶ ὀλιγοσταὶ ἀσκήτριαι ἐχρημάτιζον (371 οβ.) τῷ Κυρίῳ εὐαρεστοῦσαι καλῶς, καὶ ὅλαι διόλου τῇ παντουργῷ Τριάδι προσανακείμεναι καὶ ἐν αὐτῷ κατέθετο αὐτὸ ἐντίμως. ἔσωθεν γὰρ τοῦ θυσιαστηρίου εὑρηκῶς μαρμάρινον τάφον ἐκ καινῆς λελατομημένον ἄξιον εἰς ὑποδοχὴν αὐτοῦ, μυρίσας αὐτὸ μύροις πολυτελέσιν, ἀνάψας κανδήλας καὶ κηροὺς ἄνωθεν τῆς σεβασμίας αὐτοῦ σοροῦ.

οὐ μετὰ πολὺ δὲ διανοηθεὶς ὁ εὐλαβὴς ἐκεῖνος Ἰωάννης καὶ οἱ σὺν αὐτῷ τὸν μακάριον κηδεύσαντες κατασκευάζουσι σκίμποδον ἐκ πυξίου ὡραιοτάτην κακεῖσε τὴν λάρνακα ἀνοίξαντες, μετέθηκαν αὐτὸν σῶον καὶ ὁλόκληρον χρηματίζοντα καὶ ὥσπερ ὅταν τις ὑπνοῖ ἀπὸ εὐφροσύνης καὶ λελαμπρυσμένον πέφυκεν ἀπὸ κάρου θαυμαστοῦ τὸ πρόσωπον αὐτοῦ, καὶ μέχρι τοῦ νῦν τῇ αὐτῇ δόξῃ ἔνι λελαμπρυσμένος, τὴν αὐτὴν ἡδύτητα τῆς εὐωδίας προβαλλόμενος, κείμενος σῶος καὶ ὁλόκληρος καὶ παντάπασιν ἀδιάφορος, δεικνύοντος τοῦ Θεοῦ κἀνταῦθα, ὅταν (372) οἱ ἀγαπῶντες τὸν Αὐτὸν ἐξυπνίσωσι ἐν τῇ δευτέρᾳ Αὐτοῦ παρουσίᾳ ὁλόκληροι κείμενοι ἐν ταῖς σοροῖς Αὐτοῦ καὶ εἰς ἀέρα ἐν νεφέλαις ἁρπαγήσωνται κατὰ τὸν μακάριον ἀπόστολον εἰς ἀπάντησιν τοῦ Κυρίου· σημεῖον γὰρ τοῦτο καὶ θαῦμα μέγιστον ἐπί τισι τῶν ἁγίων τὰ νῦν καθορώμενα εἰς πληροφορίαν τῶν ἀπιστούντων τῇ ἐπὶ συντελείᾳ γενέσθαι μελλούσῃ κοινῇ ἀναστάσει, ὅτι ἄνευ πάσης ἀντιλογίας τὰ διαφθαρέντα σώματα τῶν ἀνθρώπων ἀναστήσονται σῶα καὶ ὁλόκληρα ἠχούσης τῆς σάλπιγγος, καὶ ἑνωθήσονται ταῖς ψυχαῖς αὐτῶν ὡς ἂν κίψηται ἕκαστος τὰ κατ' ἀξίαν τῶν ἔργων αὐτοῦ. καὶ ἔστι νῦν ἐν τῇ τοιαύτῃ μονῇ τὸ τρισόλβιον καὶ πανακήρατον σῶμα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου, ἰαμάτων πηγὴ ἀνεξάντλητος, νοσημάτων ἀλεξιτήριον, δαιμόνων φυγαδευτήριον, θαυμάτων κρήνη ἀένναος καὶ παντοίων ἀγαθῶν παρεκτικὸν πᾶσι γνωριζόμενον.

(372 οβ) ὁ γοῦν σεβάσμιος Ἰωάννης, μετὰ τὸ κηδεῦσαι τὸ τοῦ ὁσίου πατρὸς ἡμῶν τίμιον καὶ ἅγιον λείψανον, ὑπερχέσας τῇ πρὸς ἐκεῖνον πίστει καὶ ἀγάπῃ θερμῇ, καὶ τὴν ψυχὴν θείῳ ἀναφλεχθεὶς ἔρωτι, ἀπελθὼν ἐν τῷ οἴκῳ αὐτοῦ καὶ τὰ ὑπάρχοντα αὐτῷ πτωχοῖς καὶ πένησι διανειμάμενος καὶ πάντα καλῶς διαθέμενος, καταλιπὼν δόξαν καὶ πλοῦτον καὶ πάσας τὰς κοσμικὰς ἡδονάς, καὶ πᾶσι χαίρειν εἰπών,

—γέγονε μοναχὸς καὶ τὰς τρίχας τῆς κεφαλῆς αὐτοῦ ἀπεκείρατο, σὺν αὐτοῖς δὲ καὶ πάσας τὰς ἡδονὰς τῆς σαρκός, καὶ τὰ τῶν μοναχῶν τρίχινα ράκια ἀμφιασάμενος, προσέμεινε τῇ τοῦ ἁγίου σορῷ μὴ θέλων χωρισθῆναι αὐτοῦ, ἄχρις ὅτου καὶ αὐτὸς τὴν ἰδίαν ψυχὴν τῷ Κυρίῳ παρέθετο μετ' οὐ πολὺ γὰρ ἐπηκολούθησε καὶ αὐτὸς τῷ σεβασμίῳ καὶ ἁγίῳ ἡμῶν πατρὶ Βασιλείῳ, τῶν προσκαίρων μεταστὰς καὶ πρὸς τὰ ἐκεῖσε δικαιωτήρια ἀπερχόμενος, καλῶς εὐαρεστήσας τῷ Κυρίῳ, ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ εὐχαῖς σὺν ἐλεημοσύνῃ καὶ δάκρυσιν ἀεννάοις, (373) νηστείας τε καὶ ξηροκοιτίαις καὶ χαμευνίαις διατελέσας τὸν τῆς ἀποταγῆς αὐτοῦ χρόνον καὶ ἐτάφη καὶ αὐτὸς ἐν τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ, τὸν κλῆρον εἰληφὼς ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ διὰ τῶν τιμίων καὶ ἁγίων εὐχῶν τοῦ θεράποντος Χριστοῦ καὶ ἁγίου πατρὸς ἡμῶν Βασιλείου, πλήρης ἡμερῶν ὑπάρχων καὶ τῇ φύσει εὐνοῦχος

μετὰ δὲ τὸ τελειωθῆναι καὶ τοῦτον τὸν μακάριον Ἰωάννην, φίλος τις γνήσιος αὐτοῦ καὶ τοῦ ἁγίου μαθητὴς ὑπάρχων, ἀγαπώμενος αὐτῷ παρ' ὅλον τὸν τῆς ζωῆς αὐτοῦ χρόνον, ἐπιθυμίαν ἔσχε μαθεῖν, τίνος ἀμοιβῆς ἠξιώθη οὗτος ὁ Ἰωάννης, μεταστὰς πρὸς τὰ ἐκεῖθεν παρὰ τοῦ Θεοῦ, ὑπὲρ ἧς εἶχε θερμῆς πίστεως καὶ εἰλικρινοῦς ἀγάπης πρὸς τὸν ἅγιον, καὶ παρεκάλεσεν ὁ τοιοῦτος φίλος τοῦ Ἰωάννου τὸν Θεὸν καὶ τὸν ἅγιον δεῖξαι αὐτῷ, οἵαν ἀμοιβὴν ὁ τοσαῦτα ἐπὶ τῷ μακαρίῳ κεκοπιακὼς ἐκεῖσε μεταστὰς ἐκληρώσατο. καὶ ἰδοὺ ἐν μιᾷ τῶν νυκτῶν κατ' ἰδίαν ἑστὼς καὶ προσευχόμενος, γέγονεν ἐν (373 οβ.) ἐκστάσει καὶ ὁρᾷ παλάτια φοβερὰ βασιλικά. καὶ ἰδοὺ αἱ πύλαι τούτων εἰς ὕψος θαυμαστὸν ἐγηγερμέναι, ὁλόχρυσαι στίλβουσαι ὡς ὁ ἥλιος. καὶ ἐπὶ τῆς ἄνωθεν αὐτῶν ἐπικειμένης χρυσῆς φλιᾶς, τίτλος χρυσίῳ φρικωδεστάτῳ περικεχυμένος. καὶ ἐπ' αὐτῷ ἦσαν γράμματα ἐγκεκολαμμένα ἐρυθρὰ ἐπὶ λέξεων οὕτως ἔχοντα· „αἰωνία μονὴ καὶ κατάπαυσις τοῦ γνησίου μου θεράποντος Βασιλείου τοῦ Νέου.“ κατανοῶν δὲ ταῦτα καὶ θαυμάζων ἐπὶ τοῖς γεγραμμένοις, ἔκπληκτος καὶ ἐνεὸς ἵστατο ἐπὶ τῷ δαπέδῳ τῶν θείων πυλῶν ἐκείνων, ἰδοὺ νεανίας τις τὴν ἰδέαν ἐξαίσιος τὰς πύλας τῶν ὁρωμένων αὐτῷ παλατίων προσανεπέτασεν, ἐν οἷς περιεργότερον ἀτενίσας κατενόει τὰ ἔνδον μάλα σαφῶς. καὶ ἦν ἰδεῖν φησὶν ἔνδον τῶν ἐκείνων θείων πυλῶν περίαυλον ξένον καὶ θαυμαστὸν λίαν ἐξαστράπτοντα δόξῃ ἀνεκλαλήτῳ, ὑπὲρ πᾶσαν διήγησιν βρότειον ἐν τούτῳ οὖν τὴν ἀπασχόλησιν ἔχων, ἔξω ἑστὼς τῶν (374) φρικωδεστάτων ἐκείνων πυλῶν, ὁρᾷ τὸν ὁσιώτατον πατέρα ἡμῶν Βασίλειον ἀνερμήνευτον δόξαν περιβεβλημένον, καὶ δορυφορία βασιλικὴ ἐν αὐτῷ περιπολεύουσα καὶ παρομαρτοῦσα, τὸ πρόσωπον αὐτοῦ

λελαμπρυσμένον ὡς ἀστραπή. καὶ ἰδοὺ ὁ κύριος Ἰωάννης πλησίον αὐτοῦ, ἔξωρος τὴν ἡλικίαν γενόμενος, καὶ αὐτὸς χιτῶνα θαυσμαστὸν φωτοειδῆ περιβεβλημμένος λευκὸν ὡσεὶ χιών. καὶ πλῆθος ἕτερον λαοῦ ἐνδόξου προσῆν αὐτοῖς. καὶ αὐτοὶ μειδιῶσι προσώποις αὐτῷ παρεδρεύοντες. καὶ ἀκούει φωνῆς ἀπὸ τῶν ἔνδοθεν θαυμασίας ἐξερχομένης καὶ ὑπηχούσης εἰς τὰ ὦτα τῆς καρδίας αὐτοῦ καὶ λεγούσης πρὸς αὐτόν· „τοιαύτας ἀνταμοιβὰς κομίζονται οἱ ἀγαπῶντες τὸν Θεὸν καὶ τοὺς θεράποντας Αὐτοῦ ἐπαξίως τιμῶντες. λέγω δὴ τὸ συγχαίρειν αὐτοῖς καὶ συναπολαμβάνειν τῶν ἡτοιμασμένων αὐτοῖς ἀγαθῶν εἰς ἀτελευτήτους αἰῶνας. εἰ οὖν βούλει καὶ αὐτὸς τῆς δόξης καὶ ἀϊδίου ἀπολαύσεως τυχεῖν, μὴ κατοκνή-(374 οβ)σῃς μέχρι τῆς ἐσχάτης σου ἀναπνοῆς ἐν τῇ τῶν ἁγίων ἐντολῶν τοῦ Χριστοῦ ἐργασίᾳ καὶ ἐν τῇ τῶν θεραπόντων Αὐτοῦ διακονίᾳ καὶ ἐπιμελείᾳ ἐμμένειν καὶ διατελεῖν καὶ ἀδολεσχεῖν, ἵνα μετὰ θάνατόν σου ἀξιωθῇς καὶ αὐτὸς μετ' εὐφροσύνης ἐλεύσεσθαι ὧδε ἐν ᾧ τόπῳ δεδοξασμένῳ ὁρᾷς καὶ ἐν χαρᾷ διηνεκεῖ σὺν ἡμῖν εἶναι" ἐπὶ τούτοις οὖν ὁ φιλόχριστος ἐκεῖνος ἀνὴρ ἀνείθη τοῦ ὁράματος τῆς ὀπτασίας. καὶ εἰς αὐτὸν ἐλθὼν ἀπαραλείπτως πάντα διηγήσατο ἡμῖν, ὅσα τε εἶδε καὶ ὅσα ἀκήκοε φιλαλήθως.

ἐπ' ἀληθείας οὖν, ἀδελφοί μου ἀγαπητοὶ ἐν Κυρίῳ, ὅστις ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, οὐ μὴ ἀπολέσει τὸν μισθὸν αὐτοῦ κατὰ τὸ Κυριακὸν λόγιον καὶ πάλιν·—ποιήσατε ὑμῖν φίλους, λέγει ὁ Κύριος ἐν εὐαγγελίοις, ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν ἐκλίπητε τῶν ἐντεῦθεν δέξονται αὐτοὶ ὑμᾶς εἰς τὰς αἰωνίους μονὰς τούτων. μαμωνᾶς γάρ ἐστιν οὐχ ὁ ἐξ ἀδικίας καὶ ἁρπαγῆς ἀθροισ-(375)θεὶς πλοῦτος τοῖς πολλοῖς καὶ ἀποκείμενος, ἀλλ' ὁ περιττὸς τῆς ἀναγκαίας χρείας. ὅν πέρ τις κατέχων ἀδικεῖ τὸν χρείαν αὐτοῦ ἔχοντα καὶ μὴ δυνάμενον κτήσασθαι αὐτόν. ὃν αὐτὸς μὲν ἐπέκεινα τῆς ἀναγκαίας χρείας αὐτοῦ μάτην καὶ εἰκῇ, ἢ κατὰ φιληδονίαν εἴτουν ἀπιστίαν, ἢ περπερίαν, ἢ βλακείαν παρακατέχει. ὁ δὲ πλησίον αὐτοῦ ἄγχεται καὶ ἀποθνήσκει αὐτῷ ὁ δὲ ἐξ ἀδικίας καὶ ἁρπαγῆς συναγόμενος πλοῦτος οὐκ ἔστι μαμωνᾶς ἀφ' οὗ ὁ Κύριος ἐνετείλατο ἡμῖν ποιεῖν ἑαυτοῖς φίλους, ἀλλὰ μίασμά τι καὶ ἄγος ἐπιβώμιον Θεὸν παροργίζον προσφερόμενον εἰ μή που τίς ἀπὸ τῶν τοῦ Ζακχαίου τρόπον τετραπλασίως τὴν ἁρπαγὴν ἀποδίδωσι. τηνικαῦτα γὰρ ἱλεοῦται τὸν Θεὸν οὐ παροργίζων, τοὺς δὲ δαίμονας ἐπὶ πλέον ὀδύνων ὁ γοῦν ἐκ τοῦ τετραπλασιασμοῦ τῶν ἁρπαγῶν καὶ ἐκ τοῦ περισσεύματος τῆς ἰδίας χρείας, ὅπερ ἐστὶ μαμωνᾶς, ποιῶν φωταψίας εἰς τοὺς θείους ναοὺς τῶν ἁγίων καὶ μνημόσυνα (375 οβ) αὐτῶν ἐτησίως ἐπιτελῶν καὶ διαδόσεις ἐν αὐτοῖς ποιῶν πρὸς τοὺς

πένητας καὶ ταύτας διὰ μόνην δόξαν Θεοῦ καὶ τιμὴν τῶν ἁγίων Αὐτοῦ καὶ οὐ δι' ἔπαινον ἴσως ἀνθρώπινον ποιῶν, ὁ τοιοῦτος ἀναμφιβόλως ὑπὸ τῶν ὑπ' Αὐτοῦ ἀγαπηθέντων ἁγίων προσδεχθήσεται μετὰ τὴν ἐντεῦθεν αὐτοῦ ἀποδημίαν καὶ ἐν ταῖς αἰωνίοις αὐτῶν σκηναῖς σὺν αὐτοῖς ἀναπαύσεται καὶ αἰωνίως ἀγαλλιαθήσεται κἂν ἀμελὴς τὶς ἦν καὶ ῥᾴθυμος περὶ τὴν ἀκρίβειαν τῶν ἁγίων τοῦ Θεοῦ ἐντολῶν καὶ ἐκ μέρους ἁμαρτωλὸς ὁ τοιοῦτος τυγχάνῃ, τῇ τῶν ἁγίων πρεσβείᾳ καὶ τῇ μεταδόσει τῶν ὑπαρχόντων αὐτῷ, τῶν ἀπηρτισμένων κολάσεων ἐλευθεροῦται τούτοις ὑπὸ τοῦ ἀγαθοῦ Δεσπότου ἀποχαρισθείς. ὃ δὴ καὶ ἐπὶ τοῦ ἐπιγείου βασιλέως ὁρῶμεν πολλάκις γινόμενον διὰ μεσιτείας τῶν οἰκειοτάτων αὐτοῦ ἀφέοντος τισὶ μεγάλων ἐγκλημάτων καὶ σφαλμάτων εὐθύνας. ὁ δὲ ἀπὸ τοῦ μαμωνᾶ τῆς ἀδικίας καὶ τῆς εἰς τὸ τετραπλάσιον ἀποδόσεως τῶν ἁρπαγῶν γι-(376)νόμενος εἰς τοὺς πένητας οἰκτος, καὶ ἡ εἰς τοὺς ἁγίους εὐποιία τοσοῦτος πέφυκεν ὡς ὁ λόγος ἤδη φθάσας ἐδήλωσεν, ὡς ἀπὸ δικαίων πόνων καὶ κόπων καὶ ἐπικτήσεων εὐσεβῶν καὶ ἐκ τοῦ ὑστερήματος πρὸς τοὺς ἐνδεῶς ἔχοντας γινόμενος, ποσαχῶς πλέον ὠφελεῖν οἶδε τοὺς ἐργαζομένους αὐτόν, εὔδηλον, ὅτι πολλαχῶς καὶ λίαν ἀσυγκρίτως. ὁ μέντοι τρόπος τῆς ἐλεημοσύνης οὐχ εἷς ἐστι, καὶ ἀπὸ μόνης τῆς τῶν ἀναγκαίων καὶ χρειωδεστέρων μεταδόσεως γνωρίζεσθαι πέφυκεν, ἀλλὰ ποικίλος τῷ ὄντι καὶ μυριότροπος καθέστηκεν. εἰ γὰρ μὴ οὕτως εἶχε τὰ κατ' αὐτόν, οἱ μὴ δυνάμενοι μηδὲ ἔχοντες διὰ μεταδόσεως οἰκοθεν ἐλεεῖν, ὑστεροῦντο ἂν καὶ τοῦ μακαρισμοῦ καὶ τῶν γερῶν καὶ μεγάλων τούτων ἀμοιβῶν ὅθεν ὁ φιλάνθρωπος ἡμῶν Θεὸς καὶ Δεσπότης, μὴ θέλων τινὰ στερηθῆναι τῆς ἐξ Αὐτοῦ ὠφελείας, οὕτως τὰς ὁδούς της ἐποίκιλε καὶ ἐπλάτυνεν, ὡς μηδένα ἄμοιρον τῶν ἐξ αὐτῆς ἀγαθῶν καταλιμπάνεσθαι, ἀλ-(376 οβ.)λὰ κοινὰ ταῦτα πάντα κεῖσθαι πᾶσιν ἀνθρώποις ὡς ἀέρος χύσιν, καὶ ἡλίου φαῦσιν, καὶ ἀστέρων καὶ σελήνης καὶ ὕδατος καὶ πυρὸς χρῆσιν καὶ πρῶτον μὲν ἐν ταῖς διανοίαις τῶν ἀνθρώπων τέθεικεν οἰόντινα θεμέλιον τὰς τοῦ οἴκτου ἀφορμάς, καὶ φυσικῶς ἔχομεν κινεῖσθαι πρὸς ἔλεον. εἰ τάδε καὶ πάντα τὰ παρ' ἡμῖν λογιζόμενα οὐδαμινὰ καὶ λόγου οὐδενὸς ἄξια, αὐτὸς ὡς μεγάλα δέχεσθαι ἀπὸ μόνης ψιλῆς προαιρέσεως εὐδόκησε. καὶ δύο ὀβολοὺς καὶ ποτήριον ψυχροῦ μετὰ πίστεως καὶ ζεούσης προθυμίας προσφερόμενα οὐκ ἀπαξιοῖ. καὶ ὁ τούτων αὐτῶν ἐνδεὴς ὢν στεναγμὸν μόνον εἰ προεῖτο τὸ πᾶν ἔσται πεπληρωκώς. εἰ δάκρυον καταχεῖ καὶ λόγοις παρακλητικοῖς περὶ ὑπομονῆς καὶ εὐχαριστίας διαλεχθείη, εἰς οἰκοδομὴν τοῦ κάμνοντος τοῦτο τοῦ προτέρου πολὺ μεῖζον καὶ ἐπικερδέστερόν ἐστιν αὐτῷ. εἰ δὲ δι' εὐχῆς καὶ δεήσεως

τῆς ὑπὲρ τοῦ κάμνοντος καὶ νοσοῦντος κατὰ ἀμφότερα, ψυχῇ λέγω καὶ σώματι γινομένης, ῥᾳ-(377)ον αὐτῷ γενέσθαι καὶ ἀνεθῆναι τῆς νόσου εἴπερ ἐστὶν εὐδοκία τοῦ Θεοῦ, ἢ μεθ' ὑπομονῆς καὶ εὐχαριστίας τὴν νόσον διαβαστάσαι καὶ μὴ ζημιωθῆναι τὸν κάμνοντα ψυχικῶς διὰ μικροψυχίας καὶ ῥᾳθυμίας ὠφέλειαν καὶ μισθὸν ἐλεημοσύνης κτήσασθαι. ὡσαύτως καὶ διὰ τοῦ βαστάσαι παροιμίαν καὶ ἀπροσεξίαν ἀσθενοῦς καὶ ὀλιγώρου καὶ ἀσυνέτου ἀδελφοῦ. καὶ διὰ τὸ νουθετῆσαι καὶ συμβουλεύσασθαι καὶ προτρέψαι εἰς τὸ ἀγαθόν, καταλλάξαι τε καὶ συμβιβάσαι μαχομένους πρὸς εἰρήνην, καὶ ποιῆσαι εἴτε διὰ λόγου, εἴτε δι' ἔργου, εἴτε διὰ τοῦ οἰκείου βίου καὶ τῆς ἀγαπητῆς πολιτείας, μεῖζόν ἐστι τῶν ἁπάντων ἐκκλίνειν ἀπὸ τοῦ πονηροῦ καὶ ποιεῖν πάντως τὸ ἀγαθὸν καὶ οἰκοδομεῖν πάντας εἰς αὐτὸ τοῦτο. καὶ οὕτω δύναταί τις μυριοτρόπως τὴν ἐλεημοσύνην ἐπιτελεῖν. διά τοι τοῦτο δεῖ ἕ αστον ὑμῶν τῶν μὴ δυναμένων νηστείαν ἐπιτελέσαι, κακοπαθῆσαι, ἀγρυπνῆσαι, ἢ τι τῶν προλεγχθέν-(377 οβ)των ἐπιτελέσαι διὰ τὸ σῶσαι τὴν ἑαυτοῦ ψυχήν. κτήσασθαι ἑαυτῷ φίλους τινὰς τῶν ἁγίων, εἰ οὐ δύναται πολλούς,—κτήσασθαι ὀλίγους, εἰ οὐχὶ ὀλίγους,—δύο. εἰ οὐ δύο,—κἂν ἕνα. καὶ ἐκ τοῦ μὴ ἐξ ἀδικίας πλούτου αὐτοῦ θεραπευέτω αὐτόν, εἰ μὲν ἔτι ὢν ἐν σαρκὶ ἐνταῦθα διὰ τῆς σωματικῆς αὐτοῦ χρείας καὶ ἀναπαύσεως, εἰ δ' οὐ παρῆν αὐτῷ τὰ πρὸς τὴν χρείαν, θεραπευέτω αὐτὸν διὰ σωματικῆς δουλείας καὶ ὑπακοῆς καὶ ταπεινότητος. εἰ δὲ μετασταίη τῶν ὧδε διά τε τοῦ μνείαν αὐτοῦ ἐπιτελεῖν ὅση δύναμις καὶ τὰ ἀναγκαῖα τῷ ναῷ αὐτοῦ παρέχειν, λέγω δὴ ἔλαιον, κηροὺς μετὰ θυμιάματος καὶ ἀναφορῶν. καὶ εἰ δύναται καὶ ἡ τούτου δεξιὰ καὶ ἕνι τῶν εὐπορούντων καὶ πένητας τρέφειν, καὶ γυμνοὺς ἐνδύειν, καὶ τοὺς ἐν φυλακαῖς ἐπισκέπτεσθαι, τοὺς ἐν ἀσθενείας περιποιεῖσθαι, καὶ τοῖς πᾶσι τὰ πάντα παρέχειν διὰ τὴν τοῦ Θεοῦ ἐντολὴν καὶ τὴν τοῦ ἁγίου θερμὴν ἀγάπησιν. (378) καὶ ὅταν ὁ τοιοῦτος μετασταίη τῶν ὧδε, δέχεται αὐτὸν ὁ ἅγιος ἐκεῖσε. καὶ ἐν τῷ κρίνεσθαι αὐτὸν παριστᾷ αὐτὸν τῷ Κυρίῳ, δέομενος περὶ αὐτοῦ χαρισθῆναι αὐτῷ τὸν τοιοῦτον. δεχόμενος οὖν ὁ Θεὸς τὴν τοῦ θεράποντος Αὐτοῦ ἁγίαν αἴτησιν, ἀποχαρίζεται αὐτὸν αὐτῷ καθὼς προείρηται καὶ ἔστι συνευφραινόμενος αὐτῷ εἰς τοὺς ἀτελευτήτους αἰῶνας. φησὶ γὰρ περὶ τοῦτο ὁ Κύριος· „ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται. καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου μισθὸν δικαίου λήψεται.“ καὶ ὁ προπάτωρ Δαυὶδ ἐν βίβλῳ ψαλμῶν· „μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα,—ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος.“ καὶ ὁ Κύριος· „μακάριοι ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.“ καί πάλιν ὁ Δαυίδ· „ἐσκόρπισεν

ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα" καὶ ἕτερος προφήτης παρεγγυᾶται λέγων· „ἐν (378 ob.) ἐλεημοσύναις ἐξάλειψον τὰς ἁμαρτιάς σου. ἔλεον γὰρ κατακαυχᾶται κρίσεως." καὶ ὁ Δαυίδ· „ἐν ὀργῇ ἐλέους μνησθήσῃ." καὶ πάλιν· „ἔλεον καὶ κρίσιν ᾄσομαί Σοι, Κύριε." καὶ ἐγὼ εἶπα·—„Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν Σοι." καὶ πάλιν· „ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος, ὃς καὶ ἡμᾶς εἰς τὴν πανεύδιον λιμένα τῆς Αὐτοῦ βασιλείας εἰσαγάγοι καὶ τὸ πολυτάραχον τοῦδε τοῦ βίου κλυδώνιον εὐμαρῶς διαπεράσαι καταξιώσοι καὶ εἰς τὰς αἰωνίους σκηνάς καταπαύσαι ταῖς τοῦ θεράποντος Αὐτοῦ καὶ ἁγίου πατρὸς ἡμῶν Βασιλείου ἐπικαμφθεὶς εὐπροσδέκτοις δεήσεσι καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων Αὐτῷ, Ὧι πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. ἀμήν. δόξα Θεῷ τῷ ἐν Τριάδι. ἀμήν.

II

Извлеченія изъ рукописи Русскаго Аѳонскаго Пантелеймоновскаго монастыря № 276 (Ламбросъ, 5783), 1858 года, бум., in fol. minor.

а) Л 128.

Βίος θαυμάσιος τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου τοῦ Νέου, τοῦ ἐν τοῖς χρόνοις Λέοντος τοῦ Σοφοῦ ἀκμάσαντος ἐν τῇ βασιλίδι τῶν πόλεων. συγγραφεὶς παρὰ τοῦ αὐτοῦ μαθητοῦ Γρηγορίου.

ΣΤΙΧΟΙ.

Βασίλειος ηὔγασε πρὶν μὲν ἐν Καισαρείᾳ,
Νέος δ' αὖ Βασίλειος ἐν Βυζαντίου.
Ὁ μὲν ἔπεσι κόσμον πάντα καταφωτίζει,
Ὁ δὲ θαύμασι ξένοις ἅπαντας ἀστράπτει.
Ἀσκητῶν ὁμήγυριν ὁροθετεῖ ὁ Μέγας,
Μοναστῶν συστήματα καθοδηγεῖ δ' ὁ Νέος
Οὗ κατατρυφῶντες νῦν τοῦ ἐξαισίου βίου,
Εὐχὰς ἅμα τε τῶν δύο ἐμπλησθῶμεν.
(Далѣе—текстъ Житія).

б) Л. 274—274 об.

(274) Εὐχὴ πρὸς τὸν ἅγιον

Σὺ δὲ ἡμᾶς ἐποπτεύοις ἄνωθεν, ὦ θεία καὶ ἱερὰ κεφαλὴ καὶ ὡς ἀμέσως τὰ νῦν προσομιλῶν τῷ Θεῷ καὶ βλέπειν Τοῦτον σὺν ἀγγέλοις καταξιούμενος, μέμνησο καὶ ἡμῶν τῶν ἐν γῇ στρεφομένων καὶ

καθ' ἑκάστην ἡμέραν προσβολαῖς τῶν δαιμόνων καὶ ἐπηρείαις τῶν πονηρῶν δαιμόνων βαλλομένων. χρήζομεν γάρ σου τῆς χάριτος καὶ τῆς ἀντιλήψεως καὶ τῆς πρὸς Θεὸν πρεσβείας καὶ μεσιτείας διὸ καὶ ἀντιβολοῦντες καθικετεύομεν, μὴ διαλείπεις τοῦ πρεσβείαν ποιεῖσθαι πρὸς τὸν φιλάνθρωπον Θεὸν ὑπὲρ ἡμῶν, — ὅπως ῥύσηται ἡμᾶς ἐκ τοῦ σκότους τῶν παθῶν καὶ πάσης ἐπικρατείας τῶν πονηρῶν δαιμόνων καὶ κακῶν ἀνθρώπων. οἶδας γὰρ τὸν ἀκατάλλακτον τῶν δαιμόνων πρὸς ἡμᾶς πόλεμον, οἶδας τὸ τοῦ σώματος δυσήνιον, οἶδας τὸ τῆς προαιρέσεως ἡμῶν ῥάθυμον καὶ εὐόλισθον καὶ πρὸς κακίαν ὀξύρροπον. διὰ τοῦτο δυσωποῦμεν σε, ὡς τῇ Τριάδι παριστάμενος καὶ ταῖς ἐκεῖθεν φωτοβόλοις ἀκτῖσι καταστραπτόμενος, πρέσβευε ὑπὲρ ἡμῶν, πάτερ ἅγιε (274 οβ.) ἔχεις συνεργὸν ὑπὲρ ἁμαρτωλῶν τὴν Θεοτόκον συνικετεύουσαν συναγωνιεῖταί σοι καὶ ὁ τῆς παλαιᾶς καὶ καινῆς μεσίτης Ἰωάννης ὁ βαπτιστὴς τοῦ Σωτῆρος καὶ πρόδρομος. προλαβοῦ καὶ τὸν συνεπωνυμοῦντά σοι Καισαρείας τὸν πρόεδρον Μέγαν ἐκεῖνον Βασίλειον, ὅπως ἥρεμον καὶ γαλήνιον τὸν τῆς παροικίας ἡμῶν μικρὸν χρόνον βιώσαντες, ἵλεων καὶ εὐμενῆ καὶ κριτὴν εὕρωμεν ἐν ἡμέρᾳ τῇ φοβερᾷ τῆς δίκης. Ὡι πρέπει δόξα καὶ μεγαλοπρέπεια σὺν τῷ ἀνάρχῳ Αὐτοῦ Πατρὶ καὶ συναιδίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Στίχοι ἱκετήριοι.

Ταῖς Βασιλείου, Κύριε, εὐπροσδέκτοις πρεσβείαις
Τάχυνον εὐχὴν τοῦ δούλου (σου) δικαίων ταῖς χορείαις
Μῆτερ Θεοῦ, Βασίλειε, τὸ κλέος τῶν πατέρων,
Ἰδεῖν με ἀξιώσατε τὴν γῆν (τὴν) τῶν πραέων.
Πανόσιε Βασίλειε, κἀμὲ δὴ τὸν ἀχρεῖον
Ἀεὶ Χριστῷ ἱκέτευσε, ῥῦσαι δεινῶν παντοίων,
Πάντας τε σῶζε τοὺς σὲ προσκαλουμένους.
Ἄνακτι Χριστῷ δόξα, τιμὴ καὶ κράτος

β) Π. 275.

Στίχοι εἰς τὴν δευτέραν τοῦ Χριστοῦ φρικτὴν παρουσίαν.

Θρόνων τεθέντων, ἐξανοίγονται βίβλοι.
σάλπιγξ ἀποστομοῦσα πᾶν τάφου στόμα

καὶ ζωοποιοῦν πνεῦμα τοὺς τεθνηκότας.
λειτουργικῶν τε πνευμάτων χιλιάδες
καὶ προσκυνούντων ἀγγέλων μυριάδες
δηλοῦσι, Χριστέ, Σὴν ἴλειαν (sic) ἐσχάτην.
φρικτὸς Κριτὴς ἐνταῦθα καὶ βῆμα ξένον,
παγκόσμιον τὸ βῆμα καὶ Θεὸς κρίνει.
τινὲς κατηγοροῦσι τῶν ἐπταικότων.
ἐντεῦθεν αὐτὸς δειλιῶ σου τὴν θέαν
νεφρῶν ἑταστά, καρδιῶν ζυγοστάτα,
ἐξ ἀριστερῶν, Δέσποτα, μή με σύγχει.
σκώληξ ὁ ἀκοίμητος ἐσθίει μου ὀστέα.
ὄντως καπνὸς τὰ σκῆπτρα Χριστοῦ πορφύρα.
πᾶς ὅλβος τέφρα στέφη, σκιὰ καὶ ὄναρ,
ἂν συμφλέγῃ μοι τοῦργον ἔχω ζημίαν
σωθήσομαι δέ πλὴν διὰ πυρὸς μέσον.
ταῦτα, Κριτά, σκοποῦντες εὐθύνεσθέ μοι,
καὶ σχῆμα καὶ πρόσωπον ἐκιπρόθεσθέ μοι.
τὰ ζυγὰ τηροῦντες ἴσα τῆς δίκης,
ἐν ὧ μέτρῳ κρίνετε, κριθήσεσθέ μοι
Θεοῦ τὸ θαῦμα (?) τοῦτο καὶ πιστευτέον,
ὑμῖν τοσαῦτα προσκαλῶ τε καὶ γράφω.
δέομαι τοῦ Σου, Κριτά, μή με χωρίσῃς
τοῖς ἐκ δεξιῶν δικαίοις ἐν τῇ κρίσει,
ἀλλὰ κρῖνον με κατὰ τὸ ἔλεός Σου
ἐπίλογος εἰς ἐντελές ἦλθεν ἐνταῦθα πέρας.
δῶρον θεῖον μέν, πόνος δὲ τ' παροῦσα,
βίβλος πέφυκα ναὶ μὴν τοῦ 'Ιακώβου
μελανείμονος καὶ ἁλιτροῦ ἀνέρος,
ναιτάοντος τὸ ὄρος μονοτρόπων,
τὸ τοῦ Ἄθωνος λαχὸν προσηγορίαν,
γέγραπται καὶ γὰρ σωτηρίῳ ἐν ἔτει
τῷ χιλιοστῷ ὀκτακοσιοστῷ τε,
καὶ πεντηκοστῷ ὀγδόῳ ἐν μηνί τε
φάρμουθι, πρώτῳ τῷ ἀπριλλίῳ

Первая русская редакція*).

Кънига и житіе преподобнаго ѡ^{г}ц$\overline{\text{а}}$ нш$\overline{\text{его}}$ Васіліа Нѡваго списанѡ Григоріемь смиреннымъ и хр$\overset{\text{т}}{\text{т}}$ѡлюбивымъ оученико^{м} е^{г}ѡ.

Прбж$\overline{\text{твенныи}}$ Дв$\overline{\text{дъ}}$ вѣщаа рече: „в$\overset{\text{ъ}}{\text{}}$ память вѣчноую боудетъ праведнікъ, ꙗко неоскоуднаа знаменіа ꙗвлꙗема добродѣтеліи сихъ выне пріатѡ быти“. и Солѡмон же любезныи егѡ сн$\overline{\text{ъ}}$, приближаѧсѧ рѡдителю, моудрѣствоуетъ гл$\overline{\text{ѧ}}$: „па-
5 мать праведнаго с$\overset{\text{ъ}}{\text{}}$ похвалами, достославны^{а} оубѡ и достоиныѧ чести и пѡхвалы ст$\overline{\text{ыхъ}}$ пѡхти[1] ꙗвѣ оубѡ вси ст$\overline{\text{іи}}$ бг$\overline{\text{ѡлѣпнѡ}}$ написаша и рекѡша, ꙗко помазателіе Гн$\overline{\text{и}}$ и бж$\overline{\text{твеніи}}$ пр$\overset{\text{ѣ}}{\text{}}$рцы и вѣрніи ѡ Ги$\overline{\text{}}$, иже палестенскіи скипетръ ꙗко бл$\overline{\text{гочестнѡ}}$ исправляюще“. азъ^{ж} ꙗко ни единѡ-
10 моу же словоу достоинъ, ниже капля водныа и источ$\overset{\text{ъ}}{\text{}}$никоу сухоу в$\overset{\text{ъ}}{\text{}}$ безвѡднѡ врем$\overset{\text{ѧ}}{\text{}}$ ирѡвь калъ тѡчащь нежли водоу полезноую, недостоиныи писати или гл$\overset{\text{а}}{\text{}}$ти зѣлѡ великѡмоу и страшномоу ѡ^{т}цоу таковаа дивнаа чюдеса окаанныи азъ,

---

* Текстъ взятъ изъ Макарьевской Четьи-Минеи за мартъ (26-й день), л.л. 633—747 об. Варіанты подведены изъ списка Чудова монастыря, № 34—336, въ листъ, л.л. 1—180 об. При печатаніи текста вообще удержана орѳографія подлинника: не сохранены лишь ударенія и придыханія.

[1] похити.

или прострети в дѣло аже онъ сътвори. чим же [1—ли попекѣ —1], каковыи поуть шествіе, ако да възмогоу не послѣдованіемъ авити повѣсти и не всако всѣх ѿпасти в' повѣстѣхь сто здѣ же чюдесъ израдныхъ моужества хотѣхъ оумолчати, боюса Га моего ако талантами не наченшю, ако ближнемоу рабоу, аще не положю здѣ да поне трапезникомъ лоукавна не въздадатса глти начиоу боюса ако ни единого слова имѣю достоина, ако никоего зазора да не приимоуть ѿ вѣдоущихь разоумы, ако же рече Соломонъ мудрыхь и разоумныхь злыхь и добрыхь нарицають нѣціи ѿ члкъ мнѣ озлбленомоу что са ѿ тѣх речеть, обаче ѿдаетъ ми всака дша бголюбива невѣжьства и неоугодіа глти начинающе Гь да мздоу. да ѿселе начнемъ повѣтнаа вашими млтвами застоупаеми многа глати не достигаа, аже о немъ исповѣданіа и гланіа, понеже Бгоу люба посильнаа блгоѫ есть и равность еже бо вса глти ни аггломъ равно есть ни аплмъ, ако же рече Павелъ: ѿчасти глемъ и ѿчасти прочьствоуемъ. аже оубо о рѫствѣ его, ѿ кдоу бѣ и где въспитанъ бысть и како бысть мнихь, не имамъ что глати, ни иного дроугаг никого обрѣсти възмогохъ авити ми аже о въпрошаніи сего да обаче еже имамъ глю, еліко свѣмъ споувѣдаю вам, ибо конечнаа его оувѣдѣхь и самъ аз мню. он же вса лѣта своа тщашеса оутаити всѣмъ члкомъ обогатѣти зѣло смиреніемъ, авлетъ себе елико же съкры въ себѣ докол не възвѣстихь аже о немъ толики бѣды аже сихъ ради подахь:

Началo житіа препобнагo. Василіи царь четыре сны имѣ Констан'тіна, Лео'та, Стефана и Алеѯандра. Константинъ оубо младсы ѿ житіа ѿиде. Стефанъ же по-

[1—1] ликовствѣа.

ставленъ бысть архіеп҃ѡмъ в Константинѣ градѣ всѣкѡю дѡбродѣтелію оукрашенъ, и тѡи же ѡ҃т врачевъ часто питіе цѣлебнѡе пріимаше, понеже оунъ сы и огнемъ ж҃гомь бѣ. тѣмъ же и образѡмъ телеснымъ бола всю юность оугашаше ж҃гомь дѡвѡ҃но оустоужаашеся желѧдѡкъ егѡ и ѡ҃т того же в҃ недоугъ в҃паде вскорѣ и тои кѡнецъ житіа пріатъ. оумирающѧ же Василію ѡ҃ц҃у ею, ѩко оумираа глаашеѡ Михаилѣ цари: „егѡ же оубих҃ и пріахъ ц҃рствѡ его, вїждоу, рече, Михаила ц҃ра прѣд҃ очима мѡима стоаща и гл҃юща ми, —чтѡ ти съдѣахь, коую ли бѣдѹ сътворихь, ѩкѡ тако безм҃лтно нападе на мѧ и оуби мѧ.“ и о семъ испѡвѣдалсѧ ѡ҃тиде[1] житіа сего, ѡставивъ Леѡ҃та и Александра с҃на своя въ ц҃рствіи своемъ.

въ десѧтѡе оубѡ лѣтѡ самѡдрѣжцоу Леонта и Александра царю, магистріанѡмъ нѣкѡимъ взвращающимсѧ ѡ҃т асидьскіа страны пѡсланіемь царевѡмъ в Константинъ град҃, в҃ горѣ непрѡходнѣи абіе оузрѣша прехождща прп҃ѡбнаго Василіа, и абіе скорами нѡгами вскочиша и ѧша прп҃бнаго, дивлшесѧ о страннѣмь образѣ егѡ, прелѡгатаа его мнѧхоу соуща. поуть шествоущимъ, в҃ведѡша и коуннѡ с собою в҃ ц҃рствоующіи град҃ ѩко ѧвишаесѧ ц҃ремъ, ѧвленѡ имъ и о бл҃женнѣмъ сътвѡриша в҃ тѡмъ убѡ образѣ дѡиде ц҃рствующаго с҃тыи, ѩко же взмѡгохь оувѣдѣти ѡ҃т достѡвѣрныхъ моу҃. оувѣдѣв же царь Леонъ о немь, пѡвелѣ паракимѡменоу свѡемоу, емоу же има Самѡна, сраѧнинѡу соущю родом҃, испытати еже о бл҃женнѣмъ, ктѡ есть и ѡ҃ткоудѧ бысть и какѡ емоу има бѣ. Самѡна҃, шедъ въ гл҃емыи нѡвыи дѡмъ, и сѣде съ всѣми свѡими совѣт҃ники (бѧше бѡ оунъ сы и гордѧсѧ о мнѡжествѣ богатьства) пѡвелѣ представити прѣд҃

[1] *доб.* отъ.

лицемь своимъ блж̑нaго. ѩкѡж̑ предста, не възд̑а емоу достоиныа чести и пѡклонениа гл̑а оубѡ к немѹ Самѡна „ктѡ еси и ѡ᷄коудоу бысть или како имѧ твое наричетсѧ“ ст̑ыи же ѡ᷄твѣта емоу не дасть, нѡ стояше молчѧ и крѡт̑кима очима на него смѡтрѧ. гл̑а оубѡ паки к̑ немоу „възвѣсти намъ ѡ᷄коудоу ѕбо ты еси“ и гл̑а къ немоу сватыи „ты убѡ ѡ᷄коудоу еси и ѡ᷄кѡлѣ прiнде“. і рече емоу Самѡна „тебе въпрошаемъ, ктѡ еси и ѡ᷄коудоу бѣ пѡнеже о мнѣ ктѡ есмь не требѣ есть оувѣдѣти. аще ли желаннѡ ти есть разумѣти о мнѣ, възвѣщѹ ти азъ есмь Самѡна патрикиı, паракимѡменъ дне᷄ одеръжаи скипетры греческихь самѡдрьжещь пѡвѣждь оубѡ намъ, кто еси и ѡ᷄коудоу бѣ что гл̑ешиı сѧ и чтѡ есть твое начинание“ гл̑а к немоу блᵃженныи „азь страненъ есмь і единъ пришлецъ на земли сеи̑“ рече к немѹ Самѡна· „не дѡбрѡ оубо о тебѣ г̑лютъ, ѩкѡ прелагатаи еси прiиде в россочьство [1] въ греческоую власть“ прп̑бныи о семъ нич̑тѡже ѡ᷄твѣща. мн°зи ѕбѡ предстоащии поноужаахоуть егѡ, гл̑юще,—ктѡ еси не ѡ᷄твѣщѧ имъ. пѡвелѣ оубѡ Самѡна да принесоуть пред̑ лице его жезле соурѡво и волѧа жилы соухи и ина нѣкаа страшнѣишаа на оустрашеніе емоу, да негли оувидѣвъ оубѡптсѧ, да пѡвѣсть ѡ᷄коудоу есть видѧ онъ всѧ та, не пѡвѣстьсѧ имь пѡвелѣ растягноути егѡ чегыремь и тако волоуѧмі жилами бити ст̑го порадоу, въпрошающимъ его рекоуще,—ктѡ еси. и никакѡ же имъ не ѡ᷄твѣща, нѡ трьпѧаше мол̑чѧ наѡсимыа раны. дотолѣ же бiша его дѡн̑дж̑ не бѣ в̑ немь крѣпости по сихь пѡвелѣ неоукротимыи звѣрь, и зат̑вориша и въ единѡи ѡ᷄ темницъ. на оутрiа же ше᷄ сѣде и пѡвелѣ пѡставити

[1] в рос̀сочьство.

блж̃нaго. и шедше же посланіи обрѣтоша двери твердѡ заключены, того же в̾нѣ стоаща и ждоуща ихъ. разоумѣвше же быв̾шее вельми оудивишасѧ и гл̃аша к̾ немоу. „повѣжди на^м, кимъ образомъ, ключю и романисоу цѣлоу сущю, како ты внѣ бысть“ блаженныи ничто же къ нимъ ѡ^твѣща, пѡ идѧше коупно съ ними предстати пре^д паракимѡменѡмъ ѩкѡ же пѡставиша его пред^ъ нимъ и пѡвѣда емоу, какѡ его внѣ темницы обрѣтоша, оудививше сѧ ѡ̃ оуслышавъ коуппѡ и не вѣрѡва нѣцыи же ѡ^т тѣхъ ѩкѡ ѡ^т волхвѡваніа се емоу сотвор̾шю такѡвое чародѣаніе сътворшю[1]. ѩкѡ се паки испытавъ его Самѡна хотѧ оуразоумѣти, кто е̃, никакѡ же емоу прп^дбныи ѡ^твѣта дасть. раз̾гнѣвав же сѧ оубѡ злѣ агаринѡ ис̾чадіе, пѡвелѣ его растѧгноути пѡ земли и бити жезлемъ. дотоле егѡ биша, дондеже шесть жезліи съкроушишасѧ блж̃нныи же трьпѧ доблественѣ в̾ велицѣ мѡлчаніи, ничтѡ же к нимъ не ѡ^твѣща. чюдящим̾ сѧ всѣмь ѡ непзречен̾нѣ^м мѡлчаніи прп^дбнаго, пѡвелѣ же паракимѡменъ всѣмъ тѣмъ гл̃ти. побѣдихь и, сей же хитростію мѡлчит, ни повелѣніа послоушавъ такѡ ми самодержъца,· не оставлю семоу пѡхвалитисѧ. и пѡвелѣ его пѡ всѧ недѣли[2] [3] пѡ триста ранъ на всѧкъ дн̾ь бити[3] и пѡ триста жезлеи избивати. онь терьпѧаше печали ты. такѡ с̃тыи таа бж̃ственоую добродѣтель, ибѡ всѧ лѣта живѡта своего зеліе ѧдѧаше ѩкѡ же оуставилъ бѧаше в поустыни и кѡнецъ бестрастіа ключися емоу.. сего ради не въсхотѣ развратити дѡбродѣтели своеѧ, зане рекшѧ влд^цѣ да не вѣсть шюица твоа, чтѡ

---

[1] нѣтъ.

[2] *доб.* мѡчить ранъ.

[3–3] на всякъ день по триста ранъ

